γένηται. Ἐν τριήκοντα δὲ μάλιστα τῇσι ξυμπάσῃσι κρατύνεται τὰ ὀστέα τὰ ἐν τῷ πήχεϊ τὸ ἐπίπαν· ἀτρεκὲς δὲ οὐδέν· [1] μάλα γὰρ καὶ φύσις φύσιος καὶ [2] ἡλικίη ἡλικίης διαφέρει. Ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέσαντα ἢ τὸ πρόσθεν, ἐλάσσοσι δὲ τοῖσι ὀθονίοισι ἢ τὸ πρότερον· καὶ ἔπειτα διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδεῖν ἐπὶ μὲν ἧσσον πιέζοντα, ἐπὶ δὲ ἐλάσσοσι τοῖσι ὀθονίοισι. Ἐπὴν δὲ, ὅταν ἐν τοῖσι νάρθηξι δεθῇ, ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς κεῖσθαι, ἢ ἄλλο τι [3] ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ ἡμίσεϊ τοῦ χρόνου ἢ [4] ὀλίγῳ πρόσθεν καὶ αὖθις μετεπιδῆσαι. [5] Δίαιτα δὲ τούτοισι, οἷσι ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται, ἢ ὀστέα [6] ἔξω ἐξίσχῃ, [7] ἀρκέει ὑποφαύλη· ἐνδεέστερον δὲ χρὴ διαιτᾶν ἄχρις ἡμερέων δέκα, ἅτε ἤδη καὶ [8] ἐλινύοντας, καὶ ὄψοισι ἁπαλοῖσι χρῆσθαι, ὁκόσα τῇ διεξόδῳ μετριότητα [9] παρασχήσει· οἴνου δὲ καὶ κρεηφαγίης ἀπέχεσθαι· ἔπειτα μέντοι ἐκ προσαγωγῆς ἀνακομίζεσθαι. Οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ κατηγμάτων ἰήσιος, ὥς τε χειρίζειν χρὴ ὥς τε [10] ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος· ὅ τι δ' ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ [11] ὅτι ἐν τῇ χειρίξι τι ἐνδεὲς πεποίηται ἢ πεπλεόνασται. Ἔτι δὲ τάδε χρὴ προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα ἐπιμελέονται [12] οἱ ἰητροὶ, καίτοι πᾶσαν μελέτην καὶ πᾶσαν ἐπίδεσιν οἷά τε

mum diebus cubiti ossa in totum coalescunt; nihil tamen est perpetuum. Nam et natura a natura et aetas ab aetate plurimum distat. At ubi resolveris, aquam calidam affundere pauloque minus quam antea comprimendo et paucioribus quam prius fasciis religare convenit, ac demum tertio quoque die resolvere et minus quidem comprimendo paucioribus quam antea fasciis deligare. Quodsi alligatis ferulis ossa non recte posita, aut aliquid vulnerato molestum esse suspicio sit, dimidio temporis spatio aut paulo ante solvere itemque religare oportet. At quibus circa initia cute integra ossa foris non eminent, iis abunde est victus mediocris. Pauciore tamen victu ad decimum usque diem utendum, praesertim cum ex toto quiescant, et opsonia liquida adhibenda, quae ventrem modice deducant; vino vero et carnibus abstinendum; post haec paulatim reficiendi. Atque ista oratio velut aequa quaedam lex de fracturarum curatione instituta est; quemadmodum eas tractare oporteat et quid ex iusta tractatione evenire. Sin secus accidat, scire licet in ipsa curatione aliquid vel deficere, vel redundare. Ad haec in hoc simplici modo ad ea animum intendere oportet, quae non admodum advertunt medici, quamvis, nisi recte procedant, curam omnem totamque vinciendi rationem corrumpere valeant. Nam si os utrumque, aut inferius tantum, fractum sit, vinctique manus mitella excipiatur, quae magna sui parte fractu-

[1] μάλιστα. — [2] ἡλικίης ἡλικίη. — [3] ὀχλεύῃ. — [4] ὀλίγον. — [5] δίαιται. — [6] ἐξίσχει ἔξω. — [7] ἀρκέουσι φλαῦραι. μικρόν τι γὰρ καὶ ἐνδ. χρή. — [8] ἐλλινύοντας. — [9] παρέχουσιν. — [10] ἀποβαίνειν. — [11] ὅτι — χρή om. — [12] οἱ om.

ἐν τριήκοντα — διαφέρει.] δέ omm. Marc., plures Parr.; — ἐν γὰρ τριηκ. μάλιστα B. M. N.; — τά post κρατύνεται de meo; — ἐν πήχει C. Marc.; — μάλιστα pro μάλα codd. 11. apud Littr., cf. lect. V.; — ἡλικίης ἡλικίη, uti V., plures Parr.

ἐπὴν δὲ — μετεπιδῆσαι.] ὅταν τοῖσι cett., de meo ἐν interpono, collatis locis multis similibus, ubi ἐν τοῖσι νάρθηξι s. ἐν τοῖσι ὀθονίοισι δεθῆναι s. ἐπιδεθῆναι solenne; — καὶ αὖθις omm. C. et Marc., qui πρόσθε fert.

δίαιτα — ἀνακομίζεσθαι.] δίαιται codd. 12. apud Littr.; — ἀρκέουσι φλαῦραι cod. Sev., uti V., φαῦλαι multi Parr. Ante ἐνδεέστερον legunt μικρόν τι γὰρ καί sine δέ D., cod. Sev., uti V., μικρόν τι καὶ γάρ sine δέ alii non pauci; — ἄχρι vulgo, ἄχρις Littr. e mss. 9.; — ἅτε δή codd. 10. Littréi, Marc., Voss.; vix scio quid praestet; — παρασχήσι Marc., παραὐσχήσῃ M. N., παρασχήσει Littr., παρέχουσι vulg.

οὗτος — πεπλεόνασται.] ὥστε ἀποβαίνειν vulgo, in qua lectione ἀποβαίνει ferunt C. Marc. — Littréus de suo καί infert et exhibet: ὥστε χειρίζειν καὶ ὥστε ἀποβαίνει. — Mihi in vulgata ὥς τε — ὥς τε latere videtur; utrum ἀποβαίνειν, an ἀποβαίνει scribere oporteat, mihi incertum videtur; non video quare ὡς ἀποβαίνειν χρή dici non possit, quin membrorum coniunctio per τε — τε me inducit, ut de vulgata non recedam.

ἔτι δὲ — ἔχων.] καίτοι πᾶσα μελέτη καὶ πᾶσα ἐπίδεσις οἵη τε διαφθεῖραί ἐστι μὴ ὀρθῶς ποιευμένη H., quam lect. memorat Gal. in comm. p. 409., ubi διαφθείρεται in Bas., διαφθείρεσθαι in Kühniana editur. In vulgato διαφθεῖραι legunt B. M. N., δὴ φθείρειν, uti V., non pauca mss. Porro κατηγῇ M. N., Bosq., Littr.; — tum ταινίῃ τινὶ (τείνειν D. τείνει C. Marc., τείνῃ alii) vulgo; equidem otiosum illud τινι abiicio, ex ipso nomine ταινίη natum vide-

[1]διαφθείρειν ἐστὶ μὴ ὀρθῶς ποιεύμενα· ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω καταγῇ, ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τὴν χεῖρα ἔχῃ [2]ἀναλελαμμένην, τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος· ἢν δὲ κατεηγότων τῶν ὀστέων οὕτως, ἄκρην τε τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ καὶ παρὰ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μετέωρος ἔῃ, οὗτος εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ κάτω μέρος [3]διεστραμμένον ἔχων. Χρὴ οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ, μαλθακῇ, τὸ πλεῖστον τοῦ πήχεος καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι.

ram contineat, hinc vero et inde manus dependeat, huic in superiorem partem os perverti necesse est. Sin vero ossibus sic fractis, summam manus partem et eam, quae est ad cubiti flexum, mitella excipiat, quod autem in cubito est reliquum dependeat, in inferiorem partem os depravatum erit. Oportet igitur mitella lata et molli maximam cubiti partem et manus iuncturam aequaliter sublatam esse.

η'. Ἢν δὲ ὁ βραχίων καταγῇ, ἢν μέν τις ἀποτανύσας τὴν χεῖρα ἐν τούτῳ τῷ σχήματι διατείνῃ, ὁ μῦς τοῦ βραχίονος κατατεταμένος ἐπιδεθήσεται· ἐπὴν [4]δ' ἐπιδεθεὶς ξυγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα σχήσει. Δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε· ξύλον πηχυαῖον ἢ [5]ὀλίγῳ βραχύτερον, ὁκοῖοι οἱ στειλαιοί εἰσι τῶν σκαφίων, κρεμάσαι χρή, ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα· καθίσαντα δὲ τὸν ἄνθρωπον [6]ἐπὶ ὑψηλοῦ τινὸς τὴν χεῖρα ὑπερκεῖσθαι, ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ στειλαιὸς ἔχων ξυμμέτρως, ὥστε μόλις δύνασθαι [7]καθίννυσθαι τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι· ἔπειτα θέντα τι ἄλλο ἔφεδρον καὶ ἐπιθέντα σκύτινον ὑποκεφάλαιον, ἢ ἕν, ἢ πλείω, ὅκως ξυμμέτρως σχήσει ὕψεος τοῦ πήχεος πλαγίου πρὸς [8]ὀρθὴν γωνίην, ἄριστον μὲν

8. At vero brachio fracto, si quidem manu porrecta distentio fiat, brachii musculus intentus deligabitur, atque ubi vinctus cubitum inflexerit, brachii musculus figuram immutabit. Brachii igitur aequissima distentio haec est: lignum cubitale aut paulo brevius, cuiusmodi sunt ligonum manubria, ab utraque parte fune deligatum suspensum esse oportet. Homo autem alto quodam sedili collocatus manu superincumbat, sicut manubrium sub ala ita statuatur, ut ille vix considere possit, sed prope suspensus maneat. Tum supposito firmo aliquo et superdato pulvino uno scorteo aut pluribus ea altitudine, quae oblique collocato cubito ad rectum angulum respondeat, praestiterit quidem ex corio lato et molli, aut fascia lata superiniecta grave aliquod pondus, quod modice intendat, suspendere. Alioqui vir robustus sic

[1] δὴ φθείρειν. — [2] ἀναλεγόμενος τυγχάνει. — [3] διεστραμμένως ἔχον. — [4] δὲ ἐπειδηθείς. — [5] ὀλίγον. — [6] ἀπό. — [7] καθικνεῖσθαι. — [8] τὴν ὀ. γ.

tur; — ἀναλελαμμένην Gal. comm. 3. ad κατ' ἰητρεῖον p. 817., ἀναλελαμμένος vulg., ἀναλεγόμενος, uti V., Gal., Bas. in marg.; — τυγχάνει Ald. C., alii; — τούτου Gal. in cit. l. l.; — οὗτος pro οὕτως C.; — περὶ τὸν ἀγκῶνα Gal. l. l.; — ὁ δὲ ὅλος πῆχυς Gal. in comm. (p. 416.) Bosq. — Tum vero vulgo μὴ μετέωρος, sed μή ante μετέωρος omm. multi codd.; eadem autem lectionis diversitas Galeno nota fuit, qui utramque lectionem defendit in comm. (p. 415. seq). Equidem μή admitti non posse credo; μετέωρος intelligendum est ἀστήρικτον ἐπὶ μόνου τοῦ ἀέρος ὀχούμενον, ut ait Galenus; comparo quod paulo post cap. 8. legitur; ὥστε μόλις δύνασθαι καθίννυσθαι τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι. Deinde ἢ vulg., ἔῃ M. Littr., εἴη Gal. in cit. l. l.; — οὕτως εὑρεθ. Ald., mss. 7.; — διεστραμμένως ἔχον, uti V., non pauci Parr. et Galenus in citatione l. l.

8. ἢν δὲ — σχήσει.] δὲ ἐπιδεθείς Parr. 5., Bosq.

δικαιοτάτη — ἐς τὸ κάτω.] στείλαιοι Marc., Gal.; — ἐπὶ ὑψηλοῦ H., Bosq., Littr., ἀπὸ ὑψ. vulgo; — τὴν μασχάλην B. M. N.; — στείλαιος Marc., Gal.; — καθίννυσθαι C., Marc., Bosq., Littr., vulgatam ex V. notavi; — vulgo ὑποθέντα, sed H. prima manu et Bosq. ἐπιθέντα, quod recepi, licet non ignorem alterum defendi posse; — σχοίη vulgo, σχήσει recte Ald. B. N., et corrupte scriptum C. Marc.; —

σκύτος πλατὺ καὶ μαλθακὸν, ἢ ταινίην πλατέαν [1] ἀμφιβαλόντα τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι, [2] ὅ τι μετρίως ἕξει κατατείνειν· εἰ δὲ μὴ, τῶν ἀνδρῶν ὅστις [3] ἐρρωμένος, ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος [4] ἐόντος, παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω. Ὁ δὲ ἰητρὸς ὀρθὸς μὲν [5] ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων, κατορθώσας δὲ τοῖσι θέναρσι τὸ ὀστέον· ῥηϊδίως δὲ [6] κατορθώσεται· ἀγαθὴ γὰρ ἡ κατάτασις, ἥν τις καλῶς παρασκευάσηται. Ἔπειτα ἐπιδείτω τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα καὶ τἄλλα πάντα, ὥσπερ πρότερον [7] παρηνέθη, χειριζέτω· καὶ ἐρωτήματα ταὐτὰ ἐρωτάτω καὶ σημείοισι χρήσθω τοῖσι αὐτοῖσι, εἰ μετρίως ἔχει, ἢ οὔ· καὶ διὰ τρίτης ἐπιδείτω καὶ ἐπὶ μᾶλλον πιεζέτω· καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξι δησάτω, ἔστ' ἂν ὑπὲρ τριήκοντα ἡμέρας γένηται. Καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὸ ὀστέον, μεσηγὺ τούτου τοῦ χρόνου λυσάτω καὶ εὐτεθισάμενος μετεπιδησάτω. Κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσι. Ἐπὴν δὲ ταύτας ὑπερβάλῃ, λύειν χρὴ καὶ ἐπὶ ἧσσον πιέζειν τοῖσι ὀθονίοισι καὶ ἐπὶ ἐλάσσοσι ἐπιδεῖν. Δίαιταν δὲ [8] ἀκριβεστέρην τινὰ ἢ τὸ πρότερον διαιτᾶν καὶ [9] πλείω χρόνον· τεκμαίρεσθαι δὲ πρὸς τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ τὴν ῥώμην ὁρέων. Προσξυνιέναι δὲ χρὴ καὶ τάδε, ὅτι [10] ὁ βραχίων κυρτὸς πέφυκε ἐς τὸ ἔξω μέρος· [11] ἐς τοῦτο τοίνυν τὸ μέρος διαστρέφεσθαι φιλέει, ἐπὴν μὴ καλῶς ἰητρεύηται· ἀτὰρ καὶ τἄλλα πάντα ὀστέα, ἐς ὅπερ πέφυκε διεστραμμένα, ἐς

collocatum cubitum ad cubiti flexuram vi quadam deorsum deducat. Medicus vero erectus, altero pede altiore loco collocato ad curationem aggrediatur et manuum palmis os componat. Quod certe facile fiet. Haec enim intendendi ratio laudabilis est, si quis ea probe utatur. Postea iniectis circa fracturam fasciarum initiis ad deligationem accedat, ceteraque omnia, quemadmodum antea monuimus, ad curationem accommodet, easdemque interrogationes atque eadem indicia adhibeat, ut intelligat num moderate se habeant, nec ne et tertio quoque die deligationem admoveat magisque comprimat. Septimo vero aut nono die ferulae circumdandae. Ac si metus sit, os non recte repositum esse, medio spatio solvere posteaque, ubi recte collocatum fuerit, religare oportet. — Firmatur autem brachii os diebus fere quadraginta. Quos ubi excesserit, resolvendum minusque adstrictis fasciis ac paucioribus vinciendum. Victus quoque ratio exquisitior quodammodo ac diuturnior quam antea adhibenda coniectura ex tumore, qui in summa manu est, eiusque viribus sumpta. Illud praeterea animadvertendum brachium suapte natura in exteriorem partem inclinari, eoque, si male curetur, distorqueri solere. Quin et reliqua omnia ossa, qua parte naturaliter distorta sunt, eò, ubi fracta curantur, facile perverti consuerunt. Si qua igitur talis est suspicio, fascia lata brachio circumiicienda et ad pectus circumducenda. Cumque quiescere volet, inter cubiti gibbum et costas splenium quoddam multiplex involutum, aut aliud quidpiam eiusmodi subiiciendum. Hac enim ratione in-

[1] ἀμφιβάλλοντα. — [2] καὶ ὅ τι. — [3] ἐρρωμένως. — [4] ἐόντος om. — [5] ἐὼν κατορθωσάτω δέ omissis intermediis. — [6] κατορθωθήσεται. — [7] παρηνέχθη. — [8] ἀκριβεστάτην. — [9] πλείονα. — [10] ὁ om. — [11] καὶ φιλέει διαστρέφεσθαι.

Littréus post γωνίην puncto distinguit, quod fieri minime debet; — ἀμφιβάλλοντα cett., aoristum de meo dedi; — πλατείην vulg., πλατέην Littr. ex edd. antt. et mss. multis; — καὶ ὅ τι multi codd., ὅ τι καί L. Q.'; — μετρίως ἔχει C.; — ἐρρωμένως M., uti V.; — ὄντος H., ἐόντος Bosq., Littr., vulgo abest.

ὁ δὲ ἰητρὸς — παρασκευάσηται.] ὀρθός mss. 10. apud Littr., Marc., Chart., Lind., Bosq., Littr., ὀρθῶς vulgo; — κατάτασις vulg., κατάστασις C. Littr., quod tamen auctor non scripsit, κατάθεσις B.

ἔπειτα — γένηται.] ἢν μετρίως ἔχῃ vulg., sed εἰ C., Marc., Littr., ἔχει C. Littr.; — πιεζέσθω mss. 10., πιεζείτω Marc.; — ἔστ' ἂν — γένηται de suo explevit Littr. conferens locum e § 7. haud procul ab initio; ille tamen γίνηται.

καὶ ἢν — μετεπιδησάτω.] εὐτεθησάμενος vulg., emendavit Bosq., recepit emendationem Littr.

δίαιταν — ὁρέων.] πλείονα codd. 9.; — τῇ χειρί omm. mss. 8., Bosq.; ὁρέων M. N. Littr., ὁρῶν vulg.

προσξυνιέναι — καταγῇ.] ὁ K., Littr., vulgo om.; — ἐς τοῦτο τοίνυν τὸ μέρος ex B. M. N. Littr., vulgo om.; — φιλέει διαστρ. multi codd. et Bosq., ἐς ante ὅπερ om. etiam Marc.; ὥπερ pauci libri; — κατεαγῇ ceteri.

τοῦτο καὶ ἰητρευόμενα φιλέει [1] διαστρέφεσθαι, ἐπὴν [2] καταγῇ. Χρὴ τοίνυν, ἐπὴν τοιοῦτόν τι ὑποπτεύηται, ταινίῃ πλατείῃ προσεπιλαμβάνειν τὸν βραχίονα κύκλῳ περὶ τὸ στῆθος περιδέοντα καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων σπλῆνα πουλύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλο τι, ὃ τούτῳ ἔοικε· οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο· φυλάσσεσθαι μέντοι χρή, ὅπως μὴ ᾖ ἄγαν ἐς τὸ ἔσω μέρος.

θ'. Ποὺς δὲ ἀνθρώπου ἐκ πολλῶν καὶ σμικρῶν ὀστέων ξύγκειται, ὥσπερ χεὶρ ἄκρη. Κατάγνυται [3] μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ [4] τιτρωσκομένῳ ὑπό [5] του ὀξέος ἢ βαρέος· τὰ μὲν οὖν τιτρωσκόμενα ἐν ἑλκωσίων μέρεϊ εἰρήσεται ὡς χρὴ ἰητρεύειν. Ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης ἢ τῶν δακτύλων [6] ἄρθρον, ἢ ἄλλο τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου, καταναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται· ἰητρεύειν δὲ κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν τῶν ναρθήκων, τὸν μὲν αὐτὸν τρόπον [7] πιέζοντα, διὰ τρίτης δὲ ἐπιδέοντα· ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷά περ καὶ ἐν τοῖσι κατήγμασι καὶ περὶ τοῦ πεπιέχθαι καὶ περὶ τοῦ [8] χαλᾶν. Ὑγιέα δὲ γίγνεται ἐν εἴκοσι ἡμέρῃσι τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει τοῖσι τῆς κνήμης ὀστέοισι [9] κατ' αὐτὴν τὴν ἴξιν. Ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον· ἀλλὰ γὰρ οὐ τολμέουσι ὑπερορῶντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι. Διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι τε-

curvati ossis directio fiet. Ea tamen cautione adhibita, ut ne nimis ad interiorem partem ducatur.

9. Pes autem hominis ex multis et parvis ossibus non secus ac summa manus constat. Quae neque fere frangi consuerunt, nisi ab acuto aliquo et gravi una quoque carnosae partis vulnus accedat. Sed de vulneratorum curatione ubi de ulceribus agetur, dicemus. Quodsi quid suo loco moveatur aut digitorum articulus, aut aliud quodpiam os ex his, quae primam plantam constituunt, quam *ταρσόν* vocant, in suam quodque sedem compellendum, non secus atque in manu. Curatioque adhibenda per ceratum, splenia et fascias non secus atque in fracturis, ferulis praetermissis, eodem modo comprimendo ac tertio quoque die deligando. Interrogandus quoque is qui vincitur, perinde etiam atque in fracturis, adstrictane sit, an laxa deligatio. Sanescunt autem perfecte omnia viginti diebus, nisi si quae cum tibiae ossibus communionem habent, eique e directo respondent. Quo tempore decumbere confert, quod tamen non sustinent, sed morbum parvi facientes obambulant prius quam sani sint. Ideoque plurimi non integre convalescunt, sed subinde non iniuria eos doloris sensus commonefacit; pedes

[1] στρέφεσθαι. — [2] κατεαγῇ. — [3] δέ. — [4] τιτρωσκομένου. — [5] τοῦ ὀξέος τινός. — [6] ἄρθρα. — [7] πιεζεῦντα. — [8] χαλαρὰν εἶναι. ὑγιῆ δὲ γίνονται. [9] καὶ αὐτέῃ τῇ ἴξει.

χρὴ — μέρος.] ἐπάν non pauci codd.; σπλῆνά τινα vulgo; omitto τινα cum Vossiano; — δὲ ἀεί pro μέντοι B. M, N.; — ᾖ om. C., ἄγαν ᾖ D.; — διαστρέψῃ ἐς B. N.

9. ποὺς — ἄκρη.] ὥσπερ καὶ χεὶρ ἄ. prima m. in N., Bosq.

κατάγνυται — ἰητρεύειν.] δέ pro μέν cod. Sev., uti V.: — μὲν οὖν N., sed οὖν oblit.; — τοι pro τι K. J.; — χρώματι Parr. 6., Marc.; — τιτρωσκόμενα B. M. N.; — ὑπὸ ὀξέος τινὸς ἢ βάρεος vulgo, sed in codicis V. lectione, quae cum scriptura cod. Sev. convenit, latet quod exhibui.

ἢν δέ τι κινηθῇ — ἐπίδεσιν.] ἄρθρα cod. Sev., uti V. — Tum καταναγκάζειν, tum ἀναγκάζειν codd. sui aevi tulisse, docet Gal. in comm. p. 439.; equidem compositum praefero, licet e mss. hodiernis evanuerit. — Bosq. om. εἴρηται; — καὶ ἰητρεύειν δέ vulg., καί om. Littr. cum mss. 11. et Bosq.; — πιεζεῦντα vulgo, πιέζοντα de meo; — ἀποκρινέσθω H. K.; — χαλαρὰν εἶναι vulgata, in qua lectione τὴν ἐπίδεσιν post εἶναι periisse videtur; Bosq. χαλαρὰ εἶναι scripsit; Littr. ex N. solo χαλᾶν dedit, quod item exhibeo.

ὑγιέα — ἴξιν.] ὑγιῆ vulg., ὑγιέα Bosq., Littr.; — γίνονται mss. 9. apud Littr.; — καὶ αὐτέῃ τῇ ἴξει vulgo, quod sensu cassum, legendum κατ' αὐτὴν τὴν ἴξιν.

λέως. Ἀλλὰ πολλάκις αὐτοὺς ὁ πόνος ὑπομιμνήσκει· [1]ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσι. Ὁκόταν οὖν μήπω ὑγιέες ἐόντες ὁδοιπορέωσι, [2]φλαύρως ξυναλθάσσεται τὰ ἄρθρα τὰ κινηθέντα· διὰ τοῦτο ἄλλοτε καὶ ἄλλοτε ὁδοιπορέοντες ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ.

enim totum corporis onus sustinent. Itaque ubi nondum sani deambulant, articuli agitati non recte curantur, eaque de causa subinde ad tibiam dolores sentiunt.

ι'. Τὰ δὲ κοινωνέοντα τοῖσι τῆς κνήμης ὀστέοισι μείζω τε τῶν ἑτέρων ἐστὶ καὶ κινηθέντων τούτων πουλυχρονιωτέρη ἡ ἄλθεξις. Ἴησις μὲν οὖν ἡ αὐτὴ, ὀθονίοισι δὲ πλέοσι χρέεσθαι καὶ σπλήνεσι· καὶ ἐπὶ πᾶν ἔνθεν καὶ ἔνθεν ἐπιδέειν· πιέζειν δὲ ὥσπερ καὶ τἄλλα πάντα, [3]ταύτῃ μάλιστα, ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων κατὰ ταῦτα ποιέεσθαι. Ἐν δὲ ἑκάστῃ τῶν ἀπολυσίων ὕδατι πολλῷ θερμῷ χρέεσθαι· ἐν πᾶσι δὲ πολλὸν ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ' ἄρθρα σίνεσι. Αἱ δὲ πιέξιες καὶ αἱ χαλάσιες ἐν τοῖσι αὐτοῖσι χρόνοισι τὰ αὐτὰ σημεῖα δεικνύντων, ἅπερ ἐπὶ τοῖσι πρόσθεν· καὶ τὰς μετεπιδέσιας ὡσαύτως χρὴ ποιέεσθαι. Ὑγιέες δὲ τελέως οὗτοι γίγνονται ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα, ἢν [4]τολμέωσι κατακεῖσθαι· ἢν δὲ μὴ, πάσχουσι ταὐτὰ, ἃ καὶ πρότερον, καὶ ἐπὶ μᾶλλον.

10. Quae vero cum tibiae ossibus communionem habent, tum reliquis maiora sunt, tum agitata longius tempus ad curationem postulant. Curandi tamen eadem est ratio. Plures autem fascias et splenia adhibere oportet omninoque utraque parte deligare et adstringere et reliqua omnia ea potissimum parte, qua os emotum est, eoque primum fascias circumducere. At quoties fasciae solvuntur, calida multa utendum. Ea namque in omnibus articulorum laesionibus liberaliter affundenda. Compressiones vero et laxamenta iisdem temporibus fieri eadem quae supra signa ostendant. Quin et ubi religare expedit, itidem factitandum. Hi autem, si decumbere non graventur, quadraginta fere diebus in totum convalescunt. Sin minus, cum his, quae prius exposita sunt, tum etiam gravioribus malis afficiuntur.

ια'. Ὅσοι δὲ πηδήσαντες [5]ἀφ' ὑψηλοῦ τινος ἐστηρίξαντο τῇ πτέρνῃ ἰσχυρῶς, τούτοισι [6]διΐσταται μὲν τὰ ὀστέα, φλέβια δ' ἐκχυμοῦνται ἀμφιφλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον, οἴδημα δ' ἐπιγίγνεται καὶ πόνος πουλύς. Τὸ γὰρ ὀστέον τοῦτο οὐ σμικρόν ἐστι καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην τῆς κνήμης, κοινωνέει δὲ φλεψὶ καὶ νεύροισι ἐπικαίροισι· ὁ τένων δὲ ὁ ὀπίσθιος τούτῳ προσήρτηται τῷ ὀστέῳ. Τούτους χρὴ ἰητρεύειν [7]μὲν

11. Quicumque vero ab alto desilientes vehementi cum impetu innituntur, iis ossa quidem diducuntur, venulae carne circa os collisa sanguinem effundunt, tumorque et dolor multus supervenit. Neque enim hoc os exiguum est, subterque e directo tibiae prominet et communionem cum venis et nervis magnis habet. Huic quoque ossi posteriore parte tendo annectitur. Curandi autem sunt cerato, spleniis et fasciis calidaque liberaliter affundenda et pluri-

[1] εἰκότως ὅλον. — [2] φαύλως. — [3] τὰ τῇ. — [4] ἀγαπήσωσι. — [5] ἐφ'. — [6] διΐστανται. — [7] μέν om.

ἀλλὰ πολλάκις — ὀχλέουσι.] Post ὑπομιμνήσκει ceteri εἰκότως. Emblema alienum delevi: vid. librum περὶ ὑγρῶν χρήσιος et quae de eo monuimus in prolegomenis vol. II. § 16.
ὁκόταν — κνήμῃ.] τὴν κνήμην mss. 12. apud Littr. et Voss.
10. τὰ δὲ — ἄλθεξις.] ἄλθεξις pro vulgato ἄλθαξις etiam Marc.
ἴησις — ποιέεσθαι.] πλέοσι mss. 9. apud Littr., πλείοσι vulg., πλείστοισι Bosq., qui paulo post σπλήνεσι πλέοσι; — dein τὰ τῇ μάλιστα Parr. 4., uti V., τῇ μ. solum J.
αἱ δὲ — ποιέεσθαι.] καὶ τὰ αὐτά J.; — δεικνυόντων ceteri.
ὑγιέες — μᾶλλον.] ἀγαπήσωσι codd. 8. apud Littr., inter quos cod. Sev., qui rursus cum V. congruit; — ceteri omnes ταῦτα minus recte pro ταὐτά.
11. ὅσοι — πουλύς.] διΐσταται C. M. N. Bosq., Littr., διΐστανται vulg.; — δὲ ἐκχυμ. mss. 6. Bosq.; — ἀμφιφλασθ. N. K. Bosq. Littr., ἀμφιθλασθ. vulg.; — δὲ ἐπιγιν. vulg., δ' ἐπιγιν. Ald., mss. 6., Gal.
τούτους — προσηνεστάτων.] καὶ ὀθονίοισι — χρῆσθαι

κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι· [1] ὕδατι δὲ θερμῷ πλείστῳ ἐπὶ τούτοισι χρῆσθαι· καὶ ὀθονίων πλειόνων ἐπὶ τούτοισι δεῖ, καὶ ἄλλως ὡς βελτίστων καὶ προσηνεστάτων. Καὶ [2] ἢν μὲν τύχῃ ἁπαλὸν τὸ δέρμα φύσι ἔχων τὸ ἀμφὶ τῇ πτέρνῃ, ἐᾶν οὕτως· ἢν δὲ παχὺ καὶ σκληρὸν, οἷα μετεξέτεροι [3] ἔχουσι, κατατάμνειν χρὴ ὁμαλῶς καὶ διαλεπτύνειν μὴ διατιτρώσκοντα. Ἐπιδεῖν δὲ ἀγαθῶς οὐ παντὸς ἀνδρός ἐστι τὰ τοιαῦτα· ἢν γάρ τις ἐπιδέῃ, ὥσπερ καὶ [4] τὰ ἄλλα τὰ κατὰ τὰ σφυρὰ ἐπιδεῖται, ὁτὲ μὲν περὶ τὸν πόδα [5] περιβαλλόμενος, ὁτὲ δὲ περὶ τὸν τένοντα, αἱ ἀποσφίγξιες αὗται χωρίζουσι μὲν τὴν πτέρνην, ᾗ τὸ [6] φλάσμα ἐγένετο, καὶ [7] οὕτω κίνδυνος σφακελίσαι τὸ ὀστέον τὸ τῆς πτέρνης· καίτοι ἢν σφακελίσῃ, τὸν αἰῶνα πάντα ἱκανὸν [8] ἀντίσχειν τὸ νόσημα. Καὶ γὰρ τἄλλα, ὅσα μὴ ἐκ τοιούτου τρόπου σφακελίζει, ἀλλ' ἐν κατακλίσι μελανθείσης τῆς πτέρνης ὑπὸ ἀμελείης τοῦ σχήματος, ἢ ἐν κνήμῃ τρώματος γενομένου ἐπικαίρου καὶ χρονίου καὶ κοινοῦ τῇ πτέρνῃ, ἢ ἐν μηρῷ, ἢ ἐπὶ ἄλλῳ νοσήματι ὑπτιασμοῦ χρονίου γενομένου, [9] ὁμῶς χρόνια καὶ ὀχλώδεα καὶ πολλάκις ἀναρρηγνύμενα, ἢν μὴ χρηστῇ μὲν μελέτῃ θεραπευθῇ, πολλῇ [10] δ' ἡσυχίῃ· ὡς τά γε σφακελίζοντα ἐκ τοῦ τοιούτου τρόπου καὶ κινδύνους μεγάλους τῷ σώματι παρέχει πρὸς τῇ ἄλλῃ λύμῃ. Καὶ γὰρ πυρετοὶ ὑπερόξεες, ξυνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης ἁπτόμενοι καὶ ὀλιγήμεροι κτείνοντες γένοιντο ἄν, καὶ φλε-

bus fasciis utendum, tum praecipue etiam quam optimae et lenissimae adhibendae. Quodsi cutis, quae calcem ambit, natura mollis exstiterit, sic sinere oportet; sin crassa et dura, qualis in nonnullis cernitur, ea aequaliter incidenda et attenuanda est, neque tamen perforanda. Illa autem recte deligare non est cuiusvis. Si quis enim eo modo devinciat, quo cetera circa malleolos vinciuntur, partim quidem ad pedem, partim vero ad tendinem fascia circumiecta, huiusmodi fasciarum constrictiones calcem, qua collisio exstitit, seiungunt, unde ei siderationis periculum impendet. Quod si accidat, toto aevo perdurat. Nam quae aliae sunt siderationes, velut ubi ex decubitu negligenter collocato calce is nigrescit, aut sive ex insigni et diuturno tibiae aut femoris vulnere, quod calci communicatum fuerit, sive ex alio morbo diu supini aegri decubuerint, similiter diuturnae et molestae sunt et quae saepe recrudescunt, nisi optima diligentia et longa quiete curentur. Quippe quaecumque huiusmodi siderationes fiunt, eae praeter aliam noxam corpus quoque in summum discrimen adducunt. Febres enim admodum acutae, assiduae cum tremore et singultu, mentem tentantes et quae paucis diebus aegrum e medio tollant, oriuntur et venarum sanguinem fundere solitarum livores, stupores et gangraena propter compressionem. Possunt etiam illa incidere praeter reliquam siderationem. Atque haec quidem ad vehementissimas collisiones referenda sunt. Plurima tamen leviter collidun-

[1] ὕδατι — ὀθονίοισι om. — [2] εἰ μὲν τύχοι. — [3] ἴσχουσι. — [4] τἄλλα. — [5] ἐπιβαλλ. — [6] θλάσμα. — [7] οὕτως. — [8] ἀντισχεῖν. — [9] ὅμως. — [10] δὲ ἡσ.

omm. Parr. 7.; — ἐπί ante τούτοισι de suo explevit Littr., vulgo om.; — Marc. θερμωι πλειστωι καὶ θερμωι τουτεοισι; — ὀθονίων πλειόνων B. M. N. Littr., ὀθονίοισι πλείοσι vulg.

καὶ ἢν — διατιτρώσκοντα.] εἰ codd. 7. apud Littr., Marc., Gal., alii et Littr.; — τὴν πτέρνην C.; — ἔχουσι pro vulgato ἴσχουσι mss. 7. apud Littr.; — κατατάμνειν Ionice e codd. multis Bosq., Littr.; idem fert Marc.

ἐπιδεῖν — νόσημα.] τἄλλα codd. pauciores; — τά ante σφυρά vulgo om., sed multi libri scripti et editi ferunt; — ἐπιβαλλόμενος nonnulla mss., ἐπιβαλόμενος J.; — χωρίζουσι μὲν τὴν πτ. Gal., ceteri μέν omm.; φλάσμα codd. 4. apud Littr., Marc., Bosq., Littr., θλάσμα vulg.; — εἰ σφακελίσει non pauci codd.

καὶ γὰρ — λύμη.] τοῦ τραύματος K.; — γενομένου C. M. N. Bosq., Littr., γινομ. vulg.; — ὁμῶς Littr. de suo, ὅμως vulg.; — post ὁμῶς eieci emblema alienum καὶ τοῖσι τοιούτοισι; — δὲ ἡσυχίῃ non pauci codd., Bosq. — In ὡς τά γε — λύμῃ sequor vulgatam, nisi quod καί ante κινδύνους e Marc., aliis recepi; Littréus dedit ὡς τά γε σφακελίζοντα· ἐκ τοῦ τοιούτου δὲ τρόπου σφακελίζοντα καὶ κινδύνους μεγάλους τῷ σώματι παρέχει πρὸς τῇ ἄλλῃ λύμῃ secutus cod. Sev., cum cuius scriptura codicis Voss. lectio convenit. Nonnulli codd. in eadem lectione δέ non habent.

καὶ γὰρ — σφακελισμοῦ.] κτείνοντές τε γένοιτο (γένοιντο J. K. Littr.) δ' ἂν καί vulg.; ego otiosa τε et δέ reiicio. Pro ναρκώσιες, quae plerorumque mss. et Marciani et Voss. lectio est, ναυσιώσιες vulgo. Foësius adeo ναυσιώσιες φλεβῶν in Oeconomiam recepit; quin in Lexica hodierna id transiit. Tum Foës., tum Littr. provocant ad Galeni comm.,

βῶν αἱμορρόων πελιώσιες, ναρκώσιες καὶ γαγγραινώσιες ὑπὸ τῆς πιέξιος· γένοιτο δ' ἂν ταῦτα ἔξω τοῦ ἄλλου σφακελισμοῦ. Ταῦτα μὲν οὖν εἴρηται οἷα τὰ ἰσχυρότατα θλάσματα γίγνεται· [1] τὰ μέντοι πλεῖστα ἡσυχαίως ἀμφιθλᾶται καὶ οὐδεμία πολλὴ σπουδὴ τῆς μελέτης, ἀλλ' ὅμως ὀρθῶς γε [2] χρὴ χειρίζειν. Ἐπὴν [3] μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ ἔρεισμα, τά τε εἰρημένα ποιέειν χρὴ καὶ τὴν ἐπίδεσιν τὴν πλείστην ποιέεσθαι ἀμφὶ τὴν πτέρνην περιβάλλοντα, ἄλλοτε πρὸς τὰ ἄκρα τοῦ ποδὸς ἀντιπεριβάλλοντα, ἄλλοτε πρὸς τὰ μέσα, ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην· προσεπιδεῖν δὲ καὶ τὰ πλήσιον πάντα [4] ἔνθεν καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται, καὶ ἰσχυρὴν μὲν μὴ ποιέεσθαι τὴν πίεξιν, [5] πολλοῖσι δὲ τοῖσι ὀθονίοισι· ἄμεινον δὲ καὶ ἐλλέβορον πιπίσκειν αὐθημερὸν ἢ τῇ ὑστεραίῃ· ἀπολῦσαι δὲ τριταῖον [6] καὶ αὖτις μετεπιδῆσαι. Σημεῖα δὲ τάδε, εἰ παλιγκοταίνει ἢ οὔ· ἐπὴν μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν καὶ τὰ μελάσματα καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γένηται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. Ἀλλ' ἢν μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρή, ὥσπερ εἴρηται, [7] ὅσοι ἂν μὴ ξυνεχῶς πυρεταίνωσι· ἢν δὲ ξυνεχῶς, μὴ φαρμακεύειν, ἀπέχειν δὲ σιτίων καὶ ῥοφημάτων, ποτῷ δὲ χρῆσθαι ὕδατι καὶ μὴ οἴνῳ, ἀλλὰ τῷ ὀξυγλύκεϊ. Ἢν δὲ μὴ μέλλῃ παλιγκοταίνειν, τὰ ἐκχυμώματα καὶ τὰ μελάσματα καὶ τὰ περιέχοντα ὑπόχλωρα γίγνεται καὶ οὐ σκληρά· ἀγαθὸν τοῦτο τὸ μαρ-

tur, ac neque magnum studium nec diligentiam requirunt; nihilominus recte tractari debent. Ubi autem vehemens illisio incumbere videbitur, tum fulcire, tum quae dicta sunt facere convenit. Tum vero maxima fasciae parte ad calcem circumiecta, partim summum pedem, partim medium, interdum etiam quae ad tibiam sunt, oppositis inter se ductibus obvolvere, tum vicinae partes omnes hinc et inde, velut ante dictum est, vinculis comprehendere, neque vehementem quidem compressionem, sed multas tamen linteorum convolutiones facere. Praestat autem eodem aut postero die veratri potionem exhibere tertioque die solvere ac rursus deligare. Recrudescat vero necne morbus, his indiciis cognoscetur: ubi sanguis e venis refusus, aut quae nigricant, quaeque his vicina sunt aliquantulum rubescunt aut obdurescunt, periculum est ne recrudescat. Sin febre vacet aeger, sursum purgante medicamento utendum, velut dictum est; quod idem etiam convenit, ubi febris non est assidua. Eo namque, si febris fuerit assidua, abstinendum, ut et cibis et sorbitionibus, potioneque utendum aquae, non vini, sed aquae mulsae acidae, ὀξύγλυκυ vocant. At si nullus recrudescentis morbi metus est, sugillata et nigrores circumvicinaeque partes citra duritiem aliquantulum ex virore pallescunt. Id quod certum est in omnibus sugillatis indicium, non futurum ut unquam morbus recrudescat. Quae vero cum duritie livent, ea certo ne nigrescant, periculum est. Ac danda est opera

[1] ταῦτα. — [2] δεῖ. — [3] μὲν τὸ ἰσχ. — [4] καὶ ἔνθεν καὶ ἔ. — [5] ἐν πολλοῖσι. — [6] καί om. — [7] ὅσα μὴ ξυνεχεῖ πυρεταίνεται, ἢν δὲ ξυνεχεῖ πυρεταίνῃ.

quem confer p. 459. seq. — Galenus pessime falsus est et ineptias nobis venditat: si locum eius conferas, videbis ei ob mentem versatum fuisse vitiosum illud ἢν τὰ περὶ τὸν ἐγκέφαλον φλέβια ὑπερεμήσῃ ex initio § 4. libri II. de morbis, de quo dixi p. 184. seq. voluminis II. Ipsa forma ναυσιώσιες incognita; tum vero ναρκώσιες cum rerum nexu ita congruit, ut nisi interpretes modeste credidissent Galenum omnia se melius novisse, tam absurdum quid, quam est illud φλεβῶν ναυσιώσιες, profecto non concoxissent.

ταῦτα — χειρίζειν.] φλάσματα C. D. H. K. Marc., Bosq., Littr., θλασμ. vulg.; — ταῦτα μέντοι vulgo, τὰ μ. D. M. N. Bosq. Littr.; — ἀμφιφλᾶται C. D. H. I. K., Marc., Bosq., Littr., per θ vulgo; — δεῖ pro χρή multi codd.

ἐπὴν — μετεπιδῆσαι.] ἄλλοτε δὴ πρὸς τὰ περὶ τὴν κνήμην J.; — καὶ ἔνθεν καὶ ἔνθεν vulgo, prius καί omm. C. K. Littr.; — ἐν πολλοῖσι plurimi libri, Gal., Littr., ἐν om. vulg.; — πῖσαι pro πιπίσκειν Bosq.; — ἢ αὐθημ. Bosq. solus; — αὖτις Marc., per θ. vulg.

σημεῖα — παλιγκοτῆσαι.] ἢν παλιγκοταίνῃ vulg., εἰ παλιγκοταίνει Marc., alii; — γίνεται vulg., γίνηται Bosq., Littr., aoristum de meo dedi.

ἀλλ' ἢν — ὀξυγλύκεϊ.] ὡς προείρηται pro ὥσπερ εἴρ. Bosq.; — καὶ (καί om. Bosq.) ὅσα (ἂν addunt B. M. N. Littr.) μὴ ξυνεχῆ (ξυνεχεῖ alii libri, B. ξυνεχῶς) πυρεταίνηται (πυρεταίνεται alii) ἢν δὲ ξυνεχῆ πυρεταίνηται (πυρετοίνῃ codd. 9.) μὴ φαρμ. vulgo; de meo emendavi; — ἀπέχειν δέ vulg., δὲ καί J. Bosq.; — τῷ cum multis mss. Bosq. Littr.; vulgo om.

ἢν δὲ μὴ — μελανθῆναι.] οὐ σκληρά multi codd. Littréi,

τύριον ἐν πᾶσι τοῖσι ἐκχυμώμασι, τοῖσι μὴ μέλλουσι παλιγκοταίνειν· [1]ὅσα δὲ ξὺν σκληρύσμασι πελιοῦται, κίνδυνος μὲν μελανθῆναι. Τὸν δὲ πόδα ἐπιτηδεύειν χρὴ ὅκως [2]ἀνωτέρω τοῦ ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. Ὑγιὴς δ' ἂν γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσι, εἰ [3]ἀτρεμέοι.

ιβ'. Ἡ δὲ κνήμη δύο ὀστέα [4]ἐστὶ, τῇ μὲν συχνῷ λεπτότερον [5]τὸ ἕτερον τοῦ ἑτέρου, τῇ δὲ οὐ πολλῷ λεπτότερον· ξυνέχεται δὲ ἀλλήλοισι τὰ πρὸς τοῦ ποδὸς καὶ ἐπίφυσιν κοινὴν ἔχει, ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ ξυνέχεται· τὰ δὲ [6]πρὸς τοῦ μηροῦ ξυνέχεται καὶ ἐπίφυσιν ἔχει, καὶ ἡ ἐπίφυσις [7]διάφυσιν· μακρότερον δὲ τὸ ἕτερον ὀστέον σμικρῷ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον· καὶ ἡ μὲν φύσις τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ.

ιγ'. Ὀλισθάνει δ' ἔστι ὅτε τὰ πρὸς τοῦ ποδὸς, ὁτὲ μὲν ξὺν τῇ ἐπιφύσι ἀμφότερα τὰ ὀστέα, ὁτὲ δὲ ἡ ἐπίφυσις ἐκινήθη, ὁτὲ δὲ τὸ ἕτερον ὀστέον. Ταῦτα δὲ ὀχλώδεα μὲν ἧσσον ἢ τὰ ἐν τῷ καρπῷ τῶν χειρῶν, εἰ τολμῷεν ἀτρεμέειν οἱ ἄνθρωποι. Ἴησις δὲ παραπλησίη, οἵη περ ἐκείνων· τήν τε γὰρ ἐμβολὴν χρὴ ποιέεσθαι ἐκ κατατάσιος ὥσπερ ἐκείνων, ἰσχυροτέρης δὲ δεῖται τῆς κατατάσιος, ὅσῳ [8]καὶ ἰσχυρότερον τὸ σῶμα ταύτῃ. Ἐς τὰ πλεῖστα μὲν γὰρ ἀρκέουσι ἄνδρες δύο, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν τείνοντες. Ἢν δὲ μὴ ἰσχύωσι, ἰσχυροτέρην ῥηΐδιόν ἐστι ποιέειν τὴν κατάτασιν· ἢ γὰρ πλήμνην κατο-

ut pes plerumque reliquo corpore paulo altior collocetur. Sanus autem, si quiescat, intra sexaginta dies evadet.

12. At vero tibiam duo ossa constituunt, quorum quidem unum altero hac parte longe tenuius, illa vero parte paulo tenuius est. Cohaerent autem inter se qua parte pedem contingunt communeque habent ossis accrementum, sed in tibiae directione non cohaerent. Ad femur vero adnato quodam osse coniunguntur, quod septum medium habet. Osque alterum qua parte parvum digitum spectat paulo longius producitur. Atque ossium tibiae natura sic se habet.

13. Atque haec utraque ossa interdum quidem qua pedem contingunt, una cum adnato osse suis sedibus excidunt, quandoque vero adnatum os dimovetur, quandoque etiam alterum os. Haec sane, modo homines quiescant, minus molestiae exhibent quam quae in prima manus iunctura exsistunt. Curatio vero in utroque similis. Nam et hîc per intentionem repositio, velut in illis molienda. Quamquam eo validiorem haec intentionem desiderant, quo validius hac parte corpus est. Ut plurimum tamen duo viri satis sunt, qui in diversa contendunt: sin minus, valentiorem intentionem moliri proclive est. Aut enim humi defosso

[1] καὶ ὅσα δέ σὺν σκλ. — [2] ἀνώτερον. — [3] ἀτρεμέει. — [4] ἔχει. — [5] τὸ — ἑτέρου om. — [6] πρό. — [7] διάχυσιν. — [8] καί om.

Marc., Littr., μὴ σκλ. vulgo; — καὶ ἐν πᾶσι Bosq.; — τοῖσι om. vulg., revocarunt e mss. Bosq., Littr.

τὸν δὲ — ἀτρεμέοι.] δὲ ἄν C.; — ἀτρεμέει codd. 9.

12. ἡ δὲ κνήμη — τῇ κνήμῃ.] ἔχει, uti V., pro ἐστί codd. plures Parr., Bosq.; — πῇ Gal. bis in comm. 4. in librum περὶ ἄρθρων p. 672.; — συχνῶς M. et N. prima manu; — τὸ ἕτερον τοῦ ἑτέρου, sicut V., omm. plures codd.; — οὐ πολὺ λεπτ. cod. Sev. et Voss.; — πρὸς τῷ μηρῷ B. H. M. N.; — διάχυσιν plures Parr. et Marc., uti V.; — Galeni comm. ad μακρότερον — δάκτυλον corruptus est, sed ad textus intelligentiam nihil refert, quum is sit integer et intellectu facilis. Littréus observat nostri descriptionem fibulae non plane rerum naturae respondere, quum tibia et fibula aeque longae sint; scriptorem nostrum tamen hac in re sibi esse similem infra cap. 18. et 37., ubi vide; at manifesto fibulae extremum inferius magis deorsum prominet quam tibiae; itaque noster cum utrique ossi caput commune supra tribuat, fibulam longiorem esse credere debuit. Si quis tibiam et fibulam in praeparato crure conspicit, res illi dubia non erit. — Porro καί ante ἡ φύσις multa mss., inter quae cod. Sev. et Voss.; Bosq. recepit, ceteri omm.

13. ὀλισθάνει — ὀστέου.] δ' M. N., δέ plene vulg.

ἴησις — ταύτῃ.] ἐκείνων B. M. N. Littr., ἐκείνῳ vulg.; — ὅσῳ καί iidem, καί om. vulg.

ἐς τὰ πλεῖστα — τείνοντες.] ἐκτείνοντες C.

ἢν δὲ μὴ — ἰγνύης.] τι post ἄλλο, uti V., omm. mss. 8.; — βοείοισι om. C.; — προσδήσαντα Bosq., Littr., προσδήσαντας cett.; — ἐπανακλᾶν codd. 12., Bosq., Littr., ἀνακλᾶν vulg.; — τε τῶν vulg., voculas transposuit Littr.; — ἄνωθέν τε ἐχομένους τῶν ὤμων mss. 9.

ῥύξαντα χρὴ, ἢ ἄλλο [1]τι ὅ τι τούτῳ ἔοικε, μαλθακόν τι περὶ τὸν πόδα περιβάλλειν· ἔπειτα πλατέσι βοείοισι ἱμᾶσι περιδήσαντα τὸν πόδα, τὰς ἀρχὰς τῶν ἱμάντων ἢ πρὸς ὕπερον ἢ πρὸς ἕτερον ξύλον [2]προσδήσαντα, τὸ ξύλον πρὸς τὴν πλήμνην ἄκρον ἐνθέντα ἐπανακλᾶν· τοὺς δὲ ἀντιτείνειν, [3]ἄνωθεν τῶν τε ὤμων ἐχομένους καὶ τῆς ἰγνύης. Ἔστι δὲ καὶ τὸ ἄνω τοῦ σώματος ἀνάγκῃ προσλαβεῖν· τοῦτο μὲν ἢν βούλῃ, ξύλον στρογγύλον, λεῖον, κατορύξας βαθέως, μέρος τι αὐτοῦ ὑπερέχον μεσηγὺ τῶν σκελέων ποιήσασθαι παρὰ τὸν περίνεον, ὡς κωλύῃ ἀκολουθέειν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσι· ἔπειτα πρὸς τὸ τεινόμενον σκέλος μὴ ῥέπειν, τὸν δέ τινα πλάγιον παρακαθήμενον ἀπωθέειν τὸν γλουτὸν, ὡς μὴ περιέλκηται τὸ σῶμα. Τοῦτο δὲ καὶ, ἢν βούλῃ, περὶ τὰς μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παραπεπηγέναι, αἱ δὲ χεῖρες παρατεταμέναι φυλασσέσθων, προσεπιλαμβανέτω δέ τις κατὰ γόνυ [4]καὶ οὕτως ἀντιτεινέτω. Τοῦτο δὲ, ἢν παρὰ τὸ γόνυ βούλῃ ἄλλους ἱμάντας περιδήσας, [5]ἢ περὶ μηρὸν, πλήμνην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας, ἐξαρτήσας τοὺς ἱμάντας ἔκ τινος ξύλου, τὸ ξύλον στηρίζων ἐς τὴν πλήμνην τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν. Τοῦτο δὲ, ἢν βούλῃ, ἀντὶ τῶν πλημνέων δοκίδα [6]ὑποτείνας ὑπὸ τὴν κλίνην μετρίην, ἔπειτα πρὸς τῆς δοκίδος ἔνθεν καὶ ἔνθεν τὴν κεφαλὴν στηρίζων καὶ ἀνακλῶν τὰ ξύλα κατατείνειν τοὺς ἱμάντας· ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας ἔνθεν καὶ ἔνθεν ἐπ' ἐκείνων τὴν κατάτασιν ποιέεσθαι. Πολλοὶ δὲ καὶ ἄλλοι τρόποι κατατασίων.

rotae modiolo, aut alia quapiam re huic simili, molle aliquid ad pedem circumdare oportet, deinde loris bubulis latis pedem circumvincire eorumque capitibus aut ad pistillum, aut ad aliud lignum alligatis, lignum, summa eius parte in modiolum immissa, reflectere, quosdam vero a superiore parte humeris apprehensis et poplite in diversum extendere. Potest vero et superior corporis pars vi firmiter stabiliri: partim quidem, si velis, ligno tereti, laevi, alte defosso, fac ut pars eius aliqua supra terram eminens inter crura ad interfemineum statuatur, ne corpus ad eos, qui a pedibus extensionem faciunt, dilabatur. Deinde, ne in crus quod intenditur inclinet, aliquis a latere assidens natem repellat, ne corpus circumducatur. Tum etiam, si velis, ligna circa axillas utrinque statuantur, manus vero ut iuxta corpus extensae sint curetur, prehendat autem aliquis circa genu et ita contratendat. Quin etiam, si placet, hoc molieris aliis habenis ad genu vel femur alligatis, si alterum rotae modiolum ad caput desederis, et habenis ad aliquod lignum, quod in rotae modiolum defixum sit, religatis, contrariam ei, quae ad pedes fit, extensionem feceris. Quin si lubet, modiolorum loco subtensa lecto mediocri trabecula, deinde ad eius capita hinc et inde lignis obfirmatis et reflexis lora intendere licebit. Quodsi placet, per asellos ab utraque parte collocatos extensionem molieris. Sunt et alia quam plurima distentionum genera. Praestat autem eum, qui in magna urbe medicinam factitat, lignum habere praeparatum, in quo omnes modi vim

[1] τι om. — [2] προσδήσαντας. — [3] ἄνωθέν τε ἐχομένους τὸν ὦμον καί. — [4] καὶ — γόνυ om. — [5] καὶ περὶ τὸν μηρόν. — [6] ὑποκλίνας ὑποτείνας.

ἔστι δὲ — σῶμα.] τοῦ ante σώματος omm. nonnulli libri, inter quos Marc.; — ἀνάγκην Ald., Marc., ἀνάγκη vulg., ἀνάγκῃ Latine alii, Graece Littr.; — ὡς μέρος τι Bosq.; — τὸ περιν. G., περίναιον codd. 5. Bosq. — Membrum ἔπειτα — σῶμα in nonnullis mss. Galeni tempore omissum fuisse, constat e Comm. p. 480.

τοῦτο δὲ — ἀντιτεινέτω.] Vulgo τοῦτο δὲ καὶ ἢν περὶ τὰς μασχάλας ἔνθεν καὶ ἔνθεν παραπέπηγεν (παραπεπήγῃ M. N. Marc.) αἱ δὲ χεῖρες παρατεταμέναι φυλάσσονται, προσεπιλαμβανέτω δέ τις κατὰ (τό addunt mss. 6., Bosq., Littr.) γόνυ καὶ οὕτως ἀντιτείνοιτο. Littréus principio καὶ ἢν βούλῃ de suo scripsit, quo facto emendatio loci recte inchoata, non perfecta videtur: nam post ἢν βούλῃ indicativi παραπέπηγεν et φυλάσσονται parum congruunt, tum ἀντιτείνοιτο duplici modo peccat: neque enim verbum medium, neque optativus quadrat. Itaque vide num in πέπηγεν αἱ δὲ χ. lateat πεπηγέναι· αἱ δὲ χεῖρες. Facile ex ἀντιτείνοιτο eruis ἀντιτεινέτω; sed paulo violentior correctio est φυλασσέσθων pro φυλάσσονται, neque tamen ea carere posse nobis videmur.

τοῦτο δ' ἢν — ἕλκειν.] βούληται ceteri, βούλῃ de meo; — καὶ περὶ τοῦ μ. Parr. 7., Gal.; — ἐξαρτήσας τε vulg., sed τε omm. mss. 10. et Littr.

τοῦτο δ' ἢν — ποιέεσθαι.] εἰ — βούλει J.; — δ' ἐθέλῃς idem.

πολλοὶ — πάχος.] ὥσπερ J. pro ὅστις, voluerint ὅσπερ; —

Ἄριστον δὲ, ὅστις ἐν πόλι μεγάλῃ ἰητρεύει κεκτῆσθαι ἐσκευασμένον ξύλον, ἐν ᾧ πᾶσαι [1]αἱ ἀνάγκαι ἔσονται πάντων μὲν κατηγμάτων, πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος καὶ μοχλεύσιος· ἀρκέει δὲ τὸ ξύλον, ἣν [2]ᾖ τοιοῦτον οἷον οἱ τετράγωνοι [3]στύλοι οἱ δρύϊνοι γίγνονται, μῆκος καὶ πλάτος καὶ πάχος.

ιδ'. Ἐπὴν δὲ ἱκανῶς καταταvύσῃς, ῥηΐδιον ἤδη τὸ ἄρθρον ἐμβάλλειν· ὑπεραιωρέεται γὰρ ἐς ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης ἕδρης· [4]κατορθοῦσθαι οὖν χρὴ τοῖσι θέναρσι τῶν χειρῶν, [5]τῷ μὲν ἐς τὸ ἐξεστηκὸς ἐρείδοντα, τῷ δ' ἐπὶ θάτερα κατώτερον τοῦ σφυροῦ ἀντερείδοντα. Ἐπὴν δ' ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ, κατατεταμένον ἐπιδεῖν χρή· ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα ἀντικατατείνειν, ἔστ' ἂν ἐπιδήσῃς. Ἐπιδεῖν δὲ τὸν αὐτὸν τρόπον καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον κατὰ τὸ ἐξεστηκὸς καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας κατὰ τοῦτο ποιέεσθαι, καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο, καὶ τὴν πίεξιν μάλιστα κατὰ τωὐτό· προσεπιδεῖν δὲ καὶ [6]ἔνθεν καὶ ἔνθεν ἐπὶ συχνόν. Μᾶλλον δέ τι τοῦτο τὸ ἄρθρον πεπιέχθαι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσι ἢ τὸ ἐν τῇ χειρί. Ἐπὴν δὲ ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ ἄλλου σώματος ἐχέτω [7]τὸ ἐπιδεθὲν, τὴν δὲ θέσιν δεῖ ποιέεσθαι οὕτως, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς. Τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτω ποιέεσθαι, ὁκοίην τινὰ δύναμιν ἔχει καὶ τὸ ὀλίσθημα· τὰ μὲν γὰρ σμικρὸν, τὰ δὲ

exercendi contineantur, quae tam in fractis quam in luxatis omnibus restituendis, tum per extensionem, tum per vectis molitionem adhibetur. Ad hoc satis erit lignum longitudine, latitudine et crassitie, quales columnae querneae quadrangulares fieri assolent.

14. Abunde igitur distento crure articulus iam prompte reponitur. Sublimis enim in directum supra pristinam sedem tollitur. Ergo manuum palmis componere oportet, partim supra prominens os urgendo, partim infra malleolum contra propellendo. Repositum articulum intentum, si fieri potest, deligare oportet; sin lora prohibeant, iis solutis, dum vinculum iniectum sit, in diversa diducere. Deligandum vero eodem modo, fasciarum initiis qua parte os prominet similiter iniectis primisque orbibus quam plurimis eodem volutis et spleniis plurimis ad id adhibitis illicque potissimum adstrictis. Praetereaque hinc et inde plurimum vinculo circumdandum. Hic vero articulus prima deligatione magis comprimendus quam qui in manu est. Iniecto vinculo pars deligata reliquo corpore superior statuatur. Situs autem is esse debet, ut pes quam minime dependeat. At corporis extenuationem talem feceris, prout gravis luxatio fuerit, si quidem nonnulla leviter, alia multum luxantur. Omnino magis et diutius in crurum quam brachiorum vulneribus extenuandum est, quippe cum haec illis sint maiora et

[1] αἱ om. — [2] ᾖ om. — [3] στύλοι οἷοι δρύϊνοι. — [4] κατορθώσαντα. — [5] τοῖσι δὲ ἐς τὸ ἐξεστηκὸς ἐρείδοντα ἐπὴν δέ. — [6] ἔνθεν ἐπὶ συχνόν. — [7] τό om.

αἱ ante ἀνάγκαι multi codd.; Bosq., Littr., vulgo om.; — πάντων τῶν κατηγμ. vulgo, μέν pro τῶν multa mss. et Littr., μὲν τῶν Bosq. — Vulgo στύλοι οἷοι, in quo latere στύλοι οἱ nemo semel admonitus negabit. Littréus pro στύλοι οἷοι de suo τρίβολοι dedit, quod auctor profecto non voluit. Quae de obscuritate Latinorum Foësii monet Littr., vana querela mihi videtur. De re, de qua hîc agitur, vid. infra de articulis cap. 120., quem locum si conferas, mireris fortasse latitudinem eiusmodi στύλων; lignum enim unum describitur ὡς δίπηχυ. Nec tamen video quercinum lignum illius mensurae dari non potuisse, quin vidi plura. Praeterea capite 120. legis πάχος δὲ ἀρκέει σπιθαμιαῖον, itaque licet τετράγωνον appellet, non ideo putandum latitudinem et crassitudinem aequales eum voluisse.

14. ἐπὴν — ἀντερείδοντα.] ἐμβαλεῖν ceteri, ἐμβάλλειν de meo; — κατορθοῦσθαι B. M., Littr., κατορθώσαντα vulg.; — τοῖσι δὲ — τοῖσι δέ vulg., sed pro priore δέ ferunt μέν B. M. N. Littr., verum τοῖσι minus congruum est; singulae enim manus suum sibi habent θέναρ, non sua θέναρα; itaque τῷ μὲν — τῷ δέ dedi. Eadem omissio, quam e V. notavi, in pluribus habetur libris Parr.; — δ' ἐπί M. N., δὲ ἐπί vulg.

ἐπὴν δὲ — ἐπιδήσῃς.] δ' ἐμβ. edd. antt., M., δὲ ἐμβ. vulg.; — κατατεταμένον Ald., M. N., Marc., κατατεταμένα cett.; — εἰ δὲ κωλύεται J. — Littréus in ἀντικατατείνειν fortasse αὖτις κατατείνειν latere scribit; non credo.

ἐπιδεῖν — συχνόν.] βαλόμενον J.; — κατὰ τωὐτό e pluribus mss. Littr., ubi vulgo κατὰ τοῦτο.

ἐπὴν — ὁ πούς.] ποιέεσθαι e multis codd. Littr., ποιήσασθαι vulg.

τὸν δὲ — ὀλισθάνει.] τινά ex codd. antt. et mss. revocavit Littr., vulgo abest; — ἔχῃ Marc.

μέγα ὀλισθάνει. Τὸ ἐπίπαν δὲ ἰσχναίνειν μᾶλλον καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ τὰ σκέλεα τρώμασι ἢ ἐν τοῖσι κατὰ [1]τὰς χεῖρας· καὶ γὰρ μέζω καὶ παχύτερα ταῦτα ἐκείνων· καὶ δὴ καὶ ἀναγκαῖον ἐλινύειν τὸ σῶμα καὶ κατακεῖσθαι. Μετεπιδῆσαι δὲ τὸ ἄρθρον οὔτε τι κωλύει τριταῖον, οὔτε κατεπείγει. Καὶ τὰ ἄλλα πάντα [2]παραπλησίως χρὴ ἰητρεύειν ὥσπερ καὶ τὰ παροιχόμενα. Καὶ ἢν μὲν [3]τολμᾷ κατακεῖσθαι, ἱκαναὶ τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ ὀστέα αὖθις [4]καθίζηται· ἢν δὲ μὴ θέλῃ ἀτρεμέειν, χρῷτο μὲν ἂν οὐ ῥᾳδίως τῷ σκέλεϊ, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ' ἂν πουλὺν χρόνον. Ὁκόσα μέντοι τῶν ὀστέων μὴ τελέως ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει, τῷ χρόνῳ λεπτύνεται, — ἰσχίον καὶ μηρὸς καὶ κνήμη, — καὶ ἢν μὲν εἴσω ὀλίσθῃ, τὸ ἔξω μέρος λεπτύνεται, ἢν δ' ἔξω, τὸ εἴσω. Τὰ πλεῖστα δὲ ἐς τὸ ἔσω ὀλισθάνει.

crassiora. Quin etiam corpus quiescere et iacere necesse est. Solvere vero articulum tertio quoque die posteaque deligare neque quidquam prohibet, neque urget. Reliquaque omnia similem praecedentibus curationem habeant. At si decumbere sustineat, satis esse possunt quadraginta dies, dummodo in pristinam sedem ossa reverterint. Sin quiescere nolit, et crure difficilius utetur, et diutissime vinctum gestare cogetur. At vero ubi ossa suis sedibus non integre restituuntur, sed aliqua ex parte deficiunt, temporis lapsu coxa, femur et tibia emacrescunt. Ac si quidem intro luxatio facta est, exteriore parte, si extra, interiore parte attenuatio fieri solet. Plerumque tamen intro excidunt.

ιε'. Ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα καταγῇ ἄνευ ἑλκώσιος, κατατάσιος ἰσχυροτέρης δεῖται. Τείνειν δὲ [5]τούτων τῶν τρόπων τῶν προειρημένων τινὶ, [6]ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσι. Ἱκαναὶ δὲ καὶ [7]αἱ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες· [8]τὰ πλεῖστα γὰρ ἀρκέοιεν ἂν δύο ἄνδρες ἐῤῥωμένοι, ὁ μὲν ἔνθεν, ὁ [9]δ' ἔνθεν ἀντιτείνοντες. Τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν καὶ κατὰ τὴν ἰθυωρίην τῆς κνήμης καὶ τοῦ μηροῦ, καὶ ἢν κνήμης ὀστέα [10]κατεηγυίης κατατείνῃς καὶ ἢν μηροῦ. Καὶ ἐπιδεῖν δὲ οὕτως ἐκτεταμένων ἀμφοτέρων, ὁκότερον ἂν τούτων ἐπιδέῃς· οὐ γὰρ ταὐτὰ

15. Cum autem utraque tibiae ossa absque ulcere fracta fuerint, validiorem intentionem requirunt. Ac si pars ossis aliqua plurimum super alteram efferatur, aliquem ex ante commemoratis intendendi modis adhibere convenit. Satis tamen esse possunt extensiones, quas per homines molimur. Nam et plerumque duo valentes viri, qui hinc et inde in diversa contendunt, satis sunt. Intendere autem in directum pro naturali habitu ac secundum tibiae et femoris rectitudinem oportet, sive tibiae fractae, sive femoris ossa intendas. Quin et utrumvis devinxeris, ita extenta utraque deliganda sunt.

[1] τὴν χεῖρα. — [2] παραπλησίως om. — [3] τολμᾷ om. — [4] κατίζηται. — [5] τουτέον τὸν τρόπον. — [6] τινὶ ἤν. — [7] αἱ om. — [8] τὰ γὰρ πλ. — [9] δέ. [10] κατηγυίης.

τὸ ἐπίπαν — κατακεῖσθαι.] δὲ ἰσχν. Littr. cum B. L. M. N., Chart., Bosq., δεῖ ἰσχν. vulgo: — κατὰ τὰ σκ. mss. 9. Parr., Bosq., Littr., τά om. vulg.; — τὰς χεῖρας K., τάς om vulg., τὴν χεῖρα alii cdd. non pauci et Bosq.; — ταῦτ' ἐκείνων M. N.; — καὶ δεῖ καί D. H. K.

καὶ τὰ ἄλλα — παροιχόμενα.] τἄλλα M. N.

καὶ ἢν μὲν τολμᾷ — χρόνον.] καὶ ἢν μὲν τολμᾷ ἀτρέμα κατακεῖσθαι Littr., τολμᾷ tamen om. vulg., sed ferunt B. M. N., Bosq., tum latet in τὸ αἷμα codicum C. Marc., qui ἀτρέμα omittunt. Puto fere in lectt. codicum latere duplicem lectionem: alteram καὶ ἢν μὲν τολμᾷ κατακεῖσθαι, alteram καὶ ἢν μὲν ἀτρεμέῃ, quarum illam recepi; οὐ βραδέως B. C. N. Marc., Merc. in marg.; — δ' ἀναγκ. codd. 6. apud Littr.

ὁκόσα — εἴσω.] ἢν δ' ἔξω C., δέ plene cett.

15. τείνειν — ἔωσι.] τουτέον (τοῦτον B. M. N.) τὸν τρόπον multi Parr.; — post τρόπων vulgo ἐνίοισι, sed vulgo item post προειρημένων legitur τισί, pro quo alia mss. et Marc. τινί, quod amplector ἐνίοισι repudians. Littréus ἐνίοισι servavit, τινί contra omisit; dissentio.

ἱκαναὶ — ἀντιτείνονται.] Vulgo αἱ post καί abest, M. N. αἱ sine καί habent, δ' αἱ sine καί B.; Littréus, quem sequor, καὶ αἱ recepit. Tum ἐς τὰ πλεῖστα N. solus, sed ἐς obliteratum est; — δὲ ἔνθεν C. Bosq.

τείνειν — μηροῦ.] καὶ κατὰ φ. M.; — καί ante ἢν κνήμης omm. non pauci Parr.

ξυμφέρει σκέλεΐ τε καὶ χειρί. Πήχεος μὲν γὰρ καὶ βραχίονος ἐπὴν ἐπιδεθῶσι ὀστέα κατεηγότα, ἀναλαμβάνεται ἡ χεὶρ, καὶ ἢν ἐκτεταμένην ἐπιδέῃς, τὰ σχήματα τῶν σαρκῶν ἑτεροιοῦνται ἐν τῇ ξυγκάμψι τοῦ ἀγκῶνος· ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσθαι πουλὺν χρόνον· οὐ γὰρ πολλάκις οὕτως εἴθισται [1] ἐσχηματίσθαι, ἀλλὰ ξυγκεκάμφθαι· καὶ δὴ καὶ ὅτε δύνανται οἱ ἄνθρωποι περιϊέναι, ἐπὴν τὴν χεῖρα [2] τρωθῶσι, ξυγκεκάμφθαι [3] κατὰ τὸν ἀγκῶνα δέονται. Σκέλος δὲ ἔν τε τῇσι ὁδοιπορίῃσι καὶ ἐν τῷ ἑστάναι εἴθισται ὁτὲ μὲν ἐκτετάσθαι, ὁτὲ δὲ σμικροῦ δεῖν ἐκτετάσθαι [4] καὶ εἴθισται καθεῖσθαι ἐς τὸ κάτω κατὰ φύσιν καὶ δὴ καὶ πρὸς τὸ ὀχέειν τὸ ἄλλο σῶμα· διὰ τοῦτο εὔφορον αὐτῷ ἐστι τὸ ἐκτετάσθαι, ὅταν ἀνάγκη ἔχῃ· καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τούτῳ [5] ἐστί· ἐπὴν δὲ [6] δὴ τρωθῇ, ἀνάγκη καταδουλοῦται τὴν γνώμην, ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίγνονται, ὥστε οὐδὲ μέμνηνται περὶ τοῦ ξυγκαμφθῆναι καὶ ἀναστῆναι, ἀλλ' ἀτρεμέουσι ἐν τούτῳ τῷ σχήματι κείμενοι. Διὰ οὖν ταύτας τὰς προφάσιας χειρὸς καὶ σκέλεος οὔτε ἡ κατάτασις οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος ξυμφέρει ἡ αὐτή. Ἢν μὲν οὖν ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐ δεῖ μάτην πονέεσθαι· καὶ γὰρ σολοικότερον μηχανοποιέειν μηδὲν δέον· ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν, καὶ τῶν ἄλλων τινὰ τῶν [7] ἀναγκέων προσ-

Neque enim eadem deligationis ratio et cruri et manui confert. Si quidem ubi cubiti et brachii ossa fracta deligantur, manus suspensa excipitur; quam si extentam deligaveris, carnium figurationes in cubiti inflexione immutantur. Neque enim fieri potest, ut cubitus longo tempore extendatur; neque enim frequenter in eo habitu versari consuevit, sed flexus esse. Quin et manu vulnerata, cum homines obambulare possint, eam ad cubiti flexum incurvare opus habent. Crus vero quum cum obambulando tum stando partim quidem extentum, partim vero prope extentum soleat esse, tum in inferiorem partem naturaliter demissum esse etiam ut reliquum corpus vehat, idcirco extensionem facile ferre, cum opus est, potest. Quin etiam in cubili plerumque hoc habitu extentum continetur. At postquam vulneratum est ad servilem animi demissionem homines necessitate adiguntur, cum erigi nequeant, adeo ut neque inflecti, neque exsurgere iis in mentem veniat, sed eo habitu iacentes quiescant. Has igitur ob causas neque intensionis neque deligationis eadem figura manui et cruri convenit. Quodsi satis esse potest extensio, quae per homines fit, nihil amplius frustra laborandum est. Machinas enim admovere, ubi res non exigit, absurdum est. At si satis esse nequit per viros facta extensio, etiam quiddam ex violentis, quod in promptu sit, admoliri opus est. Distensione vero abunde facta ossa facile componuntur et

[1] ἐσχηματίσθαι om. — [2] τρωθηῶσι. — [3] παρὰ τὸν ἀ. — [4] καὶ εἴθισθαι καθεῖσθαι om. — [5] ἔστιν ἐκ τῷ ἐκτετάσθαι. — [6] δή om — [7] ἀναγκαίων.

πήχεες — δέονται.] οὐ γὰρ πολλάκις ἐν τοιούτῳ εἴθισται (ἐσχηματίσθαι interponit N., in quo tamen oblit., at recepit Littr.) ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι καὶ δὴ καὶ ὅτι δυνάμενοι οἱ ἄνθρωποι περιϊέναι, ἐπὴν κατὰ χεῖρα τρωθῶσι, ξυγκεκάμφθαι κατὰ (παρά pro κατά pauciores codd. et Bosq.) τὸν ἀγκῶνα δέονται. Haec de coniectura mutavi: non fero ἐν τοιούτῳ εἴθισται ἐσχηματίσθαι, nam saltem ἐν τοιούτῳ s. ἐν τούτῳ τῷ σχήματι εἴθισται ἐσχηματίσθαι requiritur, sed hoc si scribas non admodum tamen placet ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι, ubi subintelligendum erit ἐσχηματίσθαι εἴθισται; itaque malui haec describere quemadmodum feci. In καὶ ὅτε δυνάμενοι οἱ ἄνθρωποι inest dittographia: nempe ὅτε δύνανται οἱ ἄνθρ. et δυνάμενοι οἱ ἄνθρ. sine ὅτε quarum lectionum illam praefero. Illud κατὰ χεῖρα τρωθῶσι, in τὴν χ. τρ. mutavi, quia tam brevi intervallo post iterum κατά infertur in κατὰ ἀγκῶνα, unde puto prius illud κατά natum esse.

σκέλος — κείμενοι.] καὶ εἴθισται καθῆσθαι B. M. N., unde Littr. dedit id, quod item recepi; vulgo haec verba absunt; — ἐς τὸ κάτω omm. J. Bosq.; — κατὰ τὴν φύσιν nonnulli codd.; — ἀνάγκην ἔχῃ nonnulli codd., inter quos Marc. Post ἐν τῷ σχήματι τούτῳ ἐστί vulgo ἐν τῷ κατατετάσθαι legitur, quae verba recte omiserunt Bosq., Littr.; — δή ante τρωθῇ omm. Parr. 2.; — ἀλλὰ ἀτρεμ. vulgo, sed multi codd. ἀλλ' ἀτρεμ.; — tandem ἐν τούτῳ τῷ σχ. nonnulla mss.

διὰ δὲ — ἡ αὐτή.] Post κατάτασις H. ἡ αὐτή alia m.; — χειρὸς καὶ σχήματος J. pro τοῦ σχήμ.

ἢν — προχωρέῃ.] οὐ Littr. e multis mss., οὐθέν vulgo; — μηθέν vulg., μηδέν D. J. Littr.; — ἀναγκαίων vulg., unde ἀναγκέων scripsit Littr. Post προσφέρειν fert ἥν τινά γε προσχωρέῃ vulg.; ἥν τινα in his Parr. 5., Bosq., Littr. et προσχωρέοι K. Littr. Haec non intelliguntur: de meo emendavi, quod postquam feceram, vidi Foësium Latine idem

φέρειν, ἤν τινά γ' ἂν προχωρέῃ. Ὅταν δὲ [1] δὴ ἱκανῶς καταταθῇ, ῥηΐδιον ἤδη [2] κατορθώσασθαι τὰ ὀστέα καὶ ἐς τὴν φύσιν ἀγαγεῖν τοῖσι θέναρσι τῶν χειρῶν ἀπευθύνοντα καὶ ἐξευκρινέοντα.

ις'. Ἐπὴν δὲ κατορθώσῃ, ἐπιδεῖν τοῖσι ὀθονίοισι [3] κατατεταμένον, ἤν τ' ἐπὶ δεξιὰ, ἤν τ' ἐπ' ἀριστερὰ περιφέρειν ξυμφέρῃ αὐτοῖσι τὰ πρῶτα ὀθόνια· βαλλέσθω δὲ τὴν ἀρχὴν [4] κατὰ τὸ κάτηγμα καὶ περιβαλλέσθω [5] κατὰ τοῦτο τὰς πρώτας περιβολάς· κἄπειτα νεμέσθω ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ ἐπὶ τοῖσι ἄλλοισι κατήγμασι εἴρηται. Τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι καὶ μακρότερα καὶ πλέω πουλὺ [6] τὰ κατὰ τὸ σκέλος τῶν ἐν τῇ χειρί. Ἐπὴν δ' [7] ἐπιδήσῃς, καταθεῖναι ἐφ' ὁμαλοῦ τινος καὶ μαλθακοῦ, ὥστε μὴ διεστράφθαι ἢ τῇ, ἢ τῇ, μήτε λορδὸν, μήτε κυφὸν εἶναι· μάλιστα δὲ ξυμφέρει προσκεφάλαιον, ἢ λίνεον, ἢ ἐρίνεον, μὴ σκληρὸν, λαπαρὸν, μέσον κατὰ μῆκος ποιήσαντα [8] ὑποθεῖναι, ἢ ἄλλο τι ὅ τι τούτῳ ἔοικε. Περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων [9] ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα, ἀπορέω ὅ τι ξυμβουλεύσω, εἰ ὑποτιθέναι χρὴ ἢ οὔ Ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες οἴονται. [10] Οὐ γὰρ ἀναγκάζουσι οἱ σωλῆνες ἀτρεμέειν, ὡς οἴονται· οὔτε γὰρ τῷ ἄλλῳ σώματι στρεφομένῳ ἢ ἔνθα ἢ ἔνθα [11] ἀναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθέειν τὸ σκέλος, ἢν μὴ ἐπιμελῆται αὐτὸς ὤνθρωπος· οὔτε αὖ τὸ σκέλος ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι

ad naturalem statum adducuntur, manuum palmis directa et convenienter aptata.

16. Composita autem ossa extenta fasciis deliganda, sive ad dextram, sive ad sinistram circumducere iis prosit primas fascias. Quarum tamen initia qua parte os fractum est iniiciantur ibique primum obvolutae deinceps ad superiorem tibiae partem deligando tendant, quemadmodum in aliis fracturis dictum est. Fascias vero latiores et longiores multoque plures in crure quam in manu esse oportet. Atque ubi devinxeris, supra molle aliquod et aequabile deponere, ut ne in hanc vel in illam partem pervertatur, aut in anteriorem aut posteriorem partem inflectatur. Ad id vero plurimum confert pulvinum lineum, aut laneum mollem, non durum, medium in longitudinem, aut aliud quid tale cruri supponere. Canales namque, qui cruribus fractis supponuntur, subiici debeant, nec ne, ambigendum mihi videtur. Prosunt enim, non tamen quantum existimant qui eos supponunt. Nam neque in quiete, ut putant, crus continent, neque dum reliquum corpus in hanc vel illam partem convertitur, canales prohibent quo minus crus sequatur, nisi homo ipse diligenter advertat, neque rursus crus vel in hanc, vel in illam partem moveri absque reliquo corpore prohibent. Quin etiam durum videtur et asperum lignum subiici, nisi

[1] δή om. — [2] κατορθῶσαι. — [3] κατατεταμένον. — [4] κατά om. — [5] κατά om. — [6] αὐτὰ κατὰ τό. — [7] ἐπιδέῃς. — [8] καταθεῖναι. — [9] ἐπί. — [10] οὔτε γὰρ ἀναγκ. — [11] ἀναγκάζειν.

quod dedi, fere expressisse, licet προχωρέειν paulo aliter intellexerit; est προχωρέῃ impersonale.

ὅταν — ἐξευκρινέοντα.] ἔστ' ἂν pro ὅταν C.; — κατορθώσασθαι B. M. N. Littr., κατορθῶσθαι vulgo, κατωρθῶσθαι mss. 7., κατορθῶσαι cod. Sev. et Voss.

16. ἐπὴν δὲ — εἴρηται.] κατορθώσῃς B. M. N., κατορθώσῃ vulg.; — κατατεταμένα vulg., κατατεταμένον Parr. multi, cod. Sev. et Voss., Marc.; — τε plene bis D. Bosq.; — βάλλεσθαι M., βαλέσθω J. K.; — post τὴν ἀρχήν B. M. N. τοῦ ὀθονίου, quod recepit Littr.; mihi a recentiore manu explicandi gratia interpositum videtur; — κατά ante τὸ κάτηγμα omm. Parr. 6., in quorum uno rest.; — περιβαλέσθω J. K., περιβάλλεσθαι B. M.; — καὶ ἐν τοῖσι ἀλλ. pro ἐπὶ τοῖσι ἀλλ. N.

τὰ — χειρί.] πουλύ e vulg. exciderat, restituit ex edd. antt. et multis mss. Littréus; — τά ubi vulgo αὐτά, — cf. lectt. V., — habet N., sed mutatum in αὐτά; recepit τά Littr.

ἐπὴν δὲ — ἔοικε.] δ' M., edd. antt., δέ vulg.; — ἐπιδήσῃς N. Littr., ἐπιδέῃς vulg.; — διεστράφθαι Ald., mss. multa, inter quae Marc., cuius collatio libri de fractis in hac voce desinit, διαστρέφεσθαι vulg.; perfectum cum Littr. recepi; — καταθεῖναι pro ὑποθεῖναι non pauci codd.; — ὅ cett., ὅ τι de meo.

οὐ γὰρ — τῇ.] οὔτε γάρ cod. Sev., uti V.; — ἐπαναγκάζει vulg., ἀναγκάζει mss. 7. apud Littr., cf. lect. V., mihi compositum e sequenti ἐπακολουθεῖν natum videtur, simplex ab auctoris manu esse; — ὁ ἄνθρωπος vulg., ὤνθρ. C. Littr.

ἢ τῇ ἢ τῇ. Ἀλλὰ μὴν [1] ἀπογέστερον ξύλον ὑποτετάσθαι, ἢν μὴ ὁμῶς ἄν τις μαλθακόν τι ἐς αὐτὸ ἐντιθῇ. Εὐχρηστότατον δέ ἐστι ἐν τῇσι μεθυποστρώσισι καὶ ἐν τῇσι ἐς ἄφοδον προχωρήσισι. Ἔστι οὖν ξὺν σωλῆνι καὶ ἄνευ σωλῆνος καὶ καλῶς καὶ αἰσχρῶς κατασκευάσασθαι· πιθανώτερον δὲ τοῖσι δημότῃσί ἐστι τὸν ἰητρὸν ἀναμάρτητον εἶναι, ἢν σωλὴν ὑποκέηται· καίτοι ἀτεχνέστερόν γέ ἐστι. Δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι πάντῃ πάντως ἐς ἰθύ· ἐπεί τοί γε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ [2] θέσι, ὅπῃ ἂν ῥέπῃ καὶ ὁκόσα ἂν ῥέπῃ. Ὑποκρινέσθω δὲ ὁ ἐπιδεδεμένος ταὐτά, ἅπερ καὶ πρότερον εἴρηται· καὶ γὰρ τὴν ἐπίδεσιν χρὴ τοιαύτην εἶναι καὶ τὸ οἴδημα οὕτως [3] ἐξαείρεσθαι ἐς τὰ ἄκρα, καὶ τὰς χαλάσιας οὕτω, καὶ τὰς μετεπιδέσιας διὰ τρίτης, καὶ εὑρισκέσθω ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ τὰς ἐπιδέσιας ἐπὶ μᾶλλον ποιέεσθαι καὶ πλέοσι τοῖσι ὀθονίοισι· περιλαμβάνειν [4] δὲ καὶ τὸν πόδα χαλαρῶς, ἢν μὴ ἄγαν ἐγγὺς ᾖ τοῦ γούνατος τὸ τρῶμα. Κατατείνειν δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ' ἑκάστῃ ἐπιδέσι χρὴ τὰ ὀστέα· ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον δὲ τὸ οἴδημα χωρέῃ, [5] ἐπὶ μὲν λεπτότερον καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, [6] ἐπὶ δὲ αὖ παραγωγότερα [7] τὰ ὀστέα, ἐνακούοντα [8] τῆς κατατάσιος μᾶλλον. Ἐπὴν δὲ ἑβδομαῖος, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος γένηται, τοὺς νάρθηκας προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖσι ἄλλοισι κατήγμασι εἴρηται. Τῶν δὲ ναρθήκων τὰς ἐνέδρας χρὴ

simul molle aliquid in ipsum imponatur. Maxime tamen est usui, cum stratum substernitur, ac dum ad desidendum aeger progreditur. Potest igitur cum canali et sine eo bene vel male res confici. Vulgo tamen persuasum est medicum minus esse culpae obnoxium, si canalis subiiciatur, etsi minus id ex arte est. Crus si quidem super re aliqua aequabili et molli omni ex parte rectum iacere oportet, quandoquidem necesse est ab ea perversione, quae fit in membri dispositione, quocumque, aut quantumcumque se vertat, deligationem superari. Vinctus autem eadem, quae prius dicta sunt, interrogatus respondeat. Nam et vinculum eiusmodi esse convenit, et tumorem ad extremas partes eodem modo suboriri eodemque modo vincula laxari et tertio quoque die resolvi ac postea deligari, nec non vinctam partem graciliorem esse vinculaque arctiora et per plures fascias adhibere easque ad pedem laxe obvolvere, nisi fractura ad genu proxime accedat. Intendi quoque moderate ac dirigi quoties deligantur ossa debent. Nam si curatio recte instituatur, tumorque ex sententia succedat, cum tenuior ac gracilior vincta pars futura est, tum etiam ossa facilius adducentur intentionique magis cedent. Septimo autem aut nono aut undecimo die ferulae, velut in aliis quoque fracturis dictum est, admovendae. Eae tamen ne e regione malleorum ac supra tendinem, qui ex tibia in pedem fertur, insideant, adhibenda cura est. Tibiae vero ossa quadraginta diebus, si recte curentur, firmantur. Quodsi os aliquod dire-

[1] ἀστεργέστερόν τε. — [2] διατέσει (sic). — [3] ἐξαείρεσθαι. — [4] δὲ καί. — [5] ἐπί. — [6] ἐπί. — [7] τά om. — [8] δὲ τῆς.

ἀλλὰ μὴν — ἐντιθῇ.] ἀπογέστερον dedi ex Erot., cf. Oecon. Hipp. in voce; — Gal. fortasse ἀστεργέστερον legit, sed in eius edd. in comm. ἀργέστερον corrupte legitur; vulgatum ἀστεργέστερον glossema esse videtur, qua de re Littr. iam monuit. Vulgo τε post ἀστεργέστερον, sed τε omm. Ald., Gal., Littr.; — ὅμως vulg., ὁμῶς libri nonnulli scripti et Littr.; — ἐντεθῇ vulg., sequor Lindani correctionem.

εὐχρηστότατον — προχωρήσισι.] εὔχρ. C. M. N., Bosq., Littr.; χρηστ. vulg., ἀχρηστ. alii codd.

ἔστι οὖν — ἐστί.] καὶ τὸν ἰητρόν vulg., sed otiosum καί repudiavi; ἀναμαρτητότερον vulg., ἀναμαρτήτως prima m. in B. N.; equidem illum comparativum e vicino natum existimo et ἀναμάρτητον repono.

δεῖ μὲν γὰρ — ῥέπῃ.] διαθέσει vulg., θέσει N. mutatum in διαθέσει; — θέσει recipio cum Littr., διά e composito vicino advenisse videtur; — ὅποι vulgo, ὅπῃ Parr. 4.

ὑποκρινέσθω — τρῶμα.] ἀποκριν. mss. 3.; — ἐξαείρεσθαι Littréus cum mss. 7., ἐξαείρασθαι vulg. Porro εὑρίσκεσθαι Bosq.

κατατείνειν — μᾶλλον.] ἔτι μὲν — ἔτι δέ vulgo, sed codd. 11. apud Littr. et Voss. ἐπί utroque loco, quae vera scriptura; — δ' αὖ M. N.; — ἐνακούοντα δὲ τῆς vulg., δέ om. prima manus in N., Littr.

ἐπὴν — εἴρηται.] ἢ ἐνατ. om. Gal.

τῶν δὲ ναρθ. — ποδός.] χρή e vulg. periit, revocavit ex edd. antt. et codd. multis Littr.; — idem factum in τόν ante τένοντα.

φυλάσσεσθαι κατά τε τῶν σφυρῶν τὴν ἴξιν καὶ κατὰ τὸν τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. Ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσι, ἢν ὀρθῶς ἰητρεύηται. Ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαι διορθώσιος, ἢ τινα ἕλκωσιν ὀρρωδέῃς, ἐν τῷ μεσηγὺ χρόνῳ χρὴ λύσαντα καὶ [1] εὐθετισάμενον μετεπιδῆσαι.

ctione indigere suspiceris aut alicuius exulcerationis metus sit, interiecto tempore ubi resolveris ac probe collocaris, religato.

ιζʹ. Ἢν δὲ τὸ ἕτερον ὀστέον καταγῇ ἐν κνήμῃ, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρὴ, οὐδὲ βλακεύειν ἐν τῇ κατατάσι· καὶ μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσι κατατείνεσθαι, ὅσον [2] ἐφικνέεται, αἰεί ποτε πάντα τὰ κατήγματα, εἰ δὲ μὴ, ὡς τάχιστα· ὅ τι γὰρ ἂν μὴ κατὰ τρόπον ηὐθετισμένων τῶν ὀστέων ἐπιδέων τις πιέζῃ, ὀδυναίτερον τὸ χωρίον γίγνεται. Ἡ δὲ ἄλλη ἰητρείη [3] ἡ αὐτή.

17. At si alterum tibiae os fractum sit, imbecilliore quidem intentione opus est, sed neque ea tamen deficere aut supine adhiberi debet. Ac potissimum quidem in prima deligatione fracta omnia quantum convenit, vel certe quam celerrime semper intendenda sunt. Quod enim non recte compositis ossibus vinculo adstrictum fuerit, id maiore dolore locum urget. Reliqua curatio eadem est.

ιηʹ. Τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀντικνημίου καλεομένου ὀχλωδέστερον ἐν τῇ ἰητρείῃ ἐστὶ καὶ κατατάσιος μᾶλλον δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι, φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστι· καὶ ἐπιβαίνειν ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον [4] δύναιντ' ἂν, τούτου κατεηγότος. Ἢν δὲ τὸ ἔξω ὀστέον [5] καταγῇ, πουλὺ μὲν εὐφορώτερον φέρουσι, πουλὺ δ' εὐκρυπτότερον καὶ ἢν μὴ καλῶς ξυντεθῇ, — ἐπίσαρκον γάρ ἐστι, — ἐπὶ ποδός τε ταχέως ἵστανται, τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχέει τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. Ἅμα μὲν γὰρ αὐτῷ [6] τῷ σκέλεϊ καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος τοῦ κατὰ τὸ σκέλος τὸ πλεῖον ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον· τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ ὑπεροχέει τὸ ὕπερθεν τοῦ σώματος, αὐτή τε

18. Ex ossibus vero quod ex anteriore tibiae parte, quae *ἀντικνήμιον* dicitur, intro vergere conspicitur, molestiorem curationem facit maioremque intentionem postulat, ac, nisi ossa recte componantur, latere non potest. Totum enim carnis expers se prodit eoque fracto multo tardius crure insistere queunt. Quodsi os externum fractum sit, tum multo levius ferunt, tum longe facilius latet, etiamsi non recte repositum fuerit, cum carnosum sit, citoque pedibus insistunt. Maximam quippe oneris partem os sustinet, quod anterioris tibiae, quae *ἀντικνήμιον* dicitur, interiore parte situm est simulque una cum crure, onus etiam quod cruri e directo impositum est ferendo, plurimum laboris subit. Nam femoris caput, quod superiorem corporis partem subvenit, interiore cruris

[1] εὐθετησάμενον. — [2] ἀφικνέεται. — [3] ἡ αὐτὴ — ἰητρείη capite 18 om. — [4] δύναιτ' ἄν. — [5] κατεηγῇ. — [6] τῷ om.

ὀστέα — ἰητρεύηται.] τινὸς διορθώσιος ceteri; abieci otiosum τινός; — ἰητρεύωνται Parr. 6.

ἢν δὲ—μετεπιδῆσαι.] εὐθετησ. vulg., εὐθετισ. C., Bosq., Littr.

17. ἢν δὲ — ἡ αὐτή.] κατεαγῇ vulg., κατεηγῇ Parr. 7. Bosq., Littr., καταγῇ de meo; — ἐν κνήμῃ om. M., oblit. in N.; — καί ante μάλιστα de meo adscripsi, Latine expressit Foës.; — εὐθετισμένων vulg., cum Littréo J. sequor; — ἐπιδέων om. Lind.; — ὀδυνώτερον D. H. K.

18. τῶν δὲ — κατεηγότος.] βραδύτερα C.; — δύναιντ' ex Gal., mss. 6., Littr., vulgatam e V. notavi.

ἢν δὲ τὸ — ὀστέον.] κατεηγῇ vulg., καταγῇ N., sed mutatum in vulgatam lect.; — εὐφορώτερα H. K. Bosq., εὐφορώτατα D.; — πουλὺ δὲ εὐκρ. multi codd., εὐκρυπτότερα D. H. K. Bosq.; — ἄχθεος B. N. M. Bosq., Littr., ἀχθέντος vulg.

ἅμα μὲν γὰρ — μακρότερον.] τῷ post αὐτῷ in vulg. periit, revocavit Littr. e Gal., mss. multis; — τὸ πλεῖστον J.; — τῇ ante ὕπερθεν pro τό Gal., ὕπερθε N.; — αὕτη δέ vulg., sed αὐτή C. et τε Gal. in comm. p. 443.; — εἴσω πεφ. codd. 7.; — ἅμα δὲ καὶ τό D.; — ταύτῃ μᾶλλον vulg., μ. τ. Gal. l. l. Littr.; — τὸ ἔσωθεν pro τῇ ἔξωθεν cod. Sev.; — ὥσπερ καὶ τό vulg., sed καί omm. codd. 5.

[1] εἴσωθεν πέφυκε τοῦ σκέλεος καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ [2] ἀντικνημίου ἴξιν· ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτονεύεται [3] ταύτῃ μᾶλλον τῇ ἴξι, ἀλλ' οὐχὶ [4] τῇ ἔξωθεν· ἅμα δὲ ὅτι παχύτερον τὸ ἔσω τοῦ ἔξωθεν, ὥσπερ τὸ ἐν τῷ πήχεϊ τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν [5] λεπτότερον καὶ μακρότερον. Ἐν μέντοι τῷ ἄρθρῳ τῷ κάτω οὐχ ὁμοίη ἡ ὑπόστασις τοῦ ὀστέου τοῦ μακροτέρου· [6] ἀνομοίως γὰρ ὁ ἀγκὼν καὶ [7] ἡ ἰγνύη κάμπτεται. Διὰ οὖν ταύτας τὰς προφάσιας, τοῦ μὲν ἔξωθεν ὀστέου [8] κατεηγότος, ταχεῖαι αἱ ἐπιβάσιες, τοῦ δὲ ἔσωθεν [9] κατεηγότος, βραδεῖαι αἱ ἐπιβάσιες.

parte, non exteriore, idque e directo anterioris tibiae situm habet. Tum vero reliqua dimidia corporis pars huc magis suo momento quam in exteriorem partem inclinat. Adde quod internum os externo crassius est, non secus ac in cubito quod in directum minimo digito respondet tenuius est et longius. At in inferiore articulo non similiter os longius subtenditur. Neque enim similiter articulus ad cubiti gibbum et poples flectuntur. Eas igitur ob causas exteriore quidem osse fracto celeriter, interiore vero tardius incedunt.

ιθ'. Ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον καταγῇ, τὴν κατάτασιν χρὴ ποιέεσθαι περὶ παντὸς, ὅκως μὴ [10] ἐνδεεστέρως σχήσει· πλεονασθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο. Οὐδὲ γὰρ εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναιτο κρατέειν ἡ ἐπίδεσις, ὥστε διεστάναι, ἀλλὰ ξυνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα [11] ὅτι τάχιστα ἂν [12] ἀφιῶσι οἱ τείνοντες· παχεῖαι γὰρ καὶ ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι κρατήσουσι τῆς ἐπιδέσιος, ἀλλ' οὐ κρατηθήσονται. Περὶ οὗ οὖν ὁ λόγος, διατείνειν [13] εὖ μάλα καὶ ἀδιαστρέπτως χρὴ, μηδὲν ἐπιλείποντα· μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸν μηρὸν ἀποδεῖξαι. Χεὶρ μὲν γὰρ βραχυτέρη γενομένη καὶ ξυγκρυφθείη ἂν καὶ οὐ μέγα τὸ σφάλμα· σκέλος δὲ βραχύτερον γενόμενον χωλὸν ἀποδείξει τὸν ἄνθρωπον· τὸ γὰρ ὑγιὲς ἐλέγχει μακρότερον ἐόν· ὥστε λυσιτελέει τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι ἀμφότερα καταγῆναι τὰ σκέλεα μᾶλλον ἢ

19. At vero si femoris os fractum sit, omni ope annitendum ut extensio eaque non minus quam par est fiat. Superans enim intensio nullam laesionem afferet. Nam neque si diducta per vim extensionis ossa religaris, sic diducta vinculo contineri poterunt, sed quam primum intensio remiserit inter se concurrent. Hic enim carnes crassae ac validae deligationem superant, non ab ea superantur. In eo igitur, de quo agitur, intensio valida fieri debet sic nullam ut in partem vertatur nihilque deficiat. Neque enim sine magno dedecore ac noxa femur brevius redditur. Manus quidem certe brevior celari poterit, neque id magnum peccatum est. Crus vero brevius redditum hominem claudum efficiet. Id enim quod sanum est longius quum sit arguit, adeo ut ei, qui male curari debeat, utrumque crus potius quam alterum frangi praestet. Sic enim se ipse aequis in utramque partem momentis libraverit. Cum autem abunde intenderis ac manuum palmis

[1] εἴσω. — [2] κνημίου. — [3] ταύτῃ om. — [4] τό. — [5] λεπτότερόν τε καὶ κ. τ. λ. — [6] ἀνόμοιος. — [7] τῇ ἰγνύῃ. — [8] κατεαγέντος. — [9] κατεηγέντος si recte legam. — [10] ἐνδεέστερος ἕξει. — [11] ὅτι. — [12] ἀφῶσιν. — [13] εὖ καὶ διατρεπῶς.

ἐν μέντοι — κάμπτεται.] τῷ κάτω ἄρθρῳ τούτῳ B. M. N. pro τῷ ἄ. τῷ κ.; — ἐπίτασις B. M. N.; — τούτου μακροτέρου ὄντος pro τοῦ μακρ. B. M. N.; — ἀνόμοιος mss. 6., Bosq.; — τε καὶ ἡ vulg., τε omm. mss. 5., Bosq., Littr.; — τῇ ἰγνύῃ, τῇ ἰγνύι alia mss. pauciora.

διὰ οὖν — ἐπιβάσιες.] ἔσω pro ἔσωθεν cod. Sev.

19. ἢν δὲ — σίνοιτο.] περὶ παντὸς ποιέεσθαι B. M. N.; — ἐνδεέστερος L., uti V.; — σχήσῃ C., σχοίη J., ἕξει non pauci alii; — γάρ om. J.

οὐδὲ γὰρ — κρατηθήσονται.] pro ὅτι Littr. de suo ὡς, qua innovatione opus non est; — ἀφίησαν Ald., codd. 8., ἀφείησαν B. M. N. Littr., ἀφῶσιν Gal.; vulgata recte se habet.

περὶ οὗ — ἀποδεῖξαι.] μάλα K. Littr., vulgo om.; — ἐκλείποντα K., ἐπιλιπόντα J.

χεὶρ — ἑωυτῷ.] καὶ βραχ. J.; — γενομένη Bosq., Littr., γιν. vulg.; — ἀποδείξειε Bosq., Littréus e mss. 9., servo vulgatam, quae nullo vitio laborat. Post ἐλέγχει Littréus addit παρατιθέμενον ex N., in quo solo habetur, sed obli-

τὸ ἕτερον· ἰσόρροπος [1] γὰρ ἂν εἴη αὐτὸς ἑωυτῷ. Ἐπὴν μέντοι ἱκανῶς καταταννύσῃς, κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται, καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται, καὶ νεμόμενον ἐς τὸ ἄνω τῇ ἐπιδέσει. Καὶ ὑποκρινέσθω ταὐτὰ ὥσπερ καὶ πρόσθεν καὶ πονεέτω κατὰ ταὐτὰ καὶ ῥηϊζέτω καὶ [2] μετεπιδείσθω ὡσαύτως καὶ ναρθήκων πρόσθεσις ἡ αὐτή. Κρατύνεται δὲ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσι.

composueris, eodem quo antea scriptum est modo deligandum est, tum fasciarum initiis velut dictum est iniectis, tum iis ad superiorem partem deductis. Aeger etiam ad eadem, ut prius, respondeat, iisdemque partibus doleat ac levius habeat et solutis vinculis similiter religetur ferulaeque eodem modo adhibeantur. Femur vero quinquaginta diebus firmatur.

κ'. Προσξυνιέναι δὲ χρὴ καὶ τόδε, ὅτι [3] ὁ μηρὸς μᾶλλον γαῦσός ἐστι ἐς τὸ ἔξω μέρος, ἢ ἐς τὸ ἔσω καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον ἢ ἐς τοὔπισθεν· ἐς ταῦτα τοίνυν τὰ μέρεα καὶ διαστρέφεται, ἐπὴν μὴ καλῶς ἰητρεύηται· καὶ δὴ καὶ κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστι, ὥστε οὐδὲ ξυγκρύπτειν δύνανται ἐν τῇ διαστροφῇ. Ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ οἷά περ ἐν τῷ βραχίονι τῷ [4] διεστραμμένῳ παρῄνηται. Προσπεριβάλλειν δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον καὶ τὰς ἰξύας, ὅκως ἂν οἱ βουβῶνές τε καὶ τὸ ἄρθρον τὸ κατὰ τὴν πλιχάδα καλεομένην προσεπιδέηται· καὶ γὰρ ἄλλως ξυμφέρει καὶ ὅκως μὴ τὰ ἄκρα τῶν ναρθήκων σίνηται πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα. Ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας ἔνθεν καὶ ἔνθεν ἱκανῶς· [5] καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμηθέεσθαι χρὴ, ὅκως μήτε κατά τι ὀστέον τῶν ἐξεχόντων παρὰ τὰ ἄρθρα φύσι, μήτε κατὰ τὸ νεῦρον ἔσται.

20. Insuper animadvertendum est femur exteriore potius parte quam interiore ac magis anteriore quam posteriore parte incurvari, ideoque in has partes ubi non recte curatur, distorqueri solere. Quin etiam his partibus quam reliquis minus carnosum est, ita ut cum pervertitur latere nequeat. Si quid igitur eiusmodi suspectum est, eadem moliri oportet, quae in brachio distorto consuluimus. Pauca praeterea lintea ad coxam et ilia in orbem circumducenda, tum ut inguina tum etiam articulus ad locum inter crura medium, qui πλιχάς Graecis, devinciatur. Quod cum alias confert, tum ut ne extremae ferulae ad partes vinculis carentes admotae eas laedant. Ferulae si quidem a nuda parte abunde utrinque semper recedere debent, in iisque admovendis ea perpetuo cautio adhibenda est, ut ne ad ossa in articulis naturaliter prominentia, neque ad nervum ponantur.

κα'. Τὰ δὲ οἰδήματα τὰ κατ' ἰγνύην, ἢ

21. Tumores vero in poplite aut pede, aut

[1] γοῦν ἂν εἴη. — [2] μετεπιδείσθω. — [3] ὁ om., μᾶλλον post μηρὸς codd. om. — [4] διαστρεφομένῳ. — [5] καί om.

teratum. Licet aliter sentiat Littr., παρατιθέμενον emblema alienum est, interpretandi causa invectum, sed probe Graecam formulam ultro corrumpit.

ἐπὴν — ἐπιδέσι.] γέγραπται καὶ πρόσθεν J.; — βαλόμενον idem.

καὶ ὑποκρ. — αὐτή.] ἀποκρ. D. H.

κρατύνεται — ἡμέρῃσι.] ὁ μηρός ex N. solo Littréus; obliteratus tamen articulus est in illo codice.

20. προσξυνιέναι — διαστροφῇ.] Articulum ante μηρός Littr. adscivit ex N. solo, ubi oblit.; — μᾶλλον ante γαῦσος de meo adposui; — δύνανται Bosq., Littr. cum mss. 11., δύναται vulg.

ἢν — παρῄνηται.] διεστραμμ. C., Merc. in marg., Littr., διαστρεφομένῳ vulg.

προσεπιβάλλειν — προσβαλλόμενα.] ὀλίγα omm. M. N.; — pro προσεπιδ. C. ἐπιδέηται.

ἀπολείπειν — ἔσται.] χρή om. Bosq.; — καὶ ἔνθεν καὶ ἔνθεν vulg.; prius καί omm. B. M. N., Bosq.; — κατὰ τὸ ὀστέον τῶν κ. τ. λ. ceteri, de meo τό in τι mutavi, quod nisi fiat, locus non planus est; — φύσι πεφυκότων ceteri; equidem redundans πεφυκότων abiicio; — κατὰ τὸ ἄρθρον νεῦρον vulg., sed N. ἄρθρον om., licet restituatur: vere iudicavit Littr. emblema alienum esse: natum est errore librarii ἄρθρον pro νεῦρον scribentis, neque illud delentis; Bosq. in τοῦ ἄρθρου mutaverat, quod fortasse Latine exprimere voluit Foës.

21. τὰ δὲ — θᾶσσον.] τά ante κατ' ἰγνύην alia m. ad-

κατὰ πόδα, ἢ κατά τι ἄλλο [1] ἐξαειρόμενα ὑπὸ τῆς πιέξιος, εἰρίοισι πολλοῖσι, ῥυπαροῖσι, εὖ κατειργασμένοισι, οἴνῳ καὶ ἐλαίῳ ῥήνας, κηρωτῇ ὑποχρίων καταδεῖν καὶ, ἢν πιέζωσι οἱ νάρθηκες, χαλᾶν θᾶσσον. Ἰσχναίνοις δ᾽ ἄν, εἰ [2] ἐπανεὶς τοὺς νάρθηκας ὀθονίοισι [3] συχνοῖσι ἐπιδέοις τὰ οἰδήματα ἀρξάμενος ἀπὸ τοῦ κατωτάτω ἐπὶ τὸ ἄνω νεμόμενος· οὕτω γὰρ ἂν τάχιστα ἰσχνὸν τὸ οἴδημα γένοιτο καὶ [4] ἐπαρθείη ἂν τὰ ὑπὲρ τὰ ἀρχαῖα ἐπιδέσματα. Ἀλλ᾽ οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς ἐπιδέσιος, ἢν μὴ κίνδυνος ᾖ τῷ οἰδήματι φλυκταινώσιος ἢ μελασμοῦ· γίγνεται δὲ οὐδὲν τοιοῦτον, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα ἢ [5] κατακρεμάμενον ἔχῃ, ἢ κνῆται τῇ χειρὶ, ἢ ἄλλο τι [6] προσπίπτῃ ἐρεθιστικὸν πρὸς τὸν χρῶτα.

alia quapiam parte ex compressione sublati, multis lanis succidis probe carptis, vino et oleo resparsis, cerato sublito devinciendi sunt, ferulaeque, si premant, cito laxandae. Illos vero extenuabis, si ferulis laxatis multis fasciis tumores deligaveris initio facto ab imis partibus sursum procedendo. Ita enim celerrime tumor extenuabitur et sustollentur partes supra priorem deligationem. Hoc tamen deligationis modo utendum non est, nisi periculum sit, ne tumor pustulis aut nigritie vitietur. Tale autem nihil accidit, nisi fractura valde comprimatur, aut dependeat, aut manu scalpat, aut aliquid aliud quod irritet ad corpus offenderit.

κβ΄. Σωλῆνα δὲ [7] εἰ μέν τις ὑπ᾽ αὐτὸν τὸν μηρὸν [8] ὑποθείη μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι· οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι, οὔτε τὴν κνήμην, ἄνευ τοῦ μηροῦ κινέεσθαι. Ἀσηρὸν δ᾽ ἂν εἴη καὶ πρὸς τὴν ἰγνύην προσβαλλόμενος· καὶ ὃ ἥκιστα δεῖ, [9] τοῦτ᾽ ἂν ἐποτρύνοι ποιέειν· ἥκιστα

22. At si quis canalem femori subiiciat, qui poplitem non excedat, is potius laedat quam prosit. Neque enim corpus, neque tibiam sine femore moveri prohibuerit. Quin popliti adhibitus molestiam afferet et ad id quod minime est opus, impellit. Genu namque flecti minime opus est. Si quis enim aut femore devincto

[1] ἐξαειρεύμενα. — [2] ἐπάνω ἐς τοὺς ναρθ. — [3] ἰσχνοῖσι. — [4] ὑπὲρ τὰ ἀρχ. — [5] κατακεκρεμάμενον. — [6] ἐσπίπτει ἐρεθ. ἐς τ. χ. — [7] ἤν. — [8] ἐνθείη. — [9] τοῦτο.

ditur in H. N. et a Bosq., Littr.; vulgo om.; — κατ᾽ ἄλλο τι D. H. K.; — ἐξαειρεύμενα vulgo vitiose, sed recte Lind. ἐξαειρόμενα; — χαλῶν vulg., χαλᾶν mss. 11., Bosq., Littr.

ἰσχναίνοις — ἐπιδέσματα.] Littr. post χαλᾶν distinguit solus, sed vel locus, quem δ᾽ tenet, docet de vulgata distinguendi ratione non decedendum esse. Tum ἰσχναίνειε vulg., ἰσχναίοιεν M., ἰσχναίνοιεν alii Parr. 4., ἰσχναίνεις C., unde optativum dedit Littr., quem sequor. Deinde ἐπάνω ἐς vulg., ἐπάνω εἰς J., ἐπὴν ἐς C., ἐπὰν ἐς Merc. in marg.; Littréus propter Galeni comm. ἀφείς scripsit, sed manifesto in corruptis lectt. latet ἐπανείς. — Porro ἰσχνοῖσι vulgo, pro quo ἰσχυροῖσι Bosq., συχνοῖσι N. supra versum et oblit., in quo veram lect. positam esse vidit Littr. — In sequentibus ἀπὸ τοῦ ἄνω ἐπὶ τὸ κάτω νεμομ. J.; — καὶ ὑπερθείη ὑπέρ vulg., καί περ θείη ἂν ὑπό (in marg. ὑπέρ) M., ὑπέλθοι (superscripto ὑπερθείη) ἂν ὑπό (in marg. ὑπέρ) N.; Littr. dedit ὑπερθοίη ἂν ὑπό partim propter Galeni comm. In mss. lectione putaveris fere latere καὶ ὑπερθείης ἂν ὑπέρ, sed ὑπερτιθέναι tumorem, quem prius ἰσχνόν factum esse dixeris, mirum videtur, tum reditus ad secundam personam, a qua deflexit paulo ante, item parum arridet; itaque repono καὶ ἐπαρθείη ἂν τὰ ὑπὲρ κ. τ. λ. — Iam vero videamus de corrupto Galeni comm.: eum partim restituit Littréus, nonnulla corrigenda supersunt; itaque eum partim ex illius, partim ex mea emendatione describam, quemadmodum legendum existimo:

Μία μὲν αὕτη γραφὴ .... τινῶν μὲν βουλομένων ὑπὲρ τὴν ἐπίδεσιν ἀνιέναι τὸν ἐκθλιβόμενον ἐκ τῶν οἰδημάτων χυμὸν, ἐνίων δὲ εἰς τὰ κατὰ τὴν ἐπίδεσιν χωρία παραγίνεσθαι. Κρῖναι δὲ οὐ χαλεπόν ἐστι τὴν διαφωνίαν αὐτῶν, ὁρισθείσης τῆς ἐπιδέσεως. Εἰ γὰρ ἐπανέντες τοὺς νάρθηκας ἐπιδήσαιμεν ὡς εἴρηται τὸ ᾠδηκὸς, ἀφίκοιτ᾽ ἄν τι τοῦ αἵματος εἰς τὰ κατὰ τὴν ἐπίδεσιν χωρία· εἰ δ᾽ ἀφελόντες τοὺς νάρθηκας καὶ λύσαντες ὅλην τὴν ἐπίδεσιν, αὖθις ἐξ ἀρχῆς ἐπιδήσαιμεν, ἅμα μὲν τῷ καταγματικῷ τρόπῳ χρώμενοι τῆς ἐπιδέσεως, ἅμα δὲ καὶ μιγνύντες αὐτῷ τὸν ἀπὸ τῶν οἰδημάτων ἀρχόμενον, ὑπερνικῴη ἂν οὕτως τὴν ἀρχαίαν ἐπίδεσιν ὁ ἐκθλιβόμενος χυμὸς ἐπὶ τὰ τῆς ἐπιδέσεως ὑψηλότερα χωρία.

Vide iam L. B. num recte statuam lacunam esse post γραφή! Nempe Galenus alteram lectionem item indicaverit, idque fecerit eo, quem notavi, loco. Tum vide num probabile sit in lacuna periisse verba: ἑτέρα δὲ κατὰ τὰ ἀρχαῖα ἐπιδέσματα! Scilicet ὑπό, quod nonnulli codd. ferunt pro ὑπέρ scriptum fuisse e Galeni verbis non liquet, sed κατά scriptum fuisse inde conieceris. — Vitium autem quo ἐπαρθείη in ὑπερθείη abiit, antiquius est Galeni aevo.

ἀλλ᾽ οὐ χρὴ — χρῶτο.] τῷ τρ. τούτῳ G.; — ἐν τῷ οἰδήματι cett.; redundans ἐν reieci; — τοιοῦτον multi codd., τοιοῦτο vulg.; — κνᾶται prima m. in N. mutatum in κνῆται; — ἐσπίπτει — ἐς, uti V., plures Parr.

22. σωλῆνα — κινέεσθαι.] ἢν pro εἰ non pauci codd. et Gal. in comm. ad lib. κατ᾽ ἰητρεῶν p. 849.; — ἐνθείη nonnulli libri, uti V.; — ὠφελοίη B. G. M.

ἀσηρὸν — ἔχειν.] γὰρ εἴη πρός vulgo; de meo mutavi; —

γὰρ δεῖ κατὰ τὸ γόνυ κάμπτειν· πᾶσαν γὰρ ἂν τύρβην παρέχοι τῇσι ἐπιδέσισι καὶ μηροῦ ἐπιδεδεμένου καὶ κνήμης, ὅστις κατὰ τὸ γόνυ κάμπτοι, ἀνάγκη γὰρ ἂν εἴη [1] τοὺς μύας [2] ἄλλοτε ἄλλο σχῆμα ἴσχειν· ἀνάγκη δ' ἂν εἴη καὶ τὰ ὀστέα τὰ κατεηγότα κίνησιν ἔχειν. Περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην ἐντετάσθαι. [3] Δοκέοι ἂν οὖν [4] μοι ὁ σωλὴν ὁ περιέχων πρὸς τὸν πόδα ἀπὸ τοῦ ἰσχίου ὠφελέειν ὑποτιθέμενος· καὶ ἄλλως κατ' ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι, ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦται· εἶτα ἐπὴν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφηται, ἢ ἐς τὸ πλάγιον, εὐκατασχετώτερος εἴη ἂν ξὺν τῷ σωλῆνι οὗτος. [5] Ἢ οὖν διαμπερὲς ἂν εἴη ποιητέος ὁ σωλὴν, ἢ οὐ ποιητέος.

aut tibia genu inflectat, is vinculorum rationem totam perturbabit, necesse enim erit ut musculi alias alio habitu collocentur et ossa fracta dimoveantur. Inprimis igitur conandum ut poples extendatur. Canalis ergo erit usui, qui a coxa ad pedem suppositus similiter contineat, praecipueque si ad poplitem cum canali fascia laxa circumiiciatur, velut infantes in cunis fasciari solent. Tum etiam si femur in superiorem partem aut ad latus distorquebitur, cum canali melius detinebitur. Canalis igitur a summo ad imum usque, aut nullus adhibendus.

κγ'. Πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελέεσθαι, ὡς εὐθέτως ἔχῃ καὶ ἐν τοῖσι κατὰ κνήμην καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασι. Ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ πούς, τῆς ἄλλης κνήμης [6] ἡρματισμένης, ἀνάγκη κατὰ τὸ [7] ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι· ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη ᾖ τοῦ μετρίου ἡρματισμένη, ἡ δὲ ἄλλη κνήμη ὑπομετέωρος ᾖ, ἀνάγκη τὸ ὀστέον τοῦτο κατὰ τὸ ἀντικνήμιον κοιλότερον φανῆναι τοῦ μετρίου, προσέτι καὶ ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσι μεγάλη. Ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα ᾖ, καὶ τὰ μὴ [8] ἀτρεμέοντα ἐν τῷ αὐτῷ σχήματι, καὶ αἱ πωρώσιες ἀσθενέστεραι.

23. Ceterum imae calci magna cura adhibenda, ut tum in tibiae tum in femoris fracturis apte collocetur. Etenim si pes dependeat, tibia reliqua obfirmata, ossa in anteriore tibiae parte gibba apparere necesse est. At si calce plus aequo sublimius obfirmata, reliqua tibia aliquantum dependeat, os in anteriore tibiae parte praeter modum cavum apparere necesse est, idque eo magis si hominis calx suapte natura grandior fuerit. Ceterum tardius firmantur omnia ossa imbecillioreque callo obducuntur, nisi naturalem positum nacta fuerint, aut in eodem habitu immota permanserint.

κδ'. Ταῦτα μὲν δὴ, ὅσοισι τὰ μὲν ὀστέα

24. Atque ista quidem de ossis fractura, in

[1] τοῦτο πρὸς μύας. — [2] ἄλλοτε καὶ ἄλλοτε ἄλλο. — [3] δοκοίη. — [4] ὁμοίως ὁ σ. — [5] ἢν οὖν δ. ἴη. — [6] ἡμαρτημένης. — [7] ἀντικνήμιον τοῦτο κοιλαινόμενον φανῆναι omissis intermediis. — [8] ἀτεμέοντα.

προσβαλλόμενον ceteri, masculinum de meo; — τοῦτο plene nonnulli codd.; — τό ante γόνυ omm. F. G.; — ἀνάγκη γάρ B. M. N., vulgo om. γάρ; — εἴη τούτῳ τούς vulgo, τοῦτο in his nonnulla mss., quod in M. N. in textu non habetur, sed in margine; — ἄλλοτε καὶ ἄλλοτε ἄλλο non pauci libri; in vulgata ἄλλο om.; cum Littréo sequor B. M. N.; — ἔχειν pro ἴσχειν iidem.

δοκέοι — οὗτος.] δοκοῖ J. M. N., δοκεῖ vulg., δοκέοι Littr.; — ὁμοίως vulgo, sed μοι N., mutatum in ὁμοίως; cum Littréo μοι scripsi; — εὐκατασχετώτερον et οὕτως vulgata, de meo mutavi.

ἢ — ποιητέος.] ἄν de meo adscripsi.

23. πτέρνης — κατήγμασι.] χρή ἐπιμ. κάρτα B. M. N.; — ἔχῃ O., Bosq., ἔχοι vulg.

ἢν μὲν γὰρ — μεγάλη.] ἡμαρτημένης multi cdd.; — ἡρτημένη multa mss., Bosq., ἠρτισμένη vulg., Littréus ἡρματισμένη, uti supra, de qua voce vid. Gal. comm. p. 531.; — τὸ ὀστέον τοῦτο G. H., Merc. in marg., Bosq., Littr., τῷ ὀστέῳ τούτῳ vulg.; — κοιλαινόμενον pro κοιλότερον mss. 4. Parr.

ἀτὰρ — ἀσθενέστεραι.] αὐτάρ C.

24. ταῦτα μὲν — ἐγένετο.] οὖν N., sed δή rest.; — post κατένηγε ferunt ἁπλῶς D. K.; — μή omm. Ald., mss. 7.

κατέηγε, ἐξέχει δὲ μὴ, μηδὲ ἄλλως ἕλκος ἐγένετο. Οἷσι δὲ τὰ ὀστέα κατέηγε ἁπλῷ τῷ τρόπῳ καὶ μὴ πουλυσχιδέϊ, [1]καὶ ἐξέσχε μὲν, αὐθήμερα δ' ἐμβληθέντα, ἢ τῇ ὑστεραίῃ, κατὰ χώρην [2]ἱζόμενα, καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παρασχίδων ὀστέων, — ἢ [3]καὶ οἷσι ἕλκος μὲν ἐγένετο, τὰ δὲ ὀστέα [4]τὰ κατεηγότα οὐκ ἐξίσχει, οὐδ' ὁ τρόπος τῆς κατήξιος τοιοῦτος οἷος παρασχίδας ὀστέων [5]εἶναι ἐπιδόξους ἀναπλῶσαι, — τοὺς τοιούτους οἱ μὲν μήτε μέγα ἀγαθὸν, μήτε μέγα κακὸν ποιέοντες, ἰητρεύουσι τὰ μὲν ἕλκεα καθαρτικῷ τινι, ἢ πισσηρὴν ἐπιθέντες, ἢ ἔναιμον, ἢ ἄλλο τι ὧν εἰώθασι ποιέειν, [6]ἐπάνω δὲ τοὺς οἰνηροὺς σπλῆνας ἢ εἴρια ῥυπαρὰ [7]ἐπιδέουσι, ἢ ἄλλο τι τοιοῦτον. Ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται καὶ ἤδη ξυμφύηται, τότε τοῖσι ὀθονίοισι συχνοῖσι πειρῶνται ἐπιδεῖν καὶ νάρθηξι κατορθοῦν. Αὕτη μὲν ἡ ἴησις ἀγαθόν τι ποιέει, κακὸν δὲ οὐ μέγα. Τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τινι [8]ὀγκηρότερα τὰ ὀστέα τοῦ καιροῦ ταύτῃ γίγνεται· γένοιτο δ' ἂν καὶ βραχύτερα, ὧν ἀμφότερα τὰ ὀστέα κατέηγε ἢ πήχεος, ἢ κνήμης.

κε'. Ἄλλοι δ' αὖ τινές εἰσι, οἳ ὀθονίοισι τὰ τοιαῦτα ἰητρεύουσι εὐθέως καὶ ἔνθεν [9]μὲν καὶ ἔνθεν ἐπιδέουσι τοῖσι ὀθονίοισι, κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσι καὶ ἐῶσι ἀνεψύχθαι· ἔπειτα ἐπιτιθέασι ἐπὶ τὸ ἕλκος τῶν καθαρτικῶν τι καὶ σπλήνεσι οἰνηροῖσι ἢ εἰρίοισι ῥυπαροῖσι θεραπεύουσι. Αὕτη ἡ ἴησις κα-

qua neque ossa eminent, neque alioqui ulcus accessit, dicta sint. Quibus vero simplici modo et absque fragmentis ossa fracta sunt et prominebant quidem, sed eodem aut postero die restituta atque in suas sedes reposita, nec metus est ne fragmentum aliquod ab osse abscedat, aut etiam quibus ulcus quidem accessit, ossa tamen fracta non eminent, neque fractura eiusmodi est, ut ossium fragmentorum secessus exspectari debeat, eos nonnulli neque magnum aliquod bonum, neque magnum malum facientes, curant partim ita ut ulcera purgatorio aliquo medicamento tractent, vel ceratum cum pice imponant, vel medicamentum, quod cruentis vulneribus imponitur, vel aliud quid faciant eorum, quae fieri solent: super haec autem splenia vino madida vel lanam sordidam, vel id genus aliud quid devinciunt. At ubi ulcera pura evaserint, aut iam coaluerint, pluribus linteis adhibitis devincire et ferulis dirigere conantur. Haec sane curandi ratio ut aliquid confert, ita neque multum laedit. Ossa tamen non perinde suis sedibus firmantur, verum aliquanto plus quam par sit ea parte ossa intumescunt. Quin etiam breviora redduntur quibus utraque aut cubiti, aut tibiae ossa fracta sunt.

25. Rursus nonnulli huiusmodi fracturis linteis statim medentur, atque utrimque fascias convolvunt, ulcus vero nudum relinquunt et perfrigerari sinunt. Deinde ad ulcus adhibito aliquo medicamento purgante spleniis vino imbutis ac lana succida curationem instituunt. At prava est haec curandi ratio eâque qui

[1] καὶ ἐξέσχε μέν om. — [2] ἰζόμενα. — [3] καί om. — [4] τά om. — [5] ἐούσας ἐπιδόξους εἶναι. — [6] ἐπαινέω. — [7] ὅσοι ἐπιδ. — [8] ὀγκηρότερον τὰ σώματα. — [9] μὲν καὶ ἔνθεν om.

οἷσι δὲ — τοιοῦτον.] τῷ ante τρόπῳ multi codd., Gal., Bosq., Littr., τῷ om. vulg.; — post καὶ μὴ πουλυσχιδέϊ Littréus de suo explevit ἐξέσχε δέ, ad ductum verborum Galeni in comm.: ac recte sane vidit huiusmodi quid deësse, malui tamen καὶ ἐξέσχε μέν scribere et δ' ante ἐμβληθέντα inferre; — ante κατά e Parr. 6. Littr. dedit καί, quod recipere nolui; — post παρασχίδων ὀστέων vulgo ἀπιέναι, quod delevi: nempe vestigium esse puto dittographiae: altera lectio fuerit καὶ μὴ ἐπίδοξον παρασχίδας ὀστέων ἀπιέναι, altera, illa, quam servavi. Dein καί ante οἷσι ἕλκος omm. codd. 6., in quorum uno restituitur; — τά ante κατεηγότα B. M. N. Littréo praebuerunt. Porro ἐούσας ἐπιδόξους εἶναι ἀναπλῶσαι (ἀναπλῶσαι H. alia m.) τοὺς τοιούτους. Οἱ μὲν μήτε μέγα (μ. om. C.) ἀγαθὸν, μήτε (addit τό J.) μέγα κακὸν ποιέοντος vulgata. Locum quemadmodum fecit Littréus descripsi. Vulgata ἐπαινέω, ubi ἐπάνω H. alia m., N. in marg., Bosq., Littr., tum vero vulgata ὁκόσοι ἐπιδέουσι, sed in H. oblit. est ὁκόσοι alia m. et Bosq., Littr. omm.; hic monet servari non posse, si ἐπάνω recipias; vere!

τὰ μέντοι — κνήμης.] ἀλλὰ καί τισιν Bosq.; — ὀστέα H. al. m., N. cum σώματα, quae vulgata lectio; — in B. pro σώματα scriptum erat ὀστέα, sed linea traiectum; ὀστέα Bosq., Littr.; — βραχύτερον Bosq.

25. ἄλλοι — θεραπεύουσι.] δέ plene sine αὖ Gal. de plac. Hipp. et Plat. p. 768.; — τοιαῦτ' idem ibid.; — μέν

κῇ, καὶ εἰκὸς τοὺς οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀξυνετέειν καὶ ἐν τοῖσι ἄλλοισι κατήγμασι καὶ ἐν τοῖσι τοιούτοισι. Μέγιστον γάρ ἐστι τὸ γιγνώσκειν καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν [1] μὲν βάλλεσθαι τοῦ ὀθονίου καὶ καθ' ὁποῖον μάλιστα πεπιέχθαι καὶ οἷά τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν καὶ πιέζῃ ᾗ μάλιστα χρή, καὶ οἷα βλάπτονται, ἢν μὴ ὀρθῶς τις [2] βάλληται, μηδὲ πιέζῃ ᾗ μάλιστα χρή, [3] ἀλλ' ἔνθεν καὶ ἔνθεν. Εἴρηται μὲν οὖν [4] ἐν τοῖσι πρόσθεν γεγραμμένοισι ὁποῖα [5] ἀφ' ἑκατέρου ἀποβαίνει· μαρτυρέει δὲ καὶ [6] αὐτὴ ἡ ἰητρείη· ἀνάγκη γὰρ τῷ οὕτως ἐπιδεομένῳ τὸ [7] οἶδος ἐξαείρεσθαι ἐς αὐτὸ τὸ ἕλκος. Καὶ γὰρ εἰ ὑγιὴς [8] χρὼς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαλειφθείη, μάλιστα κατὰ τὴν διάλειψιν οἰδήσειε ἂν καὶ ἀχροιήσειε· πῶς οὖν οὐχὶ ἕλκος γε ταὐτὰ ἂν πάθοι; Ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ [9] ἐκπεπλιγμένον τὸ ἕλκος εἶναι δακρυῶδές [10] τε καὶ ἀνεκπύητον, ὀστέα δὲ καὶ μὴ μέλλοντα ἀποστῆναι [11] ἀποστατικὰ γενέσθαι· καὶ σφυγμῶδές τε καὶ [12] πυρῶδες τὸ ἕλκος ἂν εἴη. Ἀναγκάζονται δὲ διὰ τὸ οἶδος ἐπικαταπλάσσειν· ἀξύμφορον δὲ καὶ τοῦτο τοῖσι ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισι· ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίγνεται. Τελευτῶντες δ' ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπόταν σφιν παλιγκοτέῃ, καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος· οὐδὲν δ' ἧσσον καὶ ἤν τι ἄλλο τρῶμα τοιοῦτον λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσι· οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν [13] ἔνθεν καὶ

utuntur cum in his tum etiam in reliquis fracturis plurimum a recta intelligentia aberrare probabile est. Inprimis enim confert nosse qua ratione fasciae initium iniiciendum sit et qua parte maxime comprimendum, quantum item conferat, si quis fasciae initium recte circumdet et qua parte maxime convenit premat; tum quantum detrimenti sequatur, si neque quis probe fasciae initium circumiiciat, neque qua maxime parte convenit, sed hinc et inde comprimat. Ac sane quidem quid ex utrisque accidat in superioribus dictum est et ipsa quoque medela eius rei testimonium adfert. Sic enim devincto tumorem ad ulcus assurgere necesse est. Nam si sana carnosa pars hinc atque hinc devincta, intermedio quodam spatio relicto, praecipue iuxta illud intermedium spatium intumescat, ac decolor reddatur, cur non eadem in ulcere accident? Necessario igitur ulcus decolor ac labris expansis evadet lacrimosumque ac minime suppurans reddetur et ossa alioqui minime abscessura abscessum facient, atque ulcus pulsu et igneo calore affligetur. Coguntur item insuper propter tumorem cataplasmata imponere, quod etiam iis, qui hinc atque inde devinciuntur, incommode cedit, cum ad reliquum pulsum pondus etiam inutile accedat. Tandem vero vincula resolvunt, ubi malum recruduerit, ac de reliquo curationem absque vinculo persequuntur. Nihilominus autem, etsi aliud vulnus nacti fuerint, eandem curandi rationem adhibent. Neque enim deligationem hinc et inde adhibitam et ulceris perfrigerationem,

[1] μετά pro μὲν βάλλεσθαι. — [2] βούληται. — [3] ἀλλ' ἐ. — [4] καὶ ἐν. — [5] ἐφ' ἑκατέρων. — [6] αὕτη ἰητρική. — [7] εἶδος. — [8] χρή. — [9] ἐκπεπιεμένον. — [10] δὲ καὶ ἀνεκπύητον εἶναι. ὀστέα. — [11] ἢ ἀποστ. — [12] πυρετῶδες. — [13] ἄνωθεν.

Ald., Parr. 6., Gal. l. l., Littr., μέν om. vulg.; — κατὰ τὸ ἕλκος δέ Gal. l. l.; — καὶ ἐπιτιθ. idem ibid.

μέγιστον — ἕλκος.] καθ' omm. C. Bosq.; — μὲν βάλλεσθαι Merc. in marg., idem autem latet in μεταβάλλεσθαι, quod codd. 7. apud Littr. ferunt; vulgo μέν om., βάληται I. J. K.; — ἀλλά vulg., ἀλλ' multi codd.

εἴρηται — ἕλκος.] ἀφ' ἑκατέρου Gal. l. l. p. 769., Littr., vulgatam e V. notavi; — ἰητρική vulgo, ἰητρείη M. N., qui in marg. vulgatam ferunt lect., ἰητρίη Bosq.; ἰητρική incongruum.

καὶ γὰρ — πάθοι.] διαλειφθείη B. M. N., Bosq., Littr., διαλειφθῇ vulg.; — διάλειψις C. J., Gal. l. l., Bosq., Littr., διάληψιν vulg.; — ταῦτα ceteri omnes.

ἀναγκαίως — εἴη.] ἐκπεπλιεχμένον C. D. I. J., ἐκπεπληγμένον H., Erot., cf. Foës. in Oecon., ἐκπεπλιγμένον Littr.; vulgo ἐκπεπιεσμένον; — δακνῶδες pro δακρυῶδες Gal. in cit. l. l.; — τε Gal. l. l., Littr., δέ vulg., γάρ pro τε D. H. Q.'; — καί ante σφυγμ. de meo; — πυρετῶδες vulgo, πυρῶδες revocavit Littr. e Gal. comm. p. 548.

ἀναγκάζονται — ἐπιγίγνεται.] ἐπικ. δὲ ἀναγκ. δ. τ. οἴδημα B. M. N.; — δέ om. Gal. in cit. l. l.; οἴδημα multa mss. pro οἶδος; — ἐπιδ. ἔνθ. καὶ ἐνθ. J. Bosq.

τελευτῶντες — ἀτυχίην.] δ' ἀπολ. Gal. l. l., δὲ ἀπολ. vulg.; — δὲ ἧσσων Gal. l. l., ubi τρῶμα om.; — τοιοῦτον multa mss., τοιοῦτο vulg.; — αἰτίαν εἶναι τοῦ ἕλκους Gal. l. l., εἶναι B. M., Merc. in marg., Littr.; vulgo om.

ἔνθεν καὶ τὴν ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην εἶναι, ἀλλ' ἄλλην τινὰ ἀτυχίην. Οὐ μέντοι γε ἂν ἔγραφον περὶ τούτου [1] *τοιαῦτα, εἰ μὴ εὖ μὲν ᾔδειν ἀξύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ οὕτως ἰητρεύοντας, ἐπίκαιρον δὲ τὸ ἀπομάθημα, μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα, ᾗ τε μάλιστα πιεστέα τὰ κατήγματα, ᾗ τε ἥκιστα.*

κϛ'. Χρὴ *δὲ, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οἷσι ἂν μὴ ἐπίδοξος* [2] *ᾖ ἡ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν ἰητρείην ἰητρεύειν, ὥσπερ ἂν οἷσι ὀστέα μὲν κατεηγότα ἔῃ, ἕλκος δὲ μὴ ἔχοντα, τάς τε κατατάσιας καὶ κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον ποιέεσθαι τήν τε ἐπίδεσιν* [3] *παραπλήσιον τρόπον.* Ἐπὶ *μὲν γὰρ αὐτὸ τὸ ἕλκος πισσηρῇ* [4] *κηρωτῇ χρίσαντα σπλῆνα λεπτὸν διπλόον ἐπιδεθῆναι, τὰ δὲ πέριξ κηρωτῇ* [5] *λευκῇ χρίειν.* Τὰ *δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερά τινι ἐσχισμένα ἔστω* [6] *ἢ εἰ μὴ ἕλκος εἶχε· καὶ ᾧ ἂν πρώτῳ ἐπιδέηται, συχνῷ ἔστω τοῦ ἕλκεος πλατύτερον.* Τὰ *γὰρ στενώτερα ζώσαντα ἔχει τὸ ἕλκος· τὸ δὲ οὐ χρή· ἀλλ' ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ ἕλκος καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν.* Βάλλεσθαι *μὲν οὖν χρὴ τὸ ὀθόνιον* [7] *κατ' αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος, πιέζειν δὲ* [8] *ὀλίγῳ ἧσσον ἢ* [9] *εἰ μὴ ἕλκος εἶχε, ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσι ὥσπερ καὶ πρόσθεν εἴρηται.* Τὰ *δὲ ὀθόνια αἰεὶ μὲν τοῦ τρόπου τοῦ μαλθακοῦ ἔστωσαν, μᾶλλον δέ τι δεῖ ἐν τοῖσι τοιούτοισι, ἢ εἰ μὴ ἕλκος εἶχε.* Πλῆθος *δὲ τῶν*

verum aliud quoddam infortunium causam reputant. Neque sane ad tam multa ea de re scribenda adductus essem, nisi mihi liquido constaret et inutilem esse hanc deligationem et a plurimis illam medendi rationem usurpari operaeque pretium futurum ut ista dediscerent. Atque ea, quae supra sunt exposita, recte fuisse tradita testantur, quo loco vel maxime vel minimum comprimendae sint fracturae.

26. Oportet autem, ut breviter dicam, quibus nulla ossis abscessio futura est, eandem medendi rationem adhibere, quam ubi quidem ossa absque ulcere fracta sunt, et cum distentiones aptationesque ossium, tum etiam eandem deligationem admovere. Ulceri namque splenium tenue duplex cerato picato illitum circumdandum proximaeque partes cerato albo inungendae. Fasciae vero reliquaque aliquanto latius fissa esse debent quam si ulcus non adesset et quo primum deligatur, multo latius sit quam ulcus. Quae enim angustiora sunt ulcus medium cingunt, quod minime convenit, sed prima convolutione totum ulcus comprehendendum, ita ut superiore et inferiore parte linteum excedat. Linteum igitur e directo ulceri iniiciendum pauloque minus quam si citra ulcus esset arctandum, deligatioque quo supra dictum est modo circumagenda. Sint autem semper lintea molliora quam si integra cutis esset, neque pauciora quam prius dictum est, quin etiam aliquanto plura. Ei vero, qui deligatus est, ita accommodentur, ut obfirmata non autem appressa videantur praecipueque qua parte ulcus est ea

[1] *τοσαῦτα.* — [2] *ᾖ* om. — [3] *παραπλησίας* (sic) *ἐπὶ μέν.* — [4] *ἢ κηρ.* — [5] *λεπτῇ.* — [6] *ἢ μὴ ἕ.* — [7] *κατὰ τὴν ἴ.* — [8] *ὀλίγον.* — [9] *εἰ καὶ μή.*

οὐ — ἥκιστα.] *γε* om. J.; — *τὴν ἐπιδ. ἐοῦσαν* J. Bosq.; — *ᾗ τε — ᾗ τε* pro vulgato *εἴτε — εἴτε* Ald., unde *ᾗ τε* dedi.

26. *χρὴ — τρόπον.*] *οἷσιν* C. sine *ἄν*; — *εἴη* cett., *ἔῃ* de meo; — *ἕλκεα μή* cod. C.; — *τάς τε γὰρ κατάτ.* vulgo, *γάρ* omm. mss. 8. apud Littr., Bosq.; — *ποιέεσθαι χρή* N., sed *χρή* oblit.; — *παραπλήσιον τρόπον* C. Littr., *παραπλησίαν* vulg., sine *τρόπον*; — *παραπλησίας* cod. Sev., uti V., *παραπλησίως* Bosq.

ἐπὶ — χρίειν.] *πισσηρὴν κηρωτὴν χρ.* vulgo, *ἢ κηρωτὴν* Parr. 8., uti V., de meo dedi *πισσηρῇ κηρωτῇ χρίσαντα*; — *λεπτόν* omm. mss. 9. apud Littr., in quorum quatuor restituitur, omittunt etiam V., Bosq.; — *κηρωτῇ λεπτῇ* codd., Foësius *λευκῇ* voluit, dedit Littr.; recte nam § 27. *τῇ λευκῇ κηρωτῇ κεχρισμένον* et paulo superius ibidem *πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι*: est autem ἡ ἑτέρη illa *λευκή*, ita ut inter se opponantur *ἡ πισσηρὴ κηρωτή* et *ἡ λευκὴ κηρωτή*.

τὰ δὲ ὀθόνια — πλατύτερον.] *τἄλλα* H. M. N.; — *τρόπῳ* pro *πρώτῳ* Q.', nempe quia *πρώτῳ* non intellexerunt; — *ἔστω* e mss. Littr. pro vulgato *ἔσται*.

τὰ γὰρ — ἔνθεν.] *στενότερα* libri plerique; — *στενώτερα τοῦ ἕλκεος* vulg., sed *τοῦ ἕλκεος* omm. mss. 7. apud Littr. et Bosq. mihique otiosum videtur.

βάλλεσθαι — εἴρηται.] *κατά* sine *αὐτήν* nonnulla mss.; — *ἧσσον εἰ καὶ μή* nonnulli codd.

πλῆθος — πλείω.] *ἔλασσον* J. et N. supra versum oblit.; — *τι* pro *τινι* J. Bosq.; — *πλεῖον* J., *πλέον* Bosq.

ὀθονίων, μὴ ἐλάσσω ἔστω τῶν πρότερον εἰρημένων, ἀλλά τινι καὶ πλείω. Ἢν δ' ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ ἡρμάσθαι μὲν, πεπιέχθαι δὲ μή· φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα ἡρμάσθαι. Τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ ἐπὶ τὸ μᾶλλον δοκέειν ἡρμάσθαι, τοὺς αὐτοὺς δὲ ἐπὶ τὸ μᾶλλον δοκέειν χαλᾶν, ὥσπερ καὶ ἐν τοῖσι πρόσθεν εἴρηται. Μετεπιδεῖν δὲ διὰ τρίτης πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται, πλὴν ἐς τὸ ξύμπαν ἧσσον τινὶ πιέζειν ταῦτα ἢ ἐκεῖνα. Καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γένηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος, ἰσχνὸν δὲ καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον· καὶ αἵ τε [1] ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλως ἰητρευομένων ἑλκέων, ὅσα τε σαρκία ἐν τῷ τρώματι ἐμελάνθη καὶ ἐθανατώθη, θᾶσσον περιρρήγνυται καὶ ἐκπίπτει ἐπὶ ταύτῃ τῇ ἰητρείῃ ἢ ἐν τῇσι ἄλλῃσι, ἐς ὠτειλάς τε θᾶσσον ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως [2] ἰητρευόμενον. Πάντων δὲ τούτων αἴτιον, ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ ἕλκος χωρίον γίγνεται, ἰσχνὰ δὲ τὰ περιέχοντα. Τὰ μὲν οὖν ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, [3] ὡς τὰ ἄνευ ἑλκώσιος ὀστέα καταγνύμενα. Τοὺς δὲ νάρθηκας [4] οὐ χρὴ προστιθέναι. Διὰ τοῦτο καὶ τὰ ὀθόνια χρὴ τούτοισι πλέω εἶναι ἢ τοῖσι ἑτέροισι, ὅτι [5] τε ἧσσον πιέζεται ὅτι τε οἱ νάρθηκες βραδύτερον προστίθενται. Ἢν μέντοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος προστιθέναι, ἄλλως τε καὶ χαλαρῶς προστιθέναι [6] προμηθεύμενος

obfirmata esse asserant. Iisdemque temporibus sensim firmius adaptata videri oportet iisdemque sensim laxiora sentiri, veluti supra dictum est. Deinde tertio quoque die resolvenda rursusque devincienda eademque omnia quae supra facienda, nisi quod in totum haec quam illa aliquanto minus comprimenda sunt. Ac si rationi consentanea fiant, ulceris quidem locus reliquaque omnia, quae vinculo continentur, semper graciliora deprehendentur celerioresque suppurationes erunt quam in alia ulcerum curatione. Carunculae quoque, quae in vulnere nigrescunt et emoriuntur, celerius sub hac curatione abruptae excidunt, ulcusque hoc modo quam aliter curatum maturius ad cicatricem devenit. Horum autem omnium causa est, quod pars quidem vulnerata et quae circum vicinae sunt graciles redduntur. In reliquis igitur omnibus quidem eadem curatio, quae in fracturis absque ulcere adhibenda, ferulae tamen neutiquam sunt admovendae. Propterea que hic quoque quam alibi copiosioribus linteis opus est, tum quod minus comprimantur, tum quia ferulae tardius adhibeantur. Quos tamen si admoveris, advertendum ut ne e regione ulceris, praesertimque ut laxiores adhibeantur, neque ut ulla magna ab iis adstrictio fiat, quod in his quoque, quae prius scripta sunt, dictum est. Accuratam autem victus rationem eamque longiore tempore iis instituere oportet, quibus circa initia ulcus accedit et quibus ossa eminent. Et, ut in summa dicam, quo graviora vulnera sunt, eo accuratiore et longiore victus ratione utendum.

[1] ἐκπιέσιες. — [2] ἰητρευόμενον. — [3] ὥς τε ἄνευ ἑλκωσίων. — [4] οὐ χρή om. — [5] τε om. — [6] προθυμουμένοισιν.

ἢν δ' — ἡρμάσθαι.] δ' edd. antt., Parr. 4., δέ vulgo; — ἡρμόσθαι tum h. l., tum paulo post in eadem itemque in seq. periodo. Dedi ἡρμάσθαι ab ἑρμάζω, idem quod ἑρματίζω, de quibus vide Foës. in Oecon.; certum est collatis Galeni et Erotiani glossis huc spectantibus ἑρμάζειν voluisse auctorem, non ἁρμόζειν; glossa vocem pristinam e vulgata depulit.

τοὺς δὲ χρόνους — εἴρηται.] τοὺς αὐτοὺς δὲ χρ. ferunt pauci codd.; — μὲν χρὴ εἶναι ἐπὶ τὸ μ. vulgo, μέν omm. Q. M. N., at in M. N. rest.; ego εἶναι reieci, quum otiosum videatur et structuram impediat; credo additum esse a recentiore lectore, qui ἐπὶ τὸ μᾶλλον non intelligeret; — hinc, uti opinor, in C. ἐπὶ τῷ μᾶλλον.

μετεπιδεῖν — ἐκεῖνα.] ὥσπερ πρόσθεν Lind. sine καί; — πλὴν δὲ ἐς C.

καὶ ἢν — ἰητρευμένον.] γίνηται multi codd.; — αἰεὶ μέν K.; — ἐπὶ τῆς ἐπιδ. D. H. Q.'; — ἄλλως Bosq., Littr., ἄλλων vulg.; ἰητρευμένων et postea ἰητρευμένον nonnulla mss. Bosq., Littr., vulgo praesens; — οὕτω Bosq.

τὰ μὲν οὖν — καταγνύμενα.] ὥς τά M. N. Bosq., Littr., ὥστε vulg.; — ἑλκώσιος B. M. N. Littr., ἑλκωσίων vulg.; — κατηγνύμενα vulg., κατηγνυμένα F. Littr.

τοὺς — προστιθέναι.] οὐ omm. pauci codd.

διὰ τοῦτο — προστίθενται.] πλείω vulg., πλέω pleraque

ὅκως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. Εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον γεγραμμένοισι. Τὴν μέντοι δίαιταν ἀκριβεστέρην καὶ πλείω χρόνον χρὴ ποιέεσθαι οἷσι ἐξ ἀρχῆς ἕλκεα [1] γίγνεται καὶ οἷσι ὀστέα ἐξίσχει· καὶ τὸ ξύμπαν δὲ εἰρῆσθαι, ἐπὶ τοῖσι ἰσχυροτάτοισι τρώμασι ἀκριβεστέρην [2] καὶ πουλυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν.

κζ'. Ἡ αὐτὴ δὲ ἰητρείη τῶν ἑλκέων καὶ οἷσι ὀστέα μὲν κατέηγε, ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν [3] ἦν, ἐν δὲ τῇ ἰητρείῃ [4] ἐπιγίγνεται, ἢ τοῖσι ὀθονίοισι μᾶλλον πιεχθέντος ἢ ὑπὸ νάρθηκος ἐνέδρης ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος. Γιγνώσκεται μὲν οὖν τὰ τοιαῦτα, ἢν ἕλκος ὑπῇ, τῇ τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσι καὶ τὸ οἴδημα τὸ ἐν τοῖσι ἄκροισι σκληρὸν γίγνεται τῶν τοιούτων καὶ [5] εἰ τὸν δάκτυλον ἐπαγάγοις, [6] τὸ ἔρευθος ἐξαρύεται, ἀτὰρ καὶ αὖθις ὑποτρέχει ταχέως. Ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, λύσαντα χρή, ἢν μὲν ᾖ [7] κνησμὸς κατὰ τὰς ὑποδεσμίδας, ἢ ἐπὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι. Ἢν δὲ τούτων μὲν μηδὲν ᾖ, αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον εὑρίσκηται ἢ μέλαν ἐπὶ πουλὺ ἢ ἀκάθαρτον, καὶ τῶν μὲν σαρκῶν ἐκπυησομένων τῶν δὲ νεύρων προσεκπεσουμένων, τούτους οὐδὲν χρὴ ἀναψύχειν παντάπασι, οὐδέ τι φοβεῖσθαι τὰς ἐκπυήσιας ταύτας, ἀλλ' [8] ἰητρεύειν, τὰ μὲν ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσι εξ ἀρχῆς ἕλκος [9] ἐγένετο. Τοῖσι δὲ

27. Eadem autem curatio ulceribus instituenda, quae quidem ossibus fractis circa initia non insunt, verum aut ex nimia linteorum compressione, aut ferularum insessione, aut alia quapiam de causa sub ipsa curatione oriuntur. Ulcus certe subesse ex dolore et pulsu cognoscitur, tum si tumor qui in extremis partibus est indurescit appressoque digito rubor eximitur, sed cito recurrit. Solvere igitur, si quid tale suspiceris, oportet: ac si quidem sub primis fasciis aut alia quapiam devincta parte pruritus fuerit, cerato picato in alterius vicem utendum. Quodsi nihil horum quidem fiat, ulcus autem ipsum irritatum aut nigrum admodum aut sordidum deprehendatur, futurumque sit ut carnes suppurent nervique insuper excidant, hos neque ex toto refrigerare, neque quidquam illas suppurationes vereri oportet, sed de cetero quidem eodem modo curare velut eos quibus circa initia ulcus accessit. Lintea autem admodum laxa tumori, qui in extremis partibus exsistit, primum iniici debent, ac deinde circumagendo sensim semper tendere, ac nullo quidem modo

[1] γίνεται ἐπὶ τοῖσι ἰσχυροτάτοισι intermediis omissis. — [2] δὲ καί. — [3] ᾖ. — [4] ἕλκος γένηται. — [5] εἰ om. et ἐπαγάγον (sic) dein legitur. — [6] τὸ ἐρ. om. et ἐξαείρεται legitur. — [7] κνήμης. — [8] ἰητρεύειν αὐτὰς τὰ μέν. — [9] ἐγίνετο.

mss., Bosq.; — βραδύτερα vulg., βραδύτεροι multi codd., edd. antt., Gal., Littr.; praefero Chartierii βραδύτερον.

τὴν μέντοι — δίαιταν.] ἀκριβεστάτην J.; — καί ante τὸ ξύμπαν omm. F. G. J.

27. ἡ αὐτὴ — προφάσιος.] δ' ἐξ D.; — ἕλκος δὲ μηδὲν ᾖ, ἢν δὲ ἐν τῇ ἰητρείῃ ἕλκος γένηται vulg.; lectio vitiosa non fefellit interpretes antiquiores; locum recte Graece descripsit Littr. — Pro ἢ ὑπὸ νάρθηκος Littr. de suo νάρθηκος ὑπό, quod dedit propter genitivum πιεχθέντος: „qui, inquit, autrement ne se rapporte à rien." Mihi vulgata integra videtur: ad πιεχθέντος subintelligitur τοῦ νοσέοντος; est saltem in πιεχθέντος aposiopesis, quam explebis, ut voles, sed quae non aliena ab horum scriptorum sermone.

γιγνώσκεται — ταχέως.] σκληρότερον B. M. N., partim a prima manu, partim a correctore, idque recepit Littr. et habetur in comm. Galeni p. 557., unde fortasse in mss. illa devenit. Mihi tamen non certo persuasum est comparativum esse ab auctoris manu, quum respiciatur inflammatio, quae adesse ceterum non solet. — Porro τὸ ἔρευθος ἐξαείρεται B. N., sed in B. ἔρευθος linea traiectum, ἐξαείραται sine τὸ ἐρ. vulgo, ἐξαείμεται sine τὸ ἔρευθος multa mss.: Littréus ad Galeni comm. mentem attendens (p. 556. seq.) locum restituere sibi visus est ἔρευθος recipiens et ἐξαιρέεται reponens.

ἢν οὖν — ταχέως.] τὸ τοιοῦτον C.; — κνήμης, uti V., nonnulli Parr.; — καὶ ἐπὶ τὸ ἄλλο C.

ἢν δὲ — ἐγένετο.] μέν omm. D. H. K.; — ἢ ante μέλαν de meo; — οὐδὲν δεῖ Ald., mss. plura, Gal.; — ἰητρεύειν αὐτάς nonnulli codd.

τοῖσι — ἧσσον.] χρή om. Bosq.; — ἀκραίοις vulgo, ἀκρέοις alii codd.; ex hac lect. vulgata nata est, sed falsam

ὀθονίοισι ἄρχεσθαι χρὴ ἐπιδέοντα ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν τοῖσι ἄκροισι πάνυ χαλαρῶς καὶ ἔπειτα ἐπινέμεσθαι τῇ ἐπιδέσι αἰεὶ ἐς τὸ ἄνω, καὶ πεπιέχθαι μὲν μηδαμῇ, ἡρμάσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος, τὰ δὲ ἄλλα ἐπὶ ἧσσον. Τὰ δὲ ὀθόνια τὰ πρῶτα, ταῦτα μὲν καθαρὰ ἔστω καὶ μὴ στενά· τὸ δὲ πλῆθος τῶν ὀθονίων ἔστω, ὅσον περ καὶ ἐν τοῖσι νάρθηξι εἰ ἐπιδέοιτο ἢ ὀλίγῳ ἔλασσον. Ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἱκανὸν σπληνίον τῇ λευκῇ κηρωτῇ κεχρισμένον· ἥν τε γὰρ σάρξ, ἥν τε νεῦρον μελανθῇ, προσεκπεσεῖται· τὰ γὰρ τοιαῦτα οὐ χρὴ δριμέσι ἰητρεύειν, ἀλλὰ μαλθακοῖσι, ὥσπερ τὰ πυρίκαυστα. Μετεπιδεῖν δὲ διὰ τρίτης, νάρθηκας δὲ μὴ προστιθέναι· [1]ἀτρεμέειν δὲ ἐπὶ μᾶλλον ἢ τὸ πρόσθεν καὶ ὀλιγοσιτέειν. Εἰδέναι δὲ χρὴ εἴ τε σὰρξ εἴ τε νεῦρον τὸ ἐκπεσούμενόν ἐστι, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλεῖον, πολλῷ δὲ θᾶσσον ἐκπεσεῖται, πολλῷ δὲ ἰσχνότερα [2]τὰ περιέχοντα ἔσται, ἢ εἴ τις ἀπολύσας τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν Φαρμάκων ἐπὶ τὸ ἕλκος. Καίτοι καὶ ἣν ἐκπέσῃ [3]τὸ ἐκπυησόμενον, θᾶσσόν τε σαρκοῦται ἐκείνως ἢ ἑτέρως ἰητρευόμενον καὶ θᾶσσον ὠτειλοῦται. Πάντα μὴν ἔστι [4]ταῦτα ὀρθῶς ἐπιδεῖν καὶ μετρίως ἐπίστασθαι. Προσξυμβάλλεται δὲ καὶ τὰ σχήματα ἂν οἷα χρὴ εἶναι καὶ ἡ ἄλλη δίαιτα καὶ τῶν ὀθονίων ἡ ἐπιτηδειότης.

comprimi, verum ita aptari ut maxime ulceri obfirmata, minus autem reliquis partibus sentiantur. Haec autem prima lintea munda neque angusta sunto eaque copia quanta si cum ferulis deligatio fiat aut paulo minus. Ulceri vero splenium impositum cerato albo illitum abunde est. Caro namque aut nervus ubi nigritiem conceperint, ut praeterea etiam decidant necesse est. Neque enim acribus talia, sed lenibus velut ambusta curare oportet. Tertio etiam quoque die solvere ac rursus deligare convenit, ferulas autem non apponere, tum magis etiam quam antea conquiescere et cibo abstinere. Animadvertendum quoque est ubi aut caro aut nervus excidere debeant, hoc modo multo minus late serpere multoque citius decidere, ac proximas partes longe graciliores fieri quam si quis resolutis linteis ulcus quopiam ex medicamentis purgantibus curet. Quin etiam si quod suppuraturum est exciderit, citius sub illa curatione quam sub alia tum carne implebitur, tum celerius cicatrice obducetur. Haec quidem in eo vertuntur omnia ut rectam et moderatam deligationem instituas. Ad quod etiam insuper conferunt convenientes habitus et reliqua victus ratio ac linteorum habilitas.

κη'. Ἢν δ' ἄρα ἐξαπατηθῇς ἐν τοῖσι νεοτρώτοισι, μὴ οἰόμενος ὀστέων ἀπόστασιν ἔσεσθαι, τὰ δ' ἐπίδοξα ἢ ἀναπλῶσαι, οὐ χρὴ ὀρρωδέειν [5]τοῦτον τὸν τρόπον τῆς ἰητρείης· οὐδὲν γὰρ ἂν μέγα Φλαῦρον [6]γίγνοιτο, ἢν

28. Quodsi sane recenti vulnere deceptus ossium abscessum futurum non existimaveris, quae tamen educi debere spes est, nullo modo formidandus est hic curationis modus. Nullum enim magnum incommodum fit, si modo rectam

[1] ἀλλ' ἀτρεμέειν δέ. — [2] τά om. — [3] τι. — [4] ὀρθῶς ταῦτα. — [5] τοῦτον om. — [6] γένοιτ' ἂν ἢ μόνον οἷος ἔσῃ.

formam reiicio et ἄκροισι repono; — χαλαρῶς H. ex emend., χαλαροῖσι vulgo; — πεπιέσθαι Gal.; — ἡρμόσθαι ceteri, de meo ἡρμάσθαι uti supra.

τὰ δὲ — ἔλασσον.] ἐπιδέοιντο J., Littr.; non est vitiosa haec lectio, sed neque ἐπιδέοιτο vitiosum, quod codicum omnium testimonio firmatur, uno illo excepto. — Impersonaliter poni videtur.

εἰδέναι — ἕλκος.] τό ante ἐκπεσούμενον omm. cod. Sev. et Voss.; — πολλόν Parr. 6.; — iidem ἧσσω.

καίτοι — ὠτειλοῦται.] Vulgo ἐκπυησόμενον; Bosq. de suo ἐκπεσούμενον, quod Littréus recepit.

προσξυμβάλλεται — ἐπιτηδειότης.] τὰ σχήματα ἣν οἷα χρὴ εἶναι vulg.; — multi codd. et Littr. τὰ σχ. καὶ οἷα χρὴ εἶναι, alii τὰ σχ. καὶ ἣν οἷα χρὴ εἶναι. In Gal. Bas. [ἣν] οἷα χρὴ εἶναι: nimirum verissime viderunt ἥν incongruum esse; verumtamen non est hoc a recenti manu intrusum, sed ex ἄν ortum, quod repono; καί et καὶ ἥν absurda sunt, καί autem ex sequentibus copulis ortum est.

28. ἢν — ποιέεσθαι.] ἀναπλεῦσαι H., Bosq.; — τοῦτον H., Bosq., Littr., vulgo om.; — γένοιτ' ἄν codd. 8. apud Littr., inter quos cod. Sev., qui, perinde ac V., ἤ pro ἥν; — ἢν μοῦνον οἷος ἔσῃ vulg., τε ἧς M. N., Littr., unde τ' ἕῃς dedi.

μοῦνον οἷός τ' ἔῃς τῇ χειρὶ τὰς ἐπιδέσιας ἀγαθὰς καὶ ἀσινέας ποιέεσθαι. Σημεῖα δὲ τάδε, ἢν μέλλῃ ὀστέων ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰητρείης· πῦον γὰρ συχνὸν ῥέει ἐκ τοῦ ἕλκεος καὶ ὀργᾷν φαίνεται. Πυκνότερον οὖν [1] μετεπιδέεσθαι διὰ τὸν πλάδον, ἐπεὶ [2] ἄλλως τε καὶ ἀπύρετοι γίγνονται, [3] ἢν μὴ κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος, καὶ τὸ ἕλκος καὶ τὰ περιέχοντα ἰσχνά. Ὅσαι μὲν οὖν λεπτῶν πάνυ ὀστέων ἀποστάσιες, οὐδεμιῆς μεγάλης μεταβολῆς δέονται, ἀλλ' ἢ [4] χαλαρώτερον ἐπιδεῖν, ὡς μὴ ἀπολαμβάνηται τὸ πῦον ἀλλ' εὐαπόρρυτον ᾖ, καὶ πυκνότερον μετεπιδεῖν, ἔστ' ἂν [5] ἀποστῇ τὸ ὀστέον, καὶ νάρθηκας μὴ προστιθέναι.

et innoxiam deligationem manu accommodare possis. Sub hac autem curatione os abscessurum indicatur, ubi pus copiosius ab ulcere profluit et pars affecta impetu ad excretionem ferri videtur. Crebrius igitur ob redundantem humiditatem religare oportet et quia praecipue febre liberantur, si non valde comprimantur ex deligatione, et tum ulcus tum proximae partes graciles redduntur. At quibuscumque quidem tenuia admodum ossa abscedunt, in his haud multa mutatione opus est, tantum laxior vinctura adhibenda, ut ne pus intercludatur, sed facile effluat: saepiusque dum os abscesserit resolvenda nullaeque ferulae apponendae.

κθ'. Ὁκόσοισι δ' ἂν μείζονος ὀστέου ἀπόστασις ἐπίδοξος γένηται, ἤν τε ἐξ ἀρχῆς προγνῷς ἤν τε [6] καὶ ἔπειτα μεταγνῷς, οὐκ ἔτι τῆς αὐτῆς ἰητρείης δεῖται· ἀλλὰ τὰς μὲν κατατάσιας καὶ τὰς διορθώσιας οὕτω ποιέεσθαι, ὥσπερ εἴρηται· σπλῆνας δὲ χρὴ διπλοῦς, πλάτος μὲν [7] ἡμισπιθαμιαίους, μὴ ἐλάσσους, — ὁκοῖον [8] δ' ἄν τι [9] τὸ τρῶμα ᾖ, πρὸς τοῦτο τεκμαίρεσθαι, — μῆκος δὲ βραχυτέρους μὲν [10] μὴ ὀλίγῳ, ἢ ὥστε δὶς περιϊκνέεσθαι περὶ τὸ τετρωμένον, μακροτέρους δὲ συχνῷ ἢ ὥστε ἅπαξ περιϊκνέεσθαι, πλῆθος δὲ ὁκόσους ἂν ξυμφέρῃ, ποιησάμενον, τούτους ἐν οἴνῳ μέλανι αὐστηρῷ βρέχοντα χρὴ ἐκ μέσου ἀρχόμενον, ὡς ἀπὸ δύο ἀρχῶν ὑποδεσμὶς ἐπιδεῖται, [11] περιελίσσειν, κἄπειτα σκεπαρνηδὸν παραλλάσσοντα τὰς ἀρχὰς ἀφιέναι. Ταῦτα κατά τε αὐτὸ τὸ ἕλκος ποιέειν

29. Quibus vero os grandius abscedere speras, sive id per exordia praesenseris, sive etiam postea cognoveris, non amplius eadem medela opus est; verum membrorum quidem in directum tensiones eodem quo supra dictum est modo faciendae. Splenia vero duplicata sunto latitudine quidem semidodrentali neque minora, coniectura ad id tamen ex vulnere cuiusmodi fuerit sumpta. Longitudine autem paulo quidem breviora quam ut suo circumactu membrum laesum bis comprehendant, multo tamen longiora quam ut semel circumducantur. At multitudine tot facere oportet, quot res postulat. Haec vino nigro austero intincta ex medio initio facto velut fascia, quae ex duobus capitibus primum circumducatur, convolvenda ac deinde alternatis capitibus asciae modo incurva demittenda. Atque haec supra ulcus et hinc atque

[1] προσεπιδέεσθαι. — [2] ἄλλως τε καὶ πυρετοί. — [3] καὶ ἢν μὲν κάρτα. — [4] χαλαρώτερα. — [5] ἀποστῇ τὲ τὸ ὀ. — [6] καί om. — [7] ἡμισπιθαμιαίου. — [8] δ'. — [9] καί. — [10] μή om. — [11] καὶ περιελ.

πυκνότερον — ἰσχνά.] μετεπιδεῖν N. mutatum in μετεπιδέεσθαι. Post πλάδον vulgo ἐπεὶ ἄλλως τε καὶ πυρετοὶ γίνονται καὶ ἢν μὲν κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος καὶ τὸ ἕλκος καὶ τὰ περιέχοντα ἰσχνά. Cum Littréo in hisce codicem N. sum secutus.

ὅσαι — προστιθέναι.] ὅσαι pleraque mss., Littr., ὅσα vulg.; — οὖν om. Lind.; — μεγάλης in nonnullis libris Galeni tempore aberat, vide comm. p. 561., quem locum tamen vitio laborare credo; — χαλαρώτερα multi codd., χαλαρώτερον H., χαλαρωτέρως vulg.

29. ὁκόσοισι — ἀφιέναι.] δέ ceteri, δ' ἄν de meo; — γένηται ἐπιδ. K.; — ἐπίδοξος om. Bosq.; — καί ante ἔπειτα omm. codd. 9. apud Littr., Bosq.; — in ἡμισπιθαμιαίου cum V. conspirat cod. Sev.; — μὴ δ' ἐλασσ. J.; — δ' ἄν τι multa mss. — Articulum ante τρῶμα H. al. m., M. N., Bosq., Littr. ferunt, vulgo om.; — βραχυτέρους οὐκ ὀλίγῳ Bosq., βραχ. μὲν μὴ ὀλ. Littr., quem sequor et qui Gal. comm. contulit; μή om. vulg.; — περὶ τὸ σῶμα τὸ τετρ. vulgo, sed τὸ σῶμα om. cod. Sev., quem cum Littr. sequor et cum quo V. rursus consentit. — Post μέσου ferunt τοῦ ὀθονίου H. al. m., Bosq.; — ὑπόδεσμις multa mss., Gal., ὑποδεσμίς H. Chart., Bosq., Littr., ὑπόδεσμος vulg.; — καὶ περιελίσσειν pauciora mss.

ταῦτα — προσκείσθω.] αὐτὸ κατά τε F. G.; — πιέχθω vulg., recte scriptum Littréo praebuerunt B. M. N.

καὶ κατὰ τὸ ἔνθεν καὶ ἔνθεν τοῦ [1] ἕλκεος· καὶ πεπιέχθω μὲν μή, ἀλλ' ὅσον ἐρμασμοῦ ἕνεκεν τοῦ ἕλκεος προσκείσθω. Ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἐπιτιθέναι χρὴ πισσηρὴν, ἤ τι τῶν ἐναίμων, ἤ τι τῶν ἄλλων Φαρμάκων, ὅ τι ξύντροφόν ἐστι [2] ἐπιτέγξι. Καὶ ἢν μὲν ἡ [3] ὥρη θερινὴ ᾖ, ἐπιτέγγειν τῷ οἴνῳ τοὺς σπλῆνας [4] συχνά· ἢν δὲ χειμερινὴ ἡ ὥρη ᾖ, εἴρια πολλὰ ῥυπαρὰ νενοτισμένα οἴνῳ καὶ ἐλαίῳ ἐπικείσθω. Ἰξαλῆν [5] δὲ χρὴ ὑποτετάσθαι καὶ εὐαπόρρυτα ποιέειν, Φυλάσσοντα [6] τοὺς ὑπορρόους, μεμνημένον ὅτι οἱ τόποι οὗτοι ἐν τοῖσι αὐτοῖσι σχήμασι πολλὸν χρόνον [7] κείμενοι ἐκτρίμματα δυσάκεστα ποιέουσι.

λ'. Ὅσους δὲ μὴ οἷόν τε ἐπιδέσι ἰήσασθαι διά τινα τούτων τῶν εἰρημένων τρόπων, ἢ τῶν εἰρησομένων, τούτους περὶ πλέονος χρὴ ποιέεσθαι, ὅκως εὐθέτως σχήσουσι τὸ κατεηγὸς τοῦ σώματος κατ' ἰθυωρίην προσέχοντα τὸν νόον καὶ τῷ ἀνωτέρω δὲ μᾶλλον ἢ [8] τῷ κατωτέρω. Εἰ δέ τις μέλλοι καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι, ἄξιον [9] μὲν μηχανοποιήσασθαι, ὅκως κατάτασιν δικαίην καὶ μὴ βιαίην σχήσει τὸ κατεηγὸς τοῦ σώματος· [10] μάλιστα δ' ἐν κνήμῃ ἐνδέχεται μηχανοποιέειν. Εἰσὶ μὲν οὖν τινες, οἳ ἐπὶ πᾶσι τοῖσι τῆς κνήμης κατήγμασι καὶ τοῖσι ἐπιδεομένοισι καὶ τοῖσι μὴ ἐπιδεομένοισι τὸν πόδα ἄκρον προσδέουσι πρὸς τὴν κλίνην, ἢ πρὸς ἄλλο τι ξύλον παρὰ τὴν κλίνην κατορύξαντες. Οὗτοι μὲν οὖν πάντα κακὰ ποιέουσι, ἀγαθὸν δὲ οὐδέν· οὔτε γὰρ τοῦ κατατείνεσθαι ἄκος ἐστὶ τὸ προσδεδέσθαι τὸν πόδα, οὐδὲν [11] γὰρ ἧσσον τὸ ἄλλο σῶμα προσχωρήσει πρὸς τὸν πόδα καὶ οὕτως οὐκ ἂν ἔτι

hinc adhibenda sunt, ac ne comprimi quidem, verum eatenus ulceri adhaerescere ut obfirmentur debent. Ulceri autem ipsi ceratum, quod picem habeat, imponendum, aut aliquod ex iis, quae cruentis vulneribus adhibentur, aut aliud aliquod medicamentum, quod perfusioni sit accommodatum. Ac aestate quidem splenia vino subinde imbui debent, hieme vero lanae multae succidae vino atque oleo madentes superius ponendae. Pellis vero caprina substernenda et curandum ut humores facile effluant, defluvia vitanda, mente reputanti loca haec, si longo tempore eodem habitu perseverent, curatu difficiles attritus contrahere.

30. At qui nullo ex ante dictis modis, aut ex iis, qui postea referentur, sub vinculis sanari queunt, iis maximam curam adhibere oportet, ut partem fractam recte atque e directo collocatam habeant, ea animadversione ut excitetur potius quam dependeat. Quodsi cui recte atque expedite opus exercere in animo est, is machinas adhibere necesse habet, quo iusta ac minime violenta distentione pars fracta intendatur, quod praecipue in tibia facere licet. Quidam igitur semper crure fracto, sive vinculum aliquod, sive nullum adhibeatur, pedem summum ad lectum aut aliud aliquod lignum iuxta lectum defossum devinciunt. At hi quidem ut nihil utile afferunt, ita plane nocent. Neque enim haec pedis vinctura quidquam ad extensionem confert, cum reliquum corpus nihilominus ad pedes defluat eaque de causa non amplius extenditur, ac neque quidquam ad directionem conducit, quin etiam obest. Converso namque in hanc vel illam partem reliquo corpore, nihil prohi-

[1] ἕλκεος προκείσθω ἐπί omissis intermediis. — [2] ὃ ἐπιτέγξει. — [3] ὥρη om. — [4] συχνά. — [5] δὲ αἰγὸς χρή. — [6] τοὺς ὑπερόας. — [7] κείμενα. — [8] τῷ om. — [9] καὶ μηχανοπ. — [10] μᾶλλον. — [11] τε ἧσσον.

ἐπὶ — ἐπιτέγξι.] Totam periodum om. Ald.; — ὃ ἐπιτέγξει. uti V., mss. 9. apud Littr.

καὶ ἢν — ἐπικείσθω.] μέν om. C.; — συχνά pro vulgato πυκνά, uti V., codd. 6. apud Littr.; πυκνά glossa est: Hesych. etiam συχνά exponit πυκνά.

ἰξαλῆν — ποιέουσι.] δ' αἰγὸς χρή vulg., δὲ αἰγὸς χρή et δὲ χρὴ αἰγός alii; Bosq., Littr. omm. αἰγός collato comm. Galeni et huius et Erotiani glossis. — Vulgo ὑποῤῥόους, sed K. ἐπιῤῥόους. — Littréus de suo pro οὗτοι scripsit οἱ propter Galeni comm.; equidem non credo ideo vulgatam esse tentandam.

30. ὅσους — κατωτέρω.] τινα om. M.; — τρόπον H. J.: — ῥηθησομένων multa mss. et Bosq.; — πλέονος N., πλείονος vulg.; — τῷ ante κατωτέρω D., Bosq., vulgo om.

εἰ δέ τις — μηχανοποιέειν.] μᾶλλον pro μάλιστα mss. 6., Bosq.; — δ' ἐν C., δὲ ἐν ceteri.

οἷσι μὲν οὖν — κατορύξαντες.] καὶ τὸν πόδα Ald.

οὗτοι μὲν οὖν — σώματι.] οὐδὲν γὰρ ἂν ἧσσον B. M. N., Bosq., Littr., τε pro γάρ vulg., neque γάρ, neque τε Ald. et mss, 8.; — αὖ pro vulgato ἄν Gal., Ald., mss. 10., Chart.,

τείνοιτο· οὔτ' αὖ ἐς τὴν ἰθυωρίην οὐδὲν ὠφελέει, ἀλλὰ καὶ βλάπτει, στρεφομένου γὰρ τοῦ ἄλλου σώματος ᾗ τῇ ᾗ τῇ, [1]οὐδὲν κωλύει ὁ δεσμὸς τὸν πόδα καὶ τὰ ὀστέα [2]τὰ τῷ ποδὶ προσηρτημένα [3]ἐπακολουθέειν τῷ ἄλλῳ σώματι. Εἰ δὲ μὴ προσεδέδετο, ἧσσον ἂν διεστρέφετο· ἧσσον γὰρ ἂν ἐγκατελείπετο ἐν τῇ κινήσι τοῦ ἄλλου σώματος. Εἰ δέ τις σφαίρας δύο ῥάψαιτο ἐκ σκύτεος Αἰγυπτίου τοιαύτας, οἵας φοροῦσι οἱ ἐν τῇσι μεγάλῃσι πέδῃσι πολλὸν χρόνον πεπεδημένοι, αἱ δὲ σφαῖραι ἔχοιεν ἔνθεν καὶ ἔνθεν [4]χιτῶνας, τὰ μὲν πρὸς τοῦ τρώματος βαθυτέρους, τὰ δὲ πρὸς τῶν ἄρθρων βραχυτέρους, εἶεν δὲ ὀγκηραὶ μὲν καὶ μαλθακαὶ, ἁρμόζουσαι δὲ ἡ μὲν ἄνωθεν τῶν σφυρῶν, ἡ δὲ κάτωθεν τοῦ γούνατος· ἐκ δὲ πλαγίου [5]ἑκατέρῃ δισσὰ ἔχοι προσηρτημένα ἢ ἁπλόου ἱμάντος, ἢ διπλόου, βραχύτερα ἀπαιωρήματα ὥσπερ ἀγκύλας, τὰ μέν τοι τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δέ τοι τοῦ γούνατος· κἄπειτα κρανάϊνας ῥάβδους [6]λάβοι ἴσον τὸ μέγεθος ἀλλήλῃσι ἐχούσας, πάχος μὲν ὡς [7]δακτυλιαίας, μῆκος δὲ ὡς κεκαμμέναι ἐναρ-

bebit vinculum quo minus pes et annexa illi ossa reliquum corpus sequantur. Quin si alligatus non fuerit, minor fiet perversio, cum in reliqui corporis motione minus deferatur. Possunt autem duo orbes ex corio Aegyptio confici, quales gestare consueverunt qui diu in magnis compedibus detenti sunt, sintque hi undique tunicis cincti, qua quidem vulnus est altioribus, ad articulos autem brevioribus; sint praeterea tumidi quidem et molles atque ita accommodati, ut unus quidem supra malleolos, alter vero infra genu collocetur. A latere vero uterque habeat duo utrinque appensa retinacula breviora velut ansas ex simplici aut duplici loro, partim quidem ex utroque malleolo, partim vero ex utroque genu. Deinde virgae corneae sumantur aequali inter se magnitudine, crassitudine quidem digitali, ea vero longitudine, ut inflexae ad suspensa retinacula apte conveniant, eo adhibito studio, ut summi virgarum fines, non in cutem, sed in extremas orbium eminentias incumbant. Tria vero aut plura virgarum paria esse debent et aliae aliis aliquanto longiores et breviores ac minores, quo,

[1] οὐδέν om. et tum κωλύσει. — [2] τά om. — [3] ἐπακολουθήσειν. — [4] χιτῶνα τοὺς μὲν πρὸ τοῦ. — [5] ἑκατέρης δισὰ ἑκατέρωθεν ἔχοι κατὰ τὴν ἰθυωρίην omissis intermediis. — [6] λαβῶν ἴσας τὸ μ. ἐχούσας. — [7] δακτυλιαίους.

Bosq., Littr.; — ὠφελέοι et βλάπτοι cod. Sev. et V.; — κωλύει K.; — τὰ τῷ ποδί B. M. N. Bosq., τά om. vulg.

εἰ δὲ μὴ — σώματος.] κατελίπετο J.; — Bosq. dedit ἐγκατείληπτο, sine causa idonea de solita scriptura deflectens.

εἰ δέ τις — γούνατος.] σφαίρας non globos fuisse, sed sua forma παραπλησίας τοῖς ὄφεσι ἢ τοῖς ἀλλᾶσι dicit Gal. in comm.; Foës. Latine *orbes* appellavit, quod non mutavi; verumtamen isti veluti parvi pulvini habuisse censendi sunt formam sphaeroïdeam ab exteriore parte, ita ut intus planiores ad crus essent accommodati; neque enim ceteroquin illud nomen σφαιρῶν obtinuissent. — Littréus existimat Galenum diversam ab hodierna loci scriptura lectionem vidisse, quum in comm. (p. 577.) dicat: παραπλησίαι ταῖς πέδαις ὑπάρχουσι, quod sane apud nostrum non legimus. Non tamen ideo certo mihi persuasum est verum esse quod opinatur Littréus; non satis diligens interpres est Galenus, ut credam eum de suo aliquid fingere non potuisse. — Porro πουλὺν χρ. D. et H. al. m.; — τὰ μὲν — τὰ δέ multa mss. Bosq., Littr., τοὺς μὲν — τοὺς δέ vulg.; — μέν ante καὶ μαλθ. om. M. — Sequuntur in libris haec: ἐκ δὲ πλαγίης ἑκατέρῃ (ἑκατέρης mss. 8., Merc. in marg., ἑκατ. om. Chart.) δισσὰ (ῥυτά Bosq., δισσά om. Chart.) ἑκατέρωθεν ἔχοι προσηρτισμένα (προσηρτημένα Gal., codd. 9., Chart., Bosq.) ἢ ἁπλοῦ (ἁπλόου N.) ἱμάντος, ἢ διπλόου βραχύτερα (βραχέα prima m. in N.) ὥσπερ ἀγκύλας τὰ μέν τι (μέντοι D. H. J. M.) τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δέ τι τοῦ γούνατος. καὶ ἡ ἄνωθεν σφαῖρα ἕτερα τοιαῦτα ἔχοι (ἔχει mss. 9.) κατὰ τὴν ἰθυωρίην τὴν αὐτήν. Unde Littréus: ἐκ δὲ πλαγίης ἄκρης δισσὰ ἡ κάτωθεν ἔχοι προσηρτημένα ἢ ἁπλόου ἱμάντος, ἢ διπλόου. βραχέα ὥσπερ ἀγκύλας. τὰ μέν τι τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δέ τι τοῦ γούνατος· καὶ ἡ ἄνωθεν σφαῖρα ἕτερα τοιαῦτα ἔχοι κατὰ τὴν ἰθυωρίην τὴν αὐτήν. — Quam vitiis laborent tum vulgatus, tum Littréi textus vel hoc indicio est: ex iis sequitur τὴν κάτωθεν σφαῖραν habere ἀγκύλας cum τοῦ σφυροῦ ἑκατέρωθεν, tum τοῦ γούνατος ἑκατέρωθεν, quod sane absurdum. — Certa tamen erit loci emendatio: interpolatus est et nomen deficit. Licet ἐκ πλαγίης ferri possit, malui perspicuitatis causa familiare ἐκ πλαγίου scribere; tum ἡ κάτωθεν post δισσά delendum est, miserum et ineptum scholion est, possis dein βραχέα, possis βραχύτερα scribere, sed non dubito, quin vulgatum sit ab auctoris manu; — at quaenam sunt illa βραχύτερα? nempe ἀπαιωρήματα illa, de quibus infra loquitur, ct quod nomen hoc loco reponendum; — in seqq. τὰ μέν τι — τὰ δέ τι debet esse τὰ μέν τοι — τὰ δέ τοι, nam quid τι h. l. sibi velit, nemo puto intelligit; tandem deleamus scholion καὶ ἡ ἄνωθεν σφαῖρα ἕτερα τοιαῦτα ἔχοι κατὰ τὴν ἰθυωρίην τὴν αὐτήν, et locus salvus erit et planus.

κἄπειτα — ἐγκέλσει.] τέσσαρας post ῥάβδους N. solus, sed oblit., unde dedit Littr.; mihi e Galeni comm. in lectionem codicis introductum videtur; sponte sequitur ex auctoris descriptione τὰς ῥάβδους quatuor esse debere numero. Tum λαβών vulgo; de meo λάβοι scripsi. Dein ἴσας Ald., mss.

μόσουσι ἐς τὰ ἀπαιωρήματα, ἐπιμελεόμενος ὅκως τὰ ἄκρα τῶν ῥάβδων μὴ ἐς τὸν χρῶτα, ἀλλ' ἐς τὰ ἄκρα τῶν σφαιρέων ἐγκέλσει. Εἶναι δὲ χρὴ ζεύγεα τρία τῶν ῥάβδων καὶ πλέω καί τινι μακροτέρας [1]τὰς ἑτέρας τῶν ἑτέρων καί τινι καὶ βραχυτέρας καὶ σμικροτέρας, ὡς καὶ μᾶλλον διατείνειν, ἢν βούληται, καὶ ἧσσον· ἔστωσαν δὲ αἱ ῥάβδοι ἑκάτεραι ἔνθεν καὶ ἔνθεν τῶν σφυρῶν. Ταῦτα τοίνυν εἰ καλῶς μηχανοποιηθείη, τήν τε [2]κατάτασιν καὶ δικαίην ἂν παρέχοι καὶ ὁμαλὴν κατὰ τὴν ἰθυωρίην, καὶ τῷ τρώματι πόνος οὐδεὶς ἂν εἴη· τὰ γὰρ ἀποπιέσματα εἴ τι καὶ ἀποπιέζοιτο, τὰ μὲν ἂν ἐς τὸν πόδα ἀπάγοιτο, τὰ δὲ ἐς τὸν μηρόν· αἵ τε ῥάβδοι εὐθετώτεραι, αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν τῶν σφυρῶν, ὥστε μὴ κωλύεσθαι τὴν θέσιν τῆς κνήμης· τό τε τρῶμα [3]εὐκατάσκηπτον καὶ εὐβάστακτον· οὐδὲν γὰρ ἐμποδών, εἴ τις ἐθέλοι, τὰς δύο τῶν ῥάβδων τὰς ἀνωτέρω πρὸς ἀλλήλας ζεῦξαι, ἤν τι κούφως βούληται ἐπιβάλλειν, ὥστε τὸ ἐπιβαλλόμενον μετέωρον ἀπὸ τοῦ τρώματος εἶναι. Εἰ μὲν οὖν αἵ τε σφαῖραι προσηνέες καὶ μαλθακαὶ καὶ καλαὶ καὶ καιναὶ ῥαφεῖεν καὶ ἡ ἔντασις τῶν ῥάβδων χρηστῶς ἐνταθείη, ὥσπερ ἤδη εἴρηται, εὔχρηστον τὸ μηχάνημα· εἰ δέ τι τούτων μὴ καλῶς ἕξει, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. Χρὴ δὲ καὶ τὰς ἄλλας μηχανὰς ἢ καλῶς μηχανᾶσθαι, ἢ μὴ μηχανᾶσθαι· αἰσχρὸν γὰρ καὶ ἄτεχνον μηχανοποιέοντα ἀμηχανοποιέεσθαι.

λα'. Τοῦτο δὲ, οἱ πλεῖστοι τῶν ἰητρῶν τὰ κατήγματα καὶ τὰ μεθ' ἑλκέων καὶ τὰ ἄνευ

si lubet, magis ac minus distendere possis. Virgaeque hinc et inde ex utraque malleorum parte collocandae. Haec igitur si recte molitus fueris, et iustam intentionem et ex directo aequabilem praestabunt, vulnerique nullum dolorem afferent. Nam si quae fiunt expressiones, partim quidem ad pedem, partim vero ad femur ablegantur, virgaeque hinc atque inde a malleolis rectius collocantur, ut ne tibiae situm impediant, ac probe vulnus decumbat ac sustinere aliquid possit. Neque enim quidquam prohibet duas superiores virgas, si quis velit, inter se iungere ac leve aliquid, si lubet, iniicere, ita ut iniectum sublime supra vulnus exstet. Orbes igitur si lenes, molles, firmi, et recens consuti fuerint, virgarumque intensio, velut iam dictum est, recte facta sit, optimum erit instrumentum. Sin horum quidquam non recte procedat, oberit magis quam profuerit. Cetera autem artificia pariter aut recte aut nullo modo molienda sunt; turpe enim et ab arte abhorrens aliquid molientem in ipso artificio deficere.

31. Fracturas porro tam cum ulcere quam sine ulcere plerique medici primis diebus lana

[1] τῶν ἑτ. τὰς ἑτ. — [2] κατάταξιν δικαίην παρέχοι. — [3] εὐκατάσκηπτον.

11., Bosq.; — μέγεθος sine τό C. Gal.; — δ' ὡς C.; — ἐναρμόζωσιν vulg., ἐναρμόζουσιν Ald., ἐναρμόσωσιν libri 10., Littr., ἐναρμόσουσι C. recte; — ἐπιμελόμενος non pauca mss. et Littr.: — ἐγκέλσει Ald., Littr., ἐγκέλσῃ vulg.

εἶναι — σφυρῶν.] τῶν ἑτ. τὰς ἑτ., uti V., nonnulli Parr.; — διατείνῃς B. M. N. Bosq.; — βούληται vulg., βούλῃ B. M. N. Bosq., βούλωνται D.; — καὶ ἧσσον B. M. N. Littr., vulgo om.; — καὶ ἔστωσαν C.; — σφαιρέων pro σφυρῶν Bosq.

ταῦτα — εἶναι.] Pro τοίνυν ferunt δ' B. C. M. N., Bosq., omittit voculam Ald.; — καί ante δικαίην B. M. N. Littr., cett. omm.; — ἄν M. N. Chart., Bosq., Littr., vulgo om.; — δ' ἐς τὸν μηρόν nonnulli codd.: — αἱ δ' ἔνθεν C.; — σφαιρέων pro σφυρῶν Bosq.; — εὐκατάσκεπτον B. K. M. N. Littr.; mihi vulgata vera scriptura videtur et quae cum εὐβάστακτον melius congruat quam altera a Littréo recepta; — οὐδὲ γάρ vulg., οὐδὲν γάρ mss. 10. Bosq.; — τὰς ἀνωτέρω αὐτὰς πρὸς ἀλλήλας ceteri; delevi otiosum αὐτάς; — tum καὶ ἤν τι κούφως κ. τ. λ. ceteri, ubi rursus otiosum καί abieci; — βούληται C. Littr.; — βούλοιτο vulgo, fortasse pro antecedente ἤν alii libri olim εἰ tulerint.

εἰ μὲν οὖν — ὠφελέοι.] καὶ μαλθ. καὶ καλ. mss. 7., vulgo καὶ καλαὶ καὶ μαλθ.: — καιναί H. al. m., Littr., κεναί vulg.

31. τοῦτο δὴ — εἶναι.] ξὺν ἕλκεσιν vulg.; — μεθ' ἑλ-

ἑλκέων τὰς πρώτας τῶν ἡμερέων ἰητρεύουσι εἰρίοισι ῥυπαροῖσι· καὶ οὐδέν τι ἄτεχνον δοκέει τοῦτο εἶναι. Ὅσοι μὲν οὖν ἀναγκάζονται ὑπὸ τῶν αὐτίκα νεοτρώτων ἐόντων, [1] μὴ ἔχοντες ὀθόνια, εἰρίοισι παρασκευάσασθαι, τούτοισι πλείστη ξυγγνώμη· οὐδὲ γὰρ ἂν τις ἔχοι ἄνευ ὀθονίων ἄλλο τι πολλῷ βέλτιον εἰρίου [2] ἐπιδῆσαι ἐπὶ τὰ τοιαῦτα· εἶναι δὲ χρὴ πάμπολλα καὶ πάνυ καλῶς εἰργασμένα καὶ μὴ τρηχέα· τῶν γὰρ ὀλίγων καὶ φλαύρων ὀλίγη καὶ ἡ δύναμις. Ὅσοι δὲ ἐπὶ μίαν ἢ δύο ἡμέρας εἴρια ἐπιδέειν δικαιοῦσι, τρίτῃ δὲ καὶ τετάρτῃ ὀθονίοισι ἐπιδέοντες πιέζουσι καὶ κατατείνουσι τότε μάλιστα, οὗτοι πουλύ τι ἰητρικῆς καὶ κάρτα ἐπίκαιρον ἀξυνετέουσι· ἥκιστα γὰρ χρὴ τῇ τρίτῃ ἡμέρῃ ἢ τῇ τετάρτῃ στυφελίζειν πάντα τὰ [3] τρώματα, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι· καὶ μηλώσιας δὲ πάσας φυλάσσεσθαι χρὴ ἐν ταύτῃσι τῇσι ἡμέρῃσι καὶ ὁκόσοισι ἄλλοισι τρώματα ἐρεθίζεσθαι εἴθισται. Τὸ ἐπίπαν γὰρ ἡ τρίτη καὶ τετάρτη ἡμέρη ἐπὶ τοῖσι πλείστοισι τῶν τρωμάτων τίκτει τὰς παλιγκοτήσιας, καὶ ὅσα ἐς φλεγμονὴν καὶ ἀκαθαρσίην ὁρμᾷ καὶ ὅσα [4] ἂν ἐς πυρετοὺς ἴῃ. Καὶ μάλα πολλοῦ ἄξιον τοῦτο [5] τὸ μάθημα, εἴ πέρ τι καὶ ἄλλο. Τίνι γὰρ οὐκ ἐπικοινωνέει τῶν ἐπικαιροτάτων ἐν ἰητρικῇ, οὐ κατὰ τὰ ἕλκεα μοῦνον, ἀλλὰ καὶ κατ' ἄλλα πολλὰ νοσήματα; εἰ μή τις φήσειε καὶ τἄλλα νοσήματα ἕλκεα εἶναι· ἔχει γάρ τινα καὶ οὗτος ὁ λόγος ἐπιείκειαν· πολλαχῇ γὰρ ἠδέλφισται τὰ ἕτερα τοῖσι ἑτέροισι. Ὁκόσοι μέντοι δικαιοῦσι εἰρίοισι χρῆσθαι, ἔστ' ἂν ἑπτὰ ἡμέραι παρέλ-

succida curant, neque id ab arte alienum videtur. Ii quidem igitur, qui ad recens vulnerata linteorum inopia lanam comparatam habere coguntur, iis magna venia debetur. Neque enim in linteorum penuria quidquam lana longe melius ad haec deliganda adhiberi potest. Et vero quam plurima, tum probe carpta neque aspera esse debet. Pauca namque et prava parum habet virium. At qui uno aut altero die lanam deligare aequum esse putant, tertio vero et quarto iniectis linteis comprimunt, tumque plurimum distendunt, ii in eo, quod in re medica inprimis est advertendum, admodum inscienter se gerunt. Tertio namque et quarto die duriter et aspere vulnerata minime tractari debent et, ut uno verbo complectar, iis diebus omni specilli demissione aliisque, quibus vulnera irritari solent, abstinendum. In totum enim pleraque vulnera tertio ac quarto die recrudescere consueverunt, tum quae ad inflammationem et sordes tendunt, tum quae ad febres deveniunt. Atque hoc praeceptum, si quod aliud, magnum est operae pretium attendere. Quid enim est praecipui in re medica usus non in ulceribus modo, verum etiam multis in aliis morbis, cum quo communionem non habeat? Nisi si quis reliquos quoque morbos ulcera esse dixerit; quae sane oratio quamdam habet probabilitatem. Multis enim modis alii cum aliis cognationem habent. At qui lanis uti aequum censent, quoad septem dies praeterierint, deinde tum intendere tum componere et fasciis devincire, ii non perinde inscientes videri debent. Nam et maxime accommodatum inflammationi

[1] οὐκ. — [2] ἐπιδῆσαι om. — [3] τρύματα. — [4] ἄν abest. — [5] τό om.

κέων multi codd., Littr.; — δοκέει plerique codd.; Bosq., Littr., δοκείη vulg., δοκοίη Chart., Lind.

ὅσοι μὲν οὖν — δύναμις.] οὖν Gal., cod. Voss.. οὖν om. vulg.; — οὐκ ἔχοντες codd. 8., Bosq.; — οὐδὲ γὰρ ἄν B. M. N., οὐ γὰρ ἄν vulg.; — τραχέα vulg., Ionismum e multis mss. dedit Littr.; — ὀλίγου ἡ δύναμις Bas., Merc.

ὅσοι δὲ — εἴθισται.] ὅσοι δὲ μὴ ἐπί C.; — δοκέουσι C. pro δικαιοῦσι; — tum τι ἰητρικῆς vulgo, sed τῆς ἰητρικῆς cum τι supra versum M., unde Littr. τι τῆς ἰητρ. — In τῇ τρίτῃ ἡμέρῃ ἢ τῇ τετάρτῃ dedi plerorumque mss. etiam Vossiani lectionem, Bosq. ex eadem lect. ἡμέρῃ omisit; vulgata τῇ τρίτῃ καὶ τετάρτῃ fert; — ὡς ἐν κεφαλαίῳ δέ vulg., δέ omm. B. C. M. N. Littr.; — τρώμασιν ἠρέθισται vulgata: necessario τρώματα legendum, quod latine expressit Foës; sed quid sibi vult vel sic perfectum ἠρέθισται? me iudice natum est ex ἐρεθίζεσθαι εἴθισται, quemadmodum εἴθισται καθεῖσθαι legimus § 15.

τὸ ἐπίπαν — ἴῃ.] τὸ γὰρ ἐπίπαν K.; — καὶ ἡ τετάρτη vulg., sed ἡ omm. codd. plerique et Littr.; — ἄν, uti V., om. cod. Sev.

τοὺς — εἶναι.] κατ' ἄλλα codd. 7., κατὰ τὰ ἄλλα B. M. N., κατὰ ἄλλα vulg.

ἔχει — ἑτέροισι.] γάρ B. M. N., Bosq., Littr., δέ vulg.

ὁκόσοι — εἴη.] καί ante ὀθονίοισι omm. mss. nonnulla.

θωσι, ἔπειτα κατατείνειν τε καὶ [1] κατορθοῦν καὶ ὀθονίοισι ἐπιδεῖν, οὗτοι οὐκ ἂν ἀξύνετοι ὁμοίως φανεῖεν· καὶ γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρελήλυθε καὶ τὰ ὀστέα χαλαρὰ καὶ εὔθετα μετὰ ταύτας τὰς ἡμέρας ἂν εἴη. Πολλῷ μέντοι [2] ἡσσᾶται καὶ αὕτη ἡ μελέτη τῆς ἐξ ἀρχῆς τοῖσι [3] ὀθονίοισι ἐπιδέσιος· κεῖνος μὲν γὰρ ὁ τρόπος ἑβδομαίους ἐόντας [4] ἀφλεγμάντους ἀποδείκνυσι καὶ παρασκευάζει νάρθηξι τελέως ἐπιδεῖν· οὗτος δὲ ὁ τρόπος πουλὺ ὑστερεῖ, βλάβας δέ τινας καὶ ἄλλας ἔχει, ἀλλὰ μακρὸν ἂν εἴη πάντα γράφειν.

λβ'. Ὁκόσοισι δ' ἂν τὰ ὀστέα κατεηγότα καὶ ἐξίσχοντα μὴ δύνηται ἐς τὴν ἑωυτῶν χώρην καθιδρύεσθαι, ἥδε ἡ κατάστασις· σιδήρια χρὴ ποιέεσθαι ἐς τοῦτον τὸν τρόπον, ὅνπερ οἱ μοχλοὶ ἔχουσι, οἷσι οἱ λατύποι χρέονται, τὸ μέν τι πλατύτερον, τὸ δέ τι στενώτερον· εἶναι δὲ χρὴ καὶ τρία καὶ ἔτι [5] πλείω, ὡς τοῖσι μάλιστα ἁρμόζουσι ἄν τις χρήσαιτο· ἔπειτα τούτοισι χρὴ ἅμα τῇ κατατάσι μοχλεύειν ὑποβάλλοντα πρὸς μὲν τὸ κατώτερον τοῦ ὀστέου [6] τὸ κατώτερον ἐρείδοντα, πρὸς δὲ τὸ ἀνώτερον [7] τὸ ἀνωτέρω τοῦ σιδηρίου, ἁπλῷ δὲ λόγῳ ὥσπερ εἰ λίθον τις ἢ ξύλον μοχλεύοι ἰσχυρῶς· ἔστω δὲ σθεναρὰ τὰ σιδήρια ὡς οἷόν τε, ὡς μὴ κάμπτηται. Αὕτη μεγάλη τιμωρίη, ἤν τε τὰ σιδήρια ἐπιτήδεια ᾖ καὶ μοχλεύηταί τις ὡς χρή. Ὁκόσα γὰρ ἀνθρώποις ἄρμενα μεμηχάνηται, πάντων ἰσχυρότατά ἐστι τρία ταῦτα, ὄνου τε περιαγωγὴ καὶ μόχλευσις καὶ σφήνωσις. Ἄνευ δὲ τούτων ἢ ἑνὸς δή τινος ἢ πάντων, οὐδὲν τῶν ἔργων τῶν ἰσχυροτάτων οἱ ἀνθρω-

tempus praeterierit et ab his diebus ossa laxari et bene coaptari poterunt. Ista tamen curandi ratione longe potior est quae per exordia fascias devincit. Haec enim septimo die efficit uti deligationi per ferulas suscipiendae plane idonei reddantur, quod in illa multo posterius accidit; sed et alias quasdam habet noxas, quas longum esset percensere.

32. At quibus ossa fracta cute eminentia in suam sedem collocari non possunt, ea hoc modo reconduntur. Ferramenta facienda ad vectium similitudinem, quibus in lapidicinis utuntur, hac quidem parte latiora, altera vero angustiora. Tria autem aut plura etiam esse debent, quo maxime accommodata in usum adhibeantur. His deinde sappositis una inter extendendum ita molitionem aggredi oportet, ut ima sui parte inferiori ossi, summa vero superiori innitantur, non secus, ut uno verbo complectar, quam si quis ad lapidem aut lignum commovendum validam vectis molitionem adhibeat. Sint autem ferramenta quam maxime fieri potest valida, ne inflectantur. In eoque magnum est subsidium, si et ferramenta sint idonea et convenientem quis molitionem adhibeat. Ex omnibus namque machinamentis, quae convenienter ad usum homines comminiscuntur, validissima haec tria exsistunt: aselli circumactio, per vectem molitio et cunei adactio. Ac nisi aut unum aliquod, aut omnia adhibueris, nihil

[1] κατορθοῦν καί om. — [2] ἥσσηται (sic). — [3] ὀθονίοισι om. — [4] ἀφλεγμάντους om. — [5] πλεῖον. — [6] τὸ κατώτερον om. — [7] τῷ ἀνωτέρω.

πολλῷ — γράφειν.] ἥσσηται mss. 10., Bosq., cf. lectt. V.; — μέν om. K.; — ἀφλεγμάντους B. M. N., Bosq., Littr., vulgo om.; — ὑστερεῖ mss. 11., Littr., ὑστεροῖ vulg.
32. ὁκόσοισι — κάμπτηται.] δέ ceteri, δ' ἄν de meo; — κατάστασις Gal., Parr. 5., Merc. in marg., Chart., Littr., κατάτασις vulgo. Utraque lectio in mss. Galeni tempore iam habebatur, uti narrat in comm. Mihi, licet κατάστασις praeferam, non certo constat auctorem nostrum κατάτασις scribere non potuisse: nempe quum illa μόχλευσις, quod ex eis quae sequuntur et ex rerum natura constat, non fieret nisi in ipsa κατατάσι, adeo ut κατάτασις, quasi pars sit τῆς καταστάσιος, non plane absurde κατάτασις h. l. posuisset. Sed pergo: ὁκοῖάπερ, sed ὅνπερ supra versum N.; — τὸ μέν τοι — τὸ δέ τοι alii libri; — καί ante τρία om. K.; — καὶ ἔτι πλεῖον mss. 6.; — ἄν post ἁρμόζουσι de meo adscripsi; — τὸ κατώτερον B. M. N., Bosq., Littr., τὸ κ. om. vulg.; — πρὸς δὲ τὸ ἀνωτέρω B. et M. N. cum ἀνώτερον, dein τὸ ἀνώτερον B., Bosq., Littr., ubi τῷ ἀνωτέρῳ vulg., alii τὸ ἀνωτέρω, quod in vulgata latet; — σιδήρου C.; — ὡς ante μή om. D.
ἄνευ — ἐπιτελέουσι.] ἑνός τινος sine δή C.; — ἐκτελέουσι, uti V., mss. 7. apud Littr., Bosq.

ποι [1] ἐπιτελέουσι. Οὔκουν ἀτιμαστέη αὕτη ἡ μόχλευσις· ἢ γὰρ οὕτως ἐμπεσεῖται τὰ ὀστέα, ἢ οὐκ ἄλλως. Ἢν δ' ἄρα τοῦ ὀστέου τὸ ἄνω παρηλλαγμένον μὴ ἐπιτήδειον ἔχῃ ἐνέδρην τῷ μοχλῷ, ἀλλὰ πάροξυ [2] ἐὸν παραφέρῃ, παραγλύψαντα χρὴ τοῦ ὀστέου [3] ἐνέδρην τῷ μοχλῷ ἀσφαλέα [4] ποιῆσαι. Μοχλεύειν δὲ χρὴ καὶ τείνειν αὐθήμερα ἢ δευτεραῖα, τριταῖα δὲ μή, τεταρταῖα δὲ ὡς ἥκιστα, καὶ πεμπταῖα. Καὶ γὰρ μὴ ἐμβάλλοντι ὀχλήσαντι δὲ ἐν ταύτῃσι τῇσι ἡμέρῃσι, φλεγμονὴν ἂν ποιήσειε καὶ ἐμβάλλοντι οὐδὲν ἧσσον· σπασμὸν μέντοι [5] ἐμβάλλοντι πουλὺ ἂν μᾶλλον ποιήσειε ἢ ἀπορήσαντι [6] ἐμβάλλειν. Ταῦτα εὖ χρὴ εἰδέναι· καὶ γὰρ εἰ ἐπιγένοιτο σπασμὸς ἐμβάλλοντι, ἐλπίδες μὲν οὐ πολλαὶ σωτηρίης· λυσιτελέει δὲ ὀπίσω ἐκβάλλειν τὸ ὀστέον, εἰ οἷόν τε [7] εἴη ἀόχλως. Οὐ γὰρ ἐπὶ τοῖσι χαλαρωτέροισι τοῦ καιροῦ σπασμοὶ καὶ τέτανοι ἐπιγίγνονται, ἀλλ' ἐπὶ τοῖσι ἐντεταμένοισι μᾶλλον. Περὶ οὗ [8] οὖν ὁ λόγος, οὐ [9] χρὴ ἐνοχλέειν ἐν τῇσι προειρημένῃσι ἡμέρῃσι ταύτῃσι, ἀλλὰ μελετᾶν ὅκως ἥκιστα [10] φλεγμανεῖ τὸ ἕλκος καὶ μάλιστα ἐκπυήσει. Ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσι, ἢ ὀλίγῳ πλείους, ἢν ἀπύρετος ᾖ, καὶ μὴ φλεγμαίνῃ τὸ ἕλκος, τότε ἧσσον κωλύει [11] πειρῆσθαι ἐμβάλλειν, ἢν ἐλπίζῃς [12] κρατήσειν· ἢν δὲ μή, οὐδὲν δεῖ μάτην ὀχλέειν καὶ ὀχλέεσθαι.

λγ'. Ἢν μὲν οὖν ἐμβάλῃς τὰ ὀστέα ἐς τὴν ἑωυτῶν χώρην, γεγράφαται ἤδη οἱ τρό-

ex his omnibus, quae magna vi nituntur, perfici possit. Quare negligenda non est haec per vectem molitio. Hac si quidem ratione aut nullâ aliâ ossa in suas sedes reconduntur. Quodsi sane pars ossis, quae super aliud effertur, minime idoneam vecti sedem exhibet, sed acutum quid prominet, illud scalpro utrimque limandum, quo firmius vecti insideat. Eodem autem die aut postero molitionem et extensionem adhibere convenit, sed non tertio, quarto vero et quinto minime. His enim diebus lacessita ossa, etiamsi suis sedibus restituta non sint, inflammatione tentantur, ac nihilominus etiam ubi restituta fuerint. Quin etiam reposito osse multo magis excitabitur nervorum distentio quam non reposito, quod probe nosse convenit. Etenim si reposito osse nervorum distentio supervenit, in angusto spes est. Praestatque, si id sine molestia fieri possit, os retro compellere. Neque enim his, quae iusto laxiora sunt, nervorum distentiones et rigores accedunt, sed his, quae magis intenduntur. Ut autem redeam ad id, de quo iam sermo est, his praedictis diebus nullam molestiam exhibere oportet; sed operam dare ut ulcus quam minime inflammatione tentetur, maximeque ad pus perveniat. Elapsis vero septem diebus aut etiam paulo pluribus, si febris absit, neque ulcus inflammatione vexetur, tunc minus obstat, quo minus reponere tentemus, si id nos consequi posse non diffitemur. Alioqui nil opus est frustra aut sibi molestiam aut alteri exhibere.

33. Ubi igitur ossa in suam sedem compuleris, discessionem factura sint necne, quaenam

[1] ἐκτελέουσι. — [2] ὃ pro ἐόν. — [3] τὴν ἕδρην. — [4] ποιήσασθαι. — [5] ἐμβάλλουσι. — [6] ἐμβαλεῖν. — [7] εἵη. — [8] νῦν. — [9] χρὴ οὖν ἐνοχλ. — [10] φλεγμαίνῃ καὶ μάλιστα ἐκπυήσῃ. — [11] ἢ πειρ. — [12] κρατῆσαι.

οὔκουν — ἄλλως.] ἡ μόχλευσις αὕτη M.
ἢν δ' ἄρα — ποιῆσαι.] δὲ ἄρα Gal.; — πάροξυ ὃ παραφέρει vulg., πάροξυν παραφέρει M. N., sed Bosq. πάροξυ ὃν παραφέρῃ, unde Littr. ἐόν. In lectione τὴν ἕδρην conspirant rursus cod. Sev. et V.; — ποιήσασθαι non pauci codd.
καὶ γὰρ — ἐμβάλλειν.] ἐμβάλλειν B. M. N., Bosq., Littr., ἐμβαλεῖν vulgo.
ταῦτα — ἀόχλως.] μέν ante οὐ πολλαί om. M.; — ἐκβάλλειν B. M. N., Bosq., Littr., ἐκβαλλεῖν (sic) alii codd., ἐμβάλλειν vulg.
οὐ γὰρ — μᾶλλον.] σπασμοὶ καὶ τέτανοι vulgo, καί omm. mss. 5., ἤ pro καί cod. Serv., uti V.
περὶ οὗ — ἐκπυήσει.] οὖν B. C., Bosq., Littr., νῦν vulg., οὐ χρὴ οὖν vulg., sed eo loco οὖν omm. codd. plerique, Bosq., Littr.; — φλεγμαίνει C., φλεγμαίνῃ vulg., φλεγμανεῖ Littr. propter seq. ἐκπυήσει, quod H. illi praebuit, ἐκπυήσῃ ferente vulgatâ.
ἐπὴν — ὀχλέεσθαι.] κωλύειν ἤ vulg., λύει sine ἤ B. M. N., Bosq.; — κρατῆσαι mss. 11. apud Littr.; — εἰ δὲ μή Parr. 4.; — καὶ ὀχλέεσθαι om. Chart.
33. ἰητρεύειν — ὀστέων.] τοῦ ὡς χρή vulg.; οἵως χρή B. M. N., Bosq., Littr., ὡς χρή C. Ald.; — οἵως puto dit-

ποι, [1] ὡς χρὴ ἰητρεύειν, ἤν τε ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ἤν τε μή. Χρὴ δὲ, καὶ ἢν μὲν ἐλπίζῃς [2] ὀστέα ἀποστήσεσθαι, τῷ τρόπῳ τῶν ὀθονίων ἐπὶ πᾶσι τοῖσι τοιούτοισι τὴν ἐπίδεσιν ποιέεσθαι ἐκ μέσου τοῦ ὀθονίου ἀρχόμενον ὡς ἐπὶ τὸ πουλὺ, ὡς [3] ἀπὸ δύο ἀρχέων ὑποδεσμὶς [4] ἐπιδέεται· τεκμαίρεσθαι δὲ χρὴ πρὸς τὴν μορφὴν τοῦ ἕλκεος, ὅκως ἥκιστα σεσηρὸς καὶ ἐκπεπλιγμένον ἔσται παρὰ τὴν ἐπίδεσιν· τοῖσι μὲν γὰρ ἐπὶ δεξιὰ ἐπιδεῖν [5] ξυντρόφως ἔχει, τοῖσι δὲ ἐπ' ἀριστερὰ, τοῖσι δὲ ἀπὸ δύο ἀρχέων.

λδ'. Ὁκόσα δὲ κατηπορήθη ὀστέα ἐμπεσεῖν, ταῦτα εἰδέναι χρὴ ὅτι ἀποστήσεται, καὶ ὅσα τελέως ἐψιλώθη τῶν σαρκῶν· ψιλοῦται δὲ ἐνίων μὲν τὸ ἄνω μέρος, μετεξετέρων δὲ κύκλοθεν ἀμφιθνήσκουσι αἱ σάρκες, καὶ τῶν μὲν ἀπὸ τοῦ ἀρχαίου τρώματος σεσάπρισται ἔνια τῶν ὀστέων, τῶν δ' οὔ· καὶ τῶν μὲν μᾶλλον, τῶν δὲ ἧσσον· καὶ τὰ μὲν σμικρὰ, τὰ δὲ μεγάλα. Διὰ οὖν ταῦτα τὰ εἰρημένα οὐκ ἔστι ἑνὶ ὀνόματι εἰπεῖν, [6] ὁκοῖα τὰ ὀστέα ἀποστήσεται. Τὰ μὲν γὰρ διὰ σμικρότητα, τὰ δὲ διὰ [7] τὸ ἐπ' ἄκρου ἔχεσθαι, θᾶσσον ἀφίσταται· τὰ δὲ, διὰ τὸ μὴ ἀφίστασθαι, ἀλλὰ λεπιδοῦσθαι καταξηρανθέντα καὶ σαπρὰ [8] γενόμενα· πρὸς δὲ τούτοισι διαφέρει [9] τι καὶ ἰητρείη ἰητρείης. Ὡς μὲν οὖν τὸ ἐπίπαν τάχιστα τούτων ὀστέα ἀφίσταται, ὧν τάχισται μὲν αἱ ἐκπυήσιες, τάχισται δὲ καὶ κάλλισται αἱ σαρκοφυΐαι· καὶ γὰρ [10] αἱ ὑποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν, αὗται [11] μετεωρίζουσι τὰ ὀστέα ὡς ἐπὶ τὸ πουλύ. [12] Ὅλος μὴν ὁ κύκλος τοῦ ὀστέου ἢν ἐν τεσσαράκοντα ἡμέρῃσι ἀποστῇ, καλῶς ἀποστή-

ad ea curandi ratio accommodari debeat, iam est expositum. Ac si quidem discessura ossa speraveris, in his omnibus deligatio ex linteis, quo dixi modo, ut plurimum a mediis orsa instituenda est, velut quae ex duobus initiis primum fascia circumdatur. Ulceris autem forma in considerationem adhibenda est, quo quam minime hiantibus ac diductis labris sub vinculo exsistat; interdum enim accommodate vinculum ad dextram ducitur, interdum vero ad sinistram, aliis etiam ex duobus initiis ortum habet.

34. At quae suis sedibus ossa restitui non potuerunt, ea discessionem esse factura nosse convenit, nec non quae prorsus carne nudata sunt. Nudantur vero quibusdam parte superiore, nonnullis quoque in orbem quoquoversus carnes emoriuntur. Et nonnullis quidem ex olim facto vulnere ossa quaedam cariem experta sunt, aliis vero minime et his quidem magis, illis autem minus, ac partim quidem parva, partim etiam magna. Ob relatas igitur causas uno verbo explicari non potest, quo tempore ossa secessionem sint factura. Quaedam enim ob parvitatem, nonnulla etiam quod in summo contineantur, celerius discedunt. Alia vero minime, verum arefacta et carie tacta desquamantur. Ad haec etiam multum inter se curandi rationes differunt. His igitur in totum celerrime ossa abscedunt, quibus citissime pus coit, celerrimeque etiam atque optime caro producitur. Quae enim in laesa parte caro subnascitur, ea fere in sublime ossa attollit. Totus tamen testae ossis ambitus, si quadraginta diebus discessionem facit, recte abscedere existi-

[1] τοῦ ὡς χρή. — [2] ὡς ἔφην τῷ τρόπῳ. — [3] ἐπί. — [4] ὑποδεῖται. — [5] ξύντροφον ἔσται. — [6] ὁκότε. — [7] τοῦ. — [8] γινόμενα. — [9] τε om. — [10] αἵ δε. [11] μετεωρίζουσαι. — [12] ὅμως.

tographiae ortum debere: nempe ὡς χρή et οἷς χρή scripturae ansam praebuit.

χρὴ δὲ — ἀρχέων.] χρὴ δὲ καί ex edd. antt., plerisque codd., Gal., Bosq., Littr., vulgo om.; — ὀστέα ἀποστήσεσθαι omm. mss. 7., Bosq.; — ante τῷ vulgo ὡς ἔφην, cf. lectt. Voss., ὡς ἔφην omm. B. C. M. N., Littr.; — ἀπὸ δύο B. M. N. Bosq., ἐπὶ δύο vulg.; — ξύντροφον ἔσται mss. 8. apud Littr., Bosq.; — δ' ἐπ' ἀρ. D.

34. ὁκόσα — μεγάλα.] ταῦτα αὐτά vulgo, sed B. M. N. ταῦτα sine αὐτά ferunt; — κύκλωθεν vulgo, κύκλοθεν C.; — περιθνήσκουσι B. M. N.; — καὶ τῶν δ' οὔ J.; — τῶν δὲ ἧσσον, τῶν δὲ ἧσσω nonnulla mss.

διὰ — ἀποστήσεται.] γοῦν J.; — ὀνόματι ἑνί C.

τὰ μὲν γὰρ — ἰητρείης.] σμικρὰ γινόμενα mss. 6. apud Littréum; διαφέρει H. M. N. Littr., διαφέρει τε vulg.

ὡς μὲν οὖν — ἐπὶ τὸ πουλύ.] ἀφίστανται non pauci codd.; — ἀποφυόμεναι Gal., mss. 7.

ὅλος — δ' ἄλλως.] ὅμως, uti V., cod. Sev., nonnulli

σεται· ἔνια γὰρ ἐς ἑξήκοντα ἡμέρας ἀφικνεῖται, [1] ἢ καὶ πλείους· τὰ μὲν γὰρ [2] ἀραιότερα τῶν ὀστέων θᾶσσον ἀφίσταται· τὰ δὲ στερεώτερα, βραδύτερον· τὰ δὲ ἄλλα τὰ μείω πολλὸν ἐνδοτέρω, ἄλλα δ' ἄλλως. Ἀποπρίειν δ' ὀστέον ἐξέχον ἐπὶ τῶνδε τῶν προφασίων χρή, [3] ἢν μὴ δύνῃ ἐμβάλλειν, μικροῦ δέ τινος δοκέῃ δεῖν παρελθεῖν, καὶ οἷόν τε ᾖ παραιρεθῆναι· ἤν τε ἀσηρὸν ᾖ καὶ θραῦόν τι τῶν σαρκίων, καὶ δυσθεσίην παρέχῃ, ψιλὸν δὲ τυγχάνῃ ἐόν, καὶ τὸ τοιοῦτον ἀφαιρέειν χρή. Τὸ δ' ἄλλο οὐδὲν μέγα διαφέρει, οὔτε ἀποπρῖσαι, οὔτε μὴ ἀποπρῖσαι. Σαφέως γὰρ εἰδέναι χρή, ὅτι ὀστέα, ὅσα τελέως στερέεται τῶν σαρκῶν καὶ ἐπιξηραίνεται, [4] πάντα τελέως ἀποστήσεται. Ὅσα δὲ ἀπολεπιδοῦσθαι μέλλει, ταῦτα οὐ χρὴ ἀποπρίειν· τεκμαίρεσθαι δὲ χρὴ ἀπὸ τῶν τεταγμένων σημείων τὰ τελέως ἀποστησόμενα.

mandus est, cum tamen quaedam sexagesimum et ultra attingant. Rariora quidem certe ossa citius, solidiora tardius, quaeque etiam minora sunt, multum infra hoc spatium atque alia aliter discedunt. His autem de causis os eminens praecidi debet, si in sedem suam compelli nequit, ac tantum non reponi per se videatur, si detrahi queat, — si noxium fuerit et carnem aliqua ex parte vulneret, repositionisque molestiam afferat, et denudatum sit. Reliqua praecidantur nec ne non multum refert. Prorsus enim constat quae carne in totum privantur et arescunt, ea penitus quoque discessionem esse factura. At quae in squamas resolvi sperantur, ea praecidi non debent. Ex propositis autem indiciis coniiciendum est, quaenam penitus discessionem factura sint.

λε'. Ἰητρεύειν δὲ τοὺς τοιούτους σπλήνεσι καὶ τῇ οἰνηρῇ ἰητρείῃ, ὥσπερ καὶ πρόσθεν γέγραπται [5] ἐπὶ τῶν ἀποστησομένων ὀστέων. Φυλάσσεσθαι δὲ χρὴ μὴ κάρτα ψυχροῖσι τέγγειν τὸν πρῶτον χρόνον· ῥιγέων γὰρ πυρετωδέων κίνδυνος· κίνδυνος δὲ καὶ σπασμῶν· προκαλέεται [6] γὰρ σπασμὸν τὰ ψυχρὰ, ποτὲ δὲ καὶ ἕλκη. Εἰδέναι δὲ χρὴ, [7] ὅτι ἀνάγκη βραχύτερα τὰ σώματα ταύτῃ γενέσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα καὶ παρηλλαγμένα [8] ἰητρεύεται καὶ οἷς ὅλος ὁ κύκλος τοῦ ὀστέου ἀπέστη.

35. Qui ita se habent curandi sunt per splenia et vini perfusionem, veluti ante scriptum est de ossibus abscessuris. Cavendumque ne valde frigidis per exordia perfundantur, horroris enim cum febre nervorumque distentionis metus impendet. Frigida namque nervorum distentionem accersunt, quandoque vero etiam exulcerant. Nosse autem convenit illic brevius necessario membrum fieri, ubi utrumque os fractum et aliud super aliud excedens curatum fuerit, cuique totus etiam testae ossis ambitus discesserit.

λς'. [9] Ὅσοισι δὲ μηροῦ ὀστέον ἢ βραχίονος ἐξέσχε, οὗτοι οὐ μάλα περιγίγνονται. Τὰ γὰρ ὀστέα μεγάλα καὶ πολυμύελα καὶ πολ-

36. At quibus femoris aut brachii os eminens est, ii aegre supersunt. Nam cum ossa grandiora sunt et medullosa, tum vero multi et

[1] ἢ καὶ πλείους om. — [2] ἀραιότατα. — [3] ὡς μὴ δ. — [4] ὅτι πάντα. — [5] ἐπί om. — [6] γὰρ αἰεὶ σπ. — [7] ὅτι περ. — [8] ἰητρεύηται. — [9] ὅσον.

Parr.; — μέν vulgo, μήν edd. antt., mss. multa, Littr.; — ἢ καὶ πλείους B. M. N., Littr., vulgo om.; — ἀφίστανται nonnulla mss.; — ἄλλα ἄλλως C.

ἀποπρίειν — χρή.] δὲ ὀστέον M. N.; — ὡς pro ἤν cod. Sev., uti V.; — δύνηται vulgo, δύνῃ de meo; — αὐτῷ δοκέῃ ceteri, αὐτῷ abieci; — δυσθεσίην B. M. N., Littr., δυσαισθησίην vulg.; — veram lectionem esse δυσθεσίην patet sponte e rerum nexu; firmatur insuper verbis § 38. δυσεμβολώτερα δὲ καὶ δυσθετώτερα; — ψιλόν τε M. N.

σαφέως — ἀποστήσεται.] σαφῶς B. M. N.; — ὅσα ὀστέα J.; — στερέεται vulg., στέρεται M. N., Littr.; — ὅτι πάντα vulg., ὅτι omm. J. Bosq., Littr.

ὅσα — ἀποστησόμενα.] δεῖ pro χρή J.

35. ἰητρεύειν — ὀστέων.] ἐπί B. M. N., Bosq., Littr., vulgo om., uti in V.

Φυλάσσεσθαι — ἕλκη.] δέ ante χρή om. C.; — καταψύχροισι vulg., in qua latet κάρτα ψυχροῖσι, solum ψυχροῖσι mss. 8., Bosq., Littr.; — δέ ante καὶ σπ. om. C.; — ἀεὶ σπασμόν vulg., sed ἀεί omm. B. C. M. N. Bosq., Littr.; — ποτὶ δέ vulg., ποτὲ δέ Foës. Latine. Vid. § 38. ποτὲ δὲ καὶ ἐς ἰγνύην.

εἰδέναι — ἀπέστη.] ὅτι περ vulg., περ omm. B. M. N., Bosq., Littr.; — ὅτι τὰ ἀνάγκη βραχ. σωμ. C.; — ταῦτα B. Bosq. pro ταύτῃ; — γενέσθαι vulg., γίνεσθαι M. N. Littr.; — ὅλος mss. 10., Bosq., ὅλως καί vulg.

36. τὰ γὰρ — ἐπιμελαίνονται.] καὶ νεῦρα Ald., N.,

λὰ καὶ ἐπίκαιρα τὰ ξυντιτρωσκόμενα νεῦρα καὶ μύες καὶ φλέβες· καὶ ἢν μὲν ἐμβάλῃς, σπασμοὶ φιλέουσι ἐπιγίγνεσθαι, μὴ ἐμβληθεῖσι δὲ πυρετοὶ ὀξέες καὶ ἐπίχολοι καὶ λυγγώδεες, καὶ ἐπιμελαίνονται. Περιγίγνονται δὲ οὐχ ἧσσον, οἷσι ἂν μὴ ἐμβληθῇ, μηδὲ [1] πειρηθῇ ἐμβάλλεσθαι· ἔτι δὲ μᾶλλον περιγίγνονται, οἷσι τὸ κάτω μέρος τοῦ ὀστέου ἐξέσχε, ἢ οἷσι τὸ ἄνω· [2] περιγένοιντο δ' ἂν καὶ οἷσι ἂν ἐμβληθῇ, σπανίως γε μήν. Μελέται γὰρ μελετέων μέγα διαφέρουσι καὶ φύσιες φυσίων τῶν σωμάτων εἰς εὐφορίην. Διαφέρει δὲ μέγα καὶ ἢν ἔσω τοῦ βραχίονος καὶ τοῦ μηροῦ τὰ ὀστέα ἐξέχῃ· πολλαὶ γὰρ καὶ ἐπίκαιροι κατατάσιες φλεβῶν ἐν τῷ ἔσω μέρεϊ, ὧν ἔνιαι τιτρωσκόμεναι σφάγιαί εἰσι· εἰσὶ δὲ καὶ ἐν τῷ ἔξω μέρεϊ, ἧσσον δέ. Ἐν τοῖσι οὖν τοιούτοισι τρώμασι τοὺς μὲν κινδύνους οὐ χρὴ λήθειν, ὁκοῖοί τινές εἰσι καὶ προλέγειν χρὴ πρὸς τοὺς καιρούς. Εἰ δὲ ἀναγκάζοιο μὲν ἐμβάλλειν, ἐλπίζοις δὲ ἐμβαλεῖν, καὶ μὴ πολλὴ ἡ παράλλαξις εἴη τοῦ ὀστέου καὶ μὴ ξυνδεδραμήκοιεν οἱ μύες, — φιλέουσι γὰρ [3] ξυνθεῖν, — ἡ μόχλευσις καὶ τούτοισι μετὰ τῆς κατατάσιος εὖ ἂν [4] ξυλλαμβάνοιτο.

λζ'. [5] Ἐμβαλόντα δὲ ἐλλέβορον μαλθακὸν πῖσαι χρὴ αὐθημερὸν, ἢν αὐθημερὸν ἐμβληθῇ· εἰ δὲ μὴ, οὐδ' [6] ἐγχειρέειν χρή. Τὸ δὲ ἕλκος ἰητρεύειν χρὴ, [7] οἵη περ κεφαλῆς ὀστέα κατεηγυίης καὶ ψυχρὸν μηδὲν προσφέρειν· σιτίου δὲ στερῆσαι τελέως· καὶ ἢν μὲν πικρόχολος φύσι ᾖ, ὀξύγλυκυ εὐῶδες ὀλίγον ἐπὶ ὕδωρ ἐπιστάζοντα, τούτῳ διαιτᾶν· ἢν δὲ [8] μὴ πικρόχολος ᾖ, ὕδατι πόματι χρῆσθαι· καὶ

insignes nervi simul vulnerantur et musculi et venae. Ac si quidem reposueris, nervorum distentiones supervenire consueverunt, non repositis autem febres acutae, biliosae cum singultu et nigritie. Nihilo autem minus supersunt quibus neque in suas sedes sunt condita, neque ut reconderentur tentatum est. Potius vero supersunt quibus ossis pars inferior quam quibus superior eminet. Superesse etiam possunt, sed raro, quibus intro sunt condita. Curationes enim et corporum naturae, quod ad ferendi levitatem attinet, longe aliis aliae praestant. Multum quoque refert an interiore parte brachii ac femoris ossa emineant. Multae enim et insignes venarum productiones per interiorem partem feruntur, quarum nonnullae, si vulnerentur, hominem iugulant. Sunt et exteriore parte quaedam, verum pauciores. Quare in huiusmodi casibus quodnam periculum impendeat, non est ignorandum, idque in tempore praedicendum. Quodsi in suam sedem compellere cogeris, idque te consequi posse speres, neque multum ossa inter se cesserunt musculique in se ipsos non contrahuntur, quod saepe fieri solet, his per vectem molitio cum distentione bene contulerit.

37. Ubi restitueris, veratrum molle eodem die propinare convenit, si eodem die restitueris, alioqui ne tentare quidem oportet. Ulcus autem eodem modo quo capitis ossa fracta curandum est, neque frigidi quidquam admovendum, ac cibo penitus interdicendum. Ac si quidem aeger natura biliosus fuerit, nonnihil mulsae odoratae in aquam instillando eo victu sustinendus est. Si vero bile non abundet,

[1] πειραθῇ. — [2] περιγίνονται. — [3] ξυνδεῖν. — [4] ἐμβάλλοιτο. — [5] ἐμβάλλοντα. — [6] ἐπιχειρέειν. — [7] οἵη περ. — [8] καί pro μή.

Merc. in marg.; — ἐμβάλλῃς et ἐμβάλλεις codd.; de meo aoristum dedi; — λιγνυώδεες vulgo, λυγγώδεες pleraque mss., Foës. Latine, Bosq., Littr.

περιγίγνονται — μήν.] οἷσι μὴ ἐμβληθεῖσι B. M. N., ego ἄν de meo dedi; — περιγένοιντο δ' ἄν M. N. Littr., περιγίνονται δ' ἄν vulg.; — vulgo ἐμβληθείη, sed ἐμβληθῇ mss. 7., Bosq., Littr.; equidem iterum ἄν adposui ante ἐμβληθῇ.

διαφέρει — ἧσσον δέ.] καὶ ἐν τῷ ἔσω μ. D. H. K.

ἐν τοῖσι — καιρούς.] ὁκοῖαι B. N., οἰκεῖοι Gal.

Ἰητρεύειν μὲν οὖν χρὴ διὰ πάσης τῆς ἰητρείης τὰ ἕλκεα, μηδέποτε ἰσχυρῶς ἀνατείνοντα τὸν βραχίονα, ἀλλὰ μετρίως, ὅσον τῶν ἑλκέων ἐπιμελείης εἵνεκα· ἧσσον μὲν γὰρ [1] ἂν διαψύχοιτο, ἧσσον δ' ἂν ἐκπλίσσοιτο, ἧσσον δ' ἂν αἱμορραγοίη, ἧσσον [2] δ' ἂν σπασμὸς ἐπιγένοιτο. Ὅταν δὲ δὴ καθαρὰ γένηται τὰ ἕλκεα, ἐς ὠτειλάς τε ἴῃ, τότε δὴ καὶ παντάπασι χρὴ αἰεὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσδεδέσθαι καὶ νύκτα καὶ ἡμέρην· ἀτὰρ καὶ ὅταν ὑγιέα γένηται τὰ ἕλκεα, ὁμοίως ἐπὶ πολλὸν χρόνον χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς πλευράς· οὕτω γὰρ ἂν μάλιστα ἐπουλωθείη καὶ ἀπολημφθείη ἡ εὐρυχωρίη, καθ' ἣν μάλιστα ὀλισθάνει ὁ βραχίων.

ξ'. Ὅσοισι δ' ἂν ὦμος καταπορηθῇ ἐμβληθῆναι, ἢν μὲν ἔτι ἐν αὐξήσι ἔωσι, οὐκ ἐθέλει ξυναύξεσθαι τὸ ὀστέον τοῦ βραχίονος ὁμοίως τῷ ὑγιέϊ, ἀλλὰ αὔξεται μὲν ἐπί τι, βραχύτερον [3] δὲ τοῦ ἑτέρου [4] γίγνεται καὶ οἱ καλεόμενοι δὲ ἐκ γενεῆς γαλιάγκωνες διὰ δισσὰς ξυμφορὰς ταύτας γίγνονται, [5] ἤν τέ τι τοιοῦτον αὐτοὺς ἐξάρθρημα καταλάβῃ ἐν γαστρὶ ἐόντας, διά τε ἄλλην ξυμφορὴν, περὶ ἧς ὕστερόν ποτε γεγράψεται· ἀτὰρ καὶ οἷσι ἔτι νηπίοισι ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ ὑποβρύχιοι ἐκπυήσιες γίγνονται καὶ οὗτοι πάντες γαλιάγκωνες γίγνονται· καὶ ἤν τε τμηθῶσι, ἤν τε καυθῶσι, ἤν τε αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρὴ ὅτι ταῦτα οὕτως ἔχει. Χρέεσθαι μέντοι τῇ χειρὶ δυνατώτατοί εἰσι, οἳ ἐκ γε-

cera et ad cicatricem pervenerint, tunc sane omnino brachium die ac nocte ad costas semper alligatum esse oportet. Quin etiam sanatis ulceribus eodem modo longo tempore brachium ad latus alligandum est. Hac enim potissimum ratione cicatrice obducetur et contrahetur laxitas ea, in quam maxime brachium prolabitur.

60. At quibus humerus in suum locum recondi minime potuit, si quidem adhuc crescunt, os brachii non aeque ac integrum augeri consuevit, verum ut aliqua ex parte augeatur, altero tamen brevius evadit. Idem vero experiuntur qui a primo ortu *γαλιάγκωνες* dicuntur et duplici ex noxa tales evadunt, sive quod in utero tali luxatione teneantur, sive aliam ob noxam postea scribendam. Quin etiam quibus adhuc tenellis circa brachii caput profundae alteque demersae suppurationes fiunt, ii quoque omnes iusto brevius et tenuius brachium habent et *γαλιάγκωνες* evadunt et sive secentur, sive urantur, sive iis pus sponte erumpat, rem ita se habere compertum est. Manu tamen validissime uti possunt, qui ab ortu sunt *γαλιάγκωνες*, nec tamen illi quoque brachium iuxta

[1] ἄν om. — [2] δ' ἄν om. — [3] δέ om. — [4] γίνηται. — [5] ἤν γε τοιοῦτον.

Littr. recepit ἔξωθεν ex C., nempe ὄπισθεν perperam in plerisque apographis legi docet Gal. in comm. p. 388.; — τε pro δ' M. N., fortasse e Gal. comm.; — μή pro μηδέ B. E. G. M. N.; — ταύτην κάρτα C.; — τό ante πῦρ om. N., sed rest.

ἰητρεύειν — ἐπιγένοιτο.] ἀνατείνοντα Littr. cum Gal., Ald., mss. multis. ἀνατείναντα vulg.; — ἕνεκα C.; — post διαψύχοιτο legi solet ξυμφέρει γὰρ πάντα τὰ καύματα σκέπειν ὡς καὶ (καί omm. C. M. N. Littr.) ἐπιεικέως (sic Ionice Littr. ex B. M. N., ἐπιεικῶς vulg.) ἰητρεύεσθαι. Equidem emblema alienum reiicio; eiusdem formae alterum eiiciendum erit infra § 79., ubi vide adnn. Tandem ἐκπλήσσοιτο libri; emendavit Littr.

ὅταν — βραχίων.] ἀτὰρ ὁκόταν C.; — ἐπὶ πολλὸν χρόνον B. M. N., ἐπὶ πολὺν χρ. vulg.; — ἀπουλωθείη H. al. m., O.; — ἀπολειφθείη vulg., ἀποληφθείη e multis mss. Littr.; — ἡ ante εὐρυχ. omm. M. et N., ubi deletur.

60. ὅσοισι — ἔχει.] οἷσι N., in marg. tamen ὅσοισι; — tum ἀλλ' αὔξεται M.; — δέ omm. J. U., uti Voss.; — δέ ante ἐκ γενεῆς omm. E. H.; — διὰ δισσὰς ξυμφορὰς γίνονται C.; — ἤν τέ τι C. Littr., ἤν γέ τι vulg.; — ἐξαρθρ. αὐτούς C.; — ἐν τῇ γαστρί J. K. M. N. U. Voss., Littr., vulgo ἐν γαστρί, quod praestare puto; — διά τε ἑτέρην ξυμφ. B. M. N.; — βραχεῖαι καὶ ὑποβρύχιοι C., καί vero h. l. om. U.; — τοῦθ' οὕτως B. M. N.

χρέεσθαι — χεῖρα.] δυνατώτεροι N. mutatum in superlativum.

νεῆς γαλιάγκωνες, οὐ μὴν οὐδὲ ἐκεῖνοί γε ἀνατεῖναι παρὰ τὸ οὖς τὸν βραχίονα ἐκτανύσαντες τὸν ἀγκῶνα δύνανται, ἀλλὰ πολὺ ἐνδεεστέρως ἢ τὴν ὑγιέα χεῖρα. Οἷσι δ' ἂν ἤδη ἀνδράσι ἐοῦσι ἐκπέσῃ ὁ ὦμος καὶ μὴ ἐμβληθῇ, ἡ ἐπωμὶς ἀσαρκοτέρη γίγνεται καὶ ἡ ἕξις λεπτὴ κατὰ τοῦτο [1]τὸ μέρος· ὅταν μέντοι ὀδυνώμενοι παύσωνται, ὁκόσα μὲν δεῖ ἐργάζεσθαι ἐπάραντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων ἐς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύνανται ἅπαντα ὁμοίως ἐργάζεσθαι· ὁκόσα δὲ παραφέροντας τὸν βραχίονα παρὰ τὰς πλευρὰς, ἢ ἐς τοὐπίσω, ἢ ἐς τοὔμπροσθεν, [2]ταῦτα δὴ δύνανται ἐργάζεσθαι· καὶ γὰρ ἂν ἀρίδα ἑλκύσαιεν καὶ πρίονα, καὶ πελεκήσαιεν ἂν, καὶ σκάψαιεν ἂν, μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα καὶ τἄλλα, ὅσα ἐκ τῶν τοιούτων σχημάτων ἐργάζονται.

aurem attollere extento cubiti gibbo valent, sed multo minus quam manum integram. At ubi iam adultis viris humerus prolapsus non fuerit restitutus, iis gracilis superior humeri pars redditur, eaque parte habitus tenuatur. Neque tamen ubi dolor conquieverit, ea quidem omnia, quae requirunt ut sublatum cubiti gibbum a costis ad latera adducant, similiter praestare possunt. Quae vero brachio ad latus vel in priorem partem vel in posteriorem adducto effici possunt, ad ea tractanda valent. Nam et scobinam et serram trahere, securi item caedere et ligone fodere queunt, dum ne nimium cubiti gibbum attollant, ad aliaque omnia, quae huiusmodi habitus postulat, idonei habentur.

ξα'. Ὅσοισι δ' ἂν τὸ ἀκρώμιον ἀποσπασθῇ, τούτοισι φαίνεται ἐξέχον τὸ ὀστέον τὸ ἀπεσπασμένον· ἔστι δὲ τοῦτο ὁ ξύνδεσμος τῆς κληῖδος καὶ τῆς ὠμοπλάτης· ἑτεροίη γὰρ [3]ἡ φύσις ἀνθρώπου ταύτῃ ἢ τῶν ἄλλων ζῴων. Οἱ οὖν ἰητροὶ ἐξαπατέονται μάλιστα ἐν τούτῳ τῷ τρώματι, — ἅτε γὰρ ἀνασχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος, ἡ ἐπωμὶς φαίνεται χαμαιζήλη καὶ κοίλη, — ὥστε καὶ προμηθέεσθαι τῶν ὤμων ὡς ἐκπεπτωκότων· πολλοὺς οὖν οἶδα ἰητροὺς, τἄλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο, ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους, οἰόμενοι ἐκπεπτωκέναι, καὶ οὐ πρόσθεν παύονται πρὶν ἢ ἀπογνῶναι ἢ ἀπορῆσαι, δοκέοντες αὐτοὶ σφέας αὐτοὺς [4]ἐμβαλέειν τὸν ὦμον.

61. At quibus summus humerus avulsus est, iis os avulsum exstare cernitur. Est autem id iuguli et lati scapularum ossis ligamentum. Hac enim in parte hominis a ceterorum animantium natura distat. Medici igitur hoc in casu plurimum falli consueverunt, — avulso enim osse exstante superior humeri pars depressa et cava conspicitur, — ita ut quasi humeris prolapsis curationem instituant. Equidem complures novi medicos, alioqui minime contemnendos, qui huiusmodi humeros excidisse rati dum restituere conarentur, magnam noxam aegris inferrent, neque prius desisterent quam vel spe vel opinione reponendi humeri frustrati essent, putantes se humerum re ipsa reposuisse. His quidem ea est curatio, quae ceteris huius-

[1] τὸ μέρος om. — [2] ταῦτα δύνανται. — [3] ἡ om. — [4] ἐμβαλέειν.

οἷσι δ' ἂν — ἐργάζονται.] ἡ ἕξις λεπτὴ ἡ κατὰ τοῦτο vulgo, sed ἡ ante κατά omm. B. M. N.. quos sequor, ἤ pro ἡ fert C., δή pro ἡ J. et δή ante ἡ G.; — τὸ μέρος ex B. N. Littr.; vulgo om.; — ὁκόσα δὲ δεῖ ἐργάζεσθαι vulgo, ὁκόσα δέ om. B., sed M. N. omm. δεῖ ἐργάζεσθαι, quod eorum fide eieci; — ταῦτα δὲ δύνανται ceteri fere, malo δή quam δέ scribere; — πελεκίσαιεν Gal.; — ἐκ ante τῶν τοιούτων Parr. 7. apud Littr., Voss., vulgo om.

61. ὅσοισι — ζῴων.] οἷσι N., in marg. ὅσοισι; — ἀπεσπασμ. revocavit Littr. ex cdd. antt. et multis codd., ἀνεσπασμ. vulg.; — ὅσον δεσμός Ald. pro ὁ ξυνδ.; — ἡ ante φύσις B. M. N., Littr., vulgo om.

οἱ οὖν ἰητροὶ — ὦμον.] Vulgo μάλιστα ἐξαπ., sequor ordinem verborum, qui in B. M. N. habetur; — καί ante προμηθέεσθαι om. C.; — τῶν ἐκπεπτωκότων vulg., Littr. ὡς ἐκπεπτωκότων proponit, quod recipiendum et a Foësio Latine expressum est, vulgata sensu idoneo destituitur; — οἱ πολλοί C.; — οὕτως οἰόμενοι ceteri, abieci otiosum οὕτως; cogitavi de αὐτούς scribendo pro οὕτως, sed malui οὕτως abigere; — δοκέοντας vulg., δοκέοντες Parr. 6., Littr., Marc.; — ἐμβάλλειν B. M. N., quod recepit Littr., sed futurum praestat, quod vulgo scribitur.

Τούτοισι ἰητρείη μὲν, ἥ περ καὶ τοῖσι ἄλλοισι τοῖσι τοιούτοισι, κηρωτὴ καὶ σπλῆνες καὶ ὀθόνια, καὶ ἐπίδεσις ἡ αὐτή. Καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρὴ καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους καὶ πιέζειν ταύτῃ μάλιστα καὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσηρτημένον ἐς τὸ ἄνω μέρος ἔχειν· οὕτω γὰρ ἂν μάλιστα πλησιάζοι τὸ ἀπεσπασμένον. Τάδε μὴν εὖ εἰδέναι χρὴ καὶ προλέγειν ὡς ἀσφαλέα, εἰ ἄλλως ἐθέλοις, ὅτι βλάβη μὲν οὐδεμία, οὔτε σμικρὴ, οὔτε μεγάλη τῷ ὤμῳ γίγνεται ἀπὸ [1]τούτου τοῦ τρώματος, αἴσχιον δὲ τὸ χωρίον· οὐδὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυνθείη, ὥσπερ ἐπεφύκεε, ἀλλ' ἀνάγκη πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. Οὐδὲ γὰρ ἄλλο ὀστέον οὐδὲν ἐς [2]τωὐτὸ καθίσταται, ὅ τι ἂν κοινωνέον [3]ἔῃ ἑτέρῳ ὀστέῳ καὶ προσπεφυκὸς ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. Ἀνώδυνον δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσι ἡμέρῃσι γίγνεται, ἢν χρηστῶς ἐπιδέηται.

modi, ceratum, splenia, fasciae et eadem vinciendi ratio. Os tamen, quod supereminet, deorsum urgendum est, eique plurima splenia admovenda et hac parte maxime apprimenda, brachiumque lateri annexum superiore parte detinendum. Hac enim ratione os avulsum proxime adduci poterit. Haec autem probe nosse et si tibi alioqui videatur, certo praedicere licet: hoc casu nullum quidem neque parvum, neque magnum humero detrimentum accidere, locum tamen deformem reddi. Numquam enim os illud in pristinam sedem, quale natura esse consueverat, restituitur, sed plus aut minus superiore parte turgescere necesse est. Nam neque aliud os ullum, quod cum altero communionem et cohaerentiam habet, ubi a naturali sede avulsum fuerit, in pristinum locum revertitur. Summus vero humerus, si probe vinciatur, paucis diebus dolore liberatur.

ξβ'. Κληῒς δὲ καταγεῖσα, ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ, [4]εὐιητοτέρη ἐστί· ἢν δὲ παραμηκέως, δυσιητοτέρη. Τἀναντία δὲ τούτοισί ἐστι ἢ ὡς ἄν τις οἴοιτο· τὴν μὲν [5]γὰρ ἀτρεκέως ἀποκαυλισθεῖσαν προσαναγκάσειε [6]ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν· καὶ [7]γὰρ εἰ πάνυ προμηθηθείη, [8]τὸ ἀνωτέρω κατωτέρω ἂν ποιήσειε, σχήμασί τε ἐπιτηδείοισι καὶ ἐπιδέσι ἁρμοζούσῃ· εἰ δὲ μὴ τελέως ἱδρυνθείη, ἀλλ' οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου οὐ κάρτα ὀξὺ γίγνεται. Ὧν δὲ ἂν παρά-

62. Iugulum si quidem ex toto transversum fractum fuerit, facilius curatur, sin per longitudinem, aegrius. Contraque accidit quam quis existimet. Quod enim ex toto transversum fractum est, citius quis in suam sedem compellere et, si diligenter prospexerit atque idoneum habitum convenientemque deligationem adhibuerit, quod supra est infra adducere possit. Atque etiamsi prorsus in suam sedem non collocetur, non tamen eminens ossis pars admodum acuta redditur. Quibus vero oblongum

[1] τούτου abest. — [2] τὸ αὐτό. — [3] ἐστίν. — [4] εὐιητότερον. — [5] γάρ om. — [6] μᾶλλον ἄν τις. — [7] γάρ om. — [8] τῷ.

τούτοισι — αὐτή.] καὶ ἐπίδεσις τοιαύτη vulgo, sed ἡ ἐπιδ. τ. ferunt B., H. al. m., N., in quo obliteratur; et Marc.; — mihi dandum videtur καὶ ἐπίδεσις ἡ αὐτή, quod Foës. Latine expressit.

καταναγκάζειν — ἀπεσπασμένον.] τιθέναι κατὰ ταῦτα K.; — ταῦτα μάλιστα Gal.; — πλησιάζοιτο vulg., πλησιάζοι τό mss. 12. apud Littr., Marc., Voss.; recepit Littr., quem sequor; — rursus ἀπεσπασμ. ex edd. antt. et codicum vi revocavit Littr. pro vulg. ἀνεσπασμ.

τάδε μὴν — ἄνω.] χρὴ εἰδ. B. M. N.; — ἐθέλῃς iidem; — ἱδρυθείη Ald., mss. 7. apud Littr. et Marc.; — vulgo ἐπεφύκει, sed ἐπεφύκεεν mss. 13. apud Littr., Marc., Voss., ubi tamen ἐπαφύκεεν; recepit Littr.; πέφυκε Gal., ἐπέφυκεν vulg.; — ἀνάγκης E.

οὐδὲ — φύσιος.] τωὐτό B. M., Littr.; — vulgatam e V. notavi; — ἔῃ M. N., Littr., τι ἦ C., vulgatam e V. notavi; ἂν κοινονέων ἢ ἑτέρωι Marc.

ἀνώδυνον — ἐπιδέηται.] τε pro δέ M. N.; — γιν. ἐν ὀλιγ. ἡμ. M. N.

62. τἀναντία — γίγνεται.] τἀναντία δὲ τούτων cod. Serv., Voss.; — προσαναγκάζοι superscripto aoristo N.; — καὶ γὰρ εἰ solus N., sed γάρ lineola traïectum; unde recepit Littr.; — Marc. hic habet καὶ ἡ πάνυ προμηθείη, e quo manus sec. superscripto θυ effecit προθυμηθείη; — ἱδρυθείη Ald., Parr. aliquot, Marc.; — ὀξύνεται pro ὀξὺ γίγν. C.; — γίνεται vulgo, γίγνεται M. N.

ὧν δὲ — κάρτα.] δ' ἂν Bas., Gal., Parr. 10.; — καταγῇ

μηκες τὸ ὀστέον καταγῇ, ἰκέλη ἡ ξυμφορὴ γίγνεται τοῖσι ὀστέοισι τοῖσι ἀπεσπασμένοισι, περὶ ὧν πρόσθεν γέγραπται· οὔτε γὰρ ἱδρυνθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ὄκρις τοῦ ὀστέου ὀξεῖα γίγνεται κάρτα. Τὸ μὲν οὖν ξύμπαν εἰδέναι χρὴ ὅτι βλάβη οὐδεμία τῷ ὤμῳ, οὐδὲ τῷ ἄλλῳ σώματι γίγνεται διὰ τὴν κάτηξιν τῆς κληῗδος, ἢν μὴ ἐπισφακελίσῃ· ὀλιγάκις δὲ τοῦτο γίγνεται. Αἶσχός γε μὴν προσγίγνεται περὶ τὴν κάτηξιν τῆς κληῗδος καὶ τούτοισι τὸ πρῶτον αἴσχιστον, ἔπειτα μὴν ἐπὶ ἧσσον γίγνεται. Ξυμφύεται δὲ ταχέως κληῒς καὶ τἄλλα πάντα, ὅσα [1]χαῦνά ἐστι· ταχεῖαν γὰρ τὴν ἐπιπώρωσιν ποιέεται τὰ τοιαῦτα. Ὅταν μὲν οὖν νεωστὶ καταγῇ, οἱ τετρωμένοι σπουδάζουσι, οἰόμενοι μέζον τὸ κακὸν εἶναι, ἢ ὅσον ἐστί· οἵ τε ἰητροὶ προθυμέονται δῆθεν ὀρθῶς ἰῆσθαι· προϊόντος δὲ τοῦ χρόνου οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι, [2]οὐδὲ κωλυόμενοι [3]οὔτε ὁδοιπορίης, οὔτε ἐδωδῆς, καταμελέουσι· οἵ τε αὖ ἰητροί, ἅτε οὐ δυνάμενοι καλὰ τὰ χωρία ἀποδεικνύναι, [4]ἀποδιδράσκουσι καὶ οὐκ ἄχθονται τῇ ἀμελείῃ τῶν τετρωμένων· ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις ξυνταχύνεται. Ἐπιδέσιος μὲν οὖν τρόπος καθέστηκε παραπλήσιος τοῖσι πλείστοισι, καὶ κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσι ἰητρεύειν· καὶ τάδε δεῖ προσξυνιέναι καὶ μάλιστα ἐν τούτῳ τῷ χειρίσματι, ὅτι τούς τε σπλῆνας πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι καὶ τοῖσι ἐπιδέσμοισι πλείστοισι

os frangitur simile malum accidit iis, quibus ossa quaedam avulsa sunt, ut ante scriptum est. Ipsum siquidem secum ipso collocari non admodum potest, et eminens ossis summitas valde acuta redditur. Omnino certo scire convenit, nullam ex iugulo fracto neque humero neque reliquo corpori noxam afferri, nisi, quod raro accidit, praeterea siderari accidat. Ad iugulum tamen fractum difformitas accedit, idque primum turpissimum, deinde vero sensim minus turpe fit. Iugulum vero, ut et reliqua omnia ossa, quae laxa sunt, prompte coalescit. Talia namque callum celeriter obducunt. Ubi igitur recens est fractura, vulnerati malum re ipsa gravius esse rati, sollicitudinem adhibent et medici quoque rectam curandi rationem magno studio suscipiunt. Procedente vero tempore vulnerati, cum neque dolore tententur, neque aut cibum capere, aut iter facere prohibeantur, rem negligunt; itemque medici, cum locum pulchre sanatum exhibere nequeant, diffugientes laborantium incuriam non iniquo animo ferunt, interimque callus celeriter obducitur. Deligandi autem ratio eadem, quae plerisque adhibetur, curatioque cerato, spleniis et mollibus linteis instituitur. Ac praeter istam curationem inprimis in hac manuum tractatione providendum et insuper est animadvertendum, ut quam plurima splenia qua os exstat imponantur et plurimae fasciae ea praecipue parte adstringantur. Nonnulli vero iam solerter excogitarunt, ut plumbum aliquod grave

* [1] χοῦνα ὀστέα. — [2] οὔτε. — [3] οὔτε om. — [4] ὑπαποδιδράσκουσι.

recte C. O., κατεαγῇ cett.; talia non amplius noto; — πρόσθε M. N.; — ἱδρυθῆναι nonnulli Parr. et Marc.; — tum ἀκρίς vulgo, sed prima m. in C., M. N. Marc., Littr. ὀκρίς; — κάρτα γίνεται E.

τὸ μὲν — γίγνεται.] γίγν. rursus M. N., γίν. vulg.; — noto iterum, ut pateat non certum esse recentiores hosce γίνεσθαι per ν̄, non per γν̄ scripsisse.

αἶσχος — γίγνεται.] Post κληῖδος C.: ἢν μὴ ἐπισφακελίσῃ; — αἴσχιον ex emend. H. pro superlativo: — καὶ ἧσσον vulg., ἐπὶ ἧσσον Littr. e Gal., edd. antt., mss. multis; C. nec καί, neque ἐπί habet. — Littr. recte emendare videtur Galeni comm. (p. 406.) legendo βέλτιον ἦν εἰπεῖν ἐπὶ ἧσσον φαίνεται, quippe φαίνεται cum Galeni verbis congruit, non γίνεται; sed etiamsi fortasse Gal. φαίνεται apud Hipp. legerit, non tamen ab auctore aliud quid quam γίγνεται datum fuisse opinor.

ὅταν — ξυνταχύνεται.] προμηθεύοντας Parr. 5.; — οὐδὲ κωλ. B. M. N. Littr., οὔτε κωλ. vulg.; — οὔτε ante ὁδοιπ., uti V., omm. Parr. 6.; — τ' αὖ Parr. 6., οὖν pro αὖ Ald.; — καλά Parr. 12., Marc., Littr., κατά vulg.; — ὑπαποδιδρ. codd. 10. apud Littr., cf. lectt. Voss.; — ἐν τούτῳ τε nonnulli Parr.

ἐπιδέσιος — πιέζειν.] μέν omm. B. M. N.; — καί ante κηρωτῇ de meo adscripsi, quemadmodum Latine expressit Foës.; possis etiam κηρωτῇ δὲ καί κ. τ. λ. scribere; aliquid horum excidit e contextu librorum omnium; — ante καί addit vulg. καὶ τάδε δεῖ προσιητρεύειν, quae vocabula errore librarii nescio cuius nata omm. B. M. N., Littr.; — πλείστους om. C.; — χρὴ πιέζειν vulg., χρή omm. B. M. N. Littr.

καὶ μάλιστα κατὰ τοῦτο [1]πιέζειν. Εἰσὶ δὲ δή τινες, οἳ ἐπεσοφίσαντο ἤδη μολύβδιον βαρὺ προσεπικαταδεῖν, ὡς [2]καταναγκάζειν τὸ ὑπερέχον· ξυνιᾶσι μὲν οὖν ἴσως οὐδὲ οἱ ἁπλῶς ἐπιδέοντες· ἀτὰρ δὴ οὐδ' οὗτος ὁ τρόπος κληῗδος κατήξιός ἐστι· οὐ γὰρ δύνατον τὸ ὑπερέχον καταναγκάζεσθαι οὐδὲν, ὅ τι καὶ ἄξιον λόγου. Ἄλλοι δ' αὖ τινές εἰσι, οἳ καταμαθόντες τοῦτο, ὅτι [3]αὗται αἱ ἐπιδέσιες παράφοροί εἰσι καὶ οὐ κατὰ φύσιν καταναγκάζουσι τὰ ὑπερέχοντα, ἐπιδέουσι μὲν αὐτοὺς σπλήνεσι καὶ ὀθονίοισι χρώμενοι, ὥσπερ καὶ οἱ ἄλλοι· ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ, ᾗ εὐζωστότατος αὐτὸς ἑωυτοῦ ἐστι, ὅταν ἐπιθῶσι τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερέχοντα τοῦ κατήγματος, ἐξογκώσαντες ἐπὶ τὰ ἐξέχοντα, τὴν ἀρχὴν τοῦ ὀθονίου προσέδησαν [4]πρὸς τὸ ζῶσμα ἐκ τοῦ ἔμπροσθεν καὶ οὕτως ἐπιδέουσι ἐπὶ τὴν ἴξιν τῆς κληῗδος ἐπιτανύοντες ἐς τοὔπισθεν ἄγοντες· κἄπειτα περιβαλόντες περὶ τὸ ζῶσμα [5]ἐς τοὔμπροσθεν ἄγουσι καὶ αὖτις ἐς τοὔπισθεν. Οἱ δέ τινες οὐχὶ περὶ τὸ ζῶσμα περιβάλλουσι τὸ ὀθόνιον, ἀλλὰ [6]περὶ τὸ περίνεόν τε καὶ παρ' αὐτὴν τὴν ἕδρην καὶ παρὰ τὴν ἄκανθαν κυκλεύοντες τὸ ὀθόνιον οὕτω πιέζουσι [7]τὸ κάτηγμα. Ταῦτα [8]οὖν ἀπείρῳ μὲν ἀκοῦσαι φαίνεται ἐγγύς τι τοῦ κατὰ φύσιν εἶναι, χρεομένῳ δὲ ἄχρηστα· οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐδ' εἰ κατακέοιτό τις, καίτοι ἐγγυτάτω ἂν οὕτως· ἀλλ' ὅμως εἰ κατακείμενος ἢ τὸ σκέλος ξυγκάμψειε, ἢ αὐτὸς καμφθείη, πάντα ἂν τὰ ἐπι-

superalligaretur, quo deorsum cogeretur quod exstat. Ac neque forte prudenter se gerunt qui simpliciter deligant. Sed sane neque hic modus iugulo fracto est accommodatus. Neque enim quod eminet effatu memorabilem aliquam depressionem habere potest. Alii rursus intelligentes huiusmodi deligationes huc et illuc vitiose ferri, neque quae eminent in naturalem locum cogere, ipsos quidem devinciunt spleniis et linteis utentes perinde atque alii; verum fascia quadam homine accincto, qua parte aptissime cingi solet, spleniis ad fracturae eminentia adhibitis, ut ea parte extuberent, fasciae caput ad cingulum anteriore parte alligant, atque ita productum in iuguli directum vinculum in posteriorem partem agunt, deinde cingulo advolutum in anteriorem partem ducunt rursusque in posteriorem partem. Quidam vero fasciam cingulo non obvolvunt, sed ea ad interfemineum ipsamque sedem et iuxta spinam circumdata, eo modo fracturam comprimunt. Haec igitur ubi audiuntur, inexperto quidem prope ad id quod secundum naturam est accedere videntur, verum si quis ad usum accommodet, inutilia comperiet. Neque enim ullam unquam firmitatem habent, ne si quis decumbat quidem, quamquam sic proxime ad firmitatem accedant; verum si decumbens aut crus inflectat, aut ipse incurvetur, fasciae omnes movebuntur, et alioqui molesta est haec vinciendi ratio. Nam et sedes intercluditur et fasciae in hac loci angustia universae colliguntur. Quod vero attinet ad circumvolutionem

[1] χρὴ πιέζειν. — [2] καταναγκάζῃ. — [3] αὗται. — [4] περὶ τὸ ζ. — [5] καὶ ἐς. — [6] περί om., tum τὸν περίναιον. — [7] τὸ κατὰ κάτηγμα. — [8] μὲν οὖν.

εἰσὶ δὲ — λόγου.] ἐπεψηφίσαντο vulg.; cum Littréo sequor Gal., codicum vim, etiam Marc.; — ἤδη om. E.; — προσκαταδεῖν B. M. N.; — καταναγκάζοι B. M. N., καταναγκάζῃ, uti V., alii Parr.; — οὐδ' οἱ ἁπλῶς E. H. K.; — ἀτὰρ δέ Ald.; — οὐδὲ οὗτος C. M. N., Gal.; — οὐδὲ γάρ C.

ἄλλοι δ' αὖ — τοὔπισθεν.] οὖν pro αὖ C.; — οἵ τινες cett., scripsi nude οἵ propter antecedens τινες; — ἐπιδέουσι μὲν οὖν vulg., οὖν omm. C. E. K., cod. Voss., Marc., Littr.; ταινίῃ τινί vulgo; otioso vero τινί post ταινίῃ fidem non magnam habeo, adeo ut reiiciam; — καὶ ἐξογκώσαντες N. prima m., sed καί deletur; — περὶ τὸ ζ., uti V., Merc. in marg.; — πρὸς τὸ ζῶμα Marc., qui paulo post iterum ζῶμα (sic); — καὶ ἔπειτα prima m. in N.; — περιβαλόντες vulgo recte, περιβάλλοντες B. C. M. N., Littr., quod deterius; — ἄγοντες ἄγουσι K.; — αὖτις H. K. N., Marc., per θ̄. vulgo.

οἱ δέ τινες — κάτηγμα.] οὐ B. M. N. pro οὐχί: — περίναιον alii cdd.; — περὶ τὸν περινέον Marc.; „sic ubique" adscripsit Cobetus; — κάτηγμα e multis mss. Littr., κάταγμα vulg.

ταῦτα — ἐπιδέσματα.] οὖν C. E. K., γοῦν vulg.; — μὲν οὖν Voss.; — ἐγγύς τι Parr. 7., Marc., vulgo τι abest; — εἶναι om. J.; — εἰ καὶ κατακειμ. solus N., in quo καί deletur, Littr.; — συγκάμψοιεν vulg., συγκάμψειεν Littr. cum codd. 6. — Omnes στενοχωρίῃ, verum στενυγροχωρίῃ Galenum legisse constat e comm. (p. 411.). Itaque Ionismum evanescentem revocavi; „στενυγρός, inquit Cobetus, (Mnemos. IX. p. 45.) est forma Ionica vetus ex στενός

δέσματα κινέοιτο· ἄλλως τε ἀσηρὴ ἡ ἐπίδεσις· ἥ τε γὰρ ἕδρη ἀπολαμβάνεται, ἀθρόα τε τὰ ὀθόνια ἐν ταύτῃ τῇ στενυγροχωρίῃ [1] γίγνεται· τά τε αὖ περὶ τὴν ζώνην περιβαλλόμενα, — οὐχ οὕτως ἰσχυρῶς ἔζωσται, ὡς [2] μὴ ἀναγκάσαι ἐς τὸ ἄνω τὴν ζώνην ἐπανιέναι· καὶ οὕτως ἀνάγκη ἂν εἴη πάντα χαλᾶν τὰ [3] ἐπιδέσματα. Ἄγχιστα δ' ἄν τις δοκέοι ποιέειν, καίπερ οὐ μεγάλα ποιέων, εἰ τοῖσι μέν τισι τῶν ὀθονίων περὶ τὴν ζώνην περιβάλλοι, τοῖσι δὲ πλείστοισι τῶν ὀθονίων τὴν ἀρχαίην ἐπίδεσιν ἐπιδέοι· οὕτω γὰρ ἂν μάλιστα τὰ ἐπιδέσματα μόνιμά [4] τε εἴη καὶ ἀλλήλοισι τιμωρέοι. Τὰ μὲν οὖν πλεῖστα εἴρηται, ἅσσα καταλαμβάνει τοὺς τὴν κληῖδα καταγνυμένους. Προσξυνιέναι δὲ καὶ τόδε χρὴ, ὅτι κληῒς ὡς ἐπὶ τὸ πολὺ κατάγνυται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος πεφυκὸς ὀστέον ἐς τὸ ἄνω μέρος ὑπερέχειν, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης πεφυκὸς ὀστέον ἐν τῷ κάτω μέρεϊ εἶναι. Αἴτια δὲ τούτων τάδε, ὅτι τὸ μὲν στῆθος οὔτε κατωτέρω ἂν πολὺ, οὔτε ἀνωτέρω χωρήσειε· σμικρὸς γὰρ ὁ κιγκλισμὸς τοῦ ἄρθρου τοῦ ἐν τῷ στήθεϊ· αὐτό τε γὰρ ἑωυτῷ ξυνεχές ἐστι τὸ στῆθος καὶ τῇ ῥάχι· ἄγχιστα μὴν ἡ κληῒς πρὸς τὸ τοῦ ὤμου ἄρθρον [5] πλοώδης ἐστι· ἠνάγκασται γὰρ πυκινοκίνητος εἶναι διὰ τὴν τῆς ἀκρωμίης ξύζευξιν. Ἄλλως τε ὅταν τρωθῇ, φεύγει ἐς τὸ ἄνω μέρος τὸ πρὸς τῷ στήθεϊ προσεχόμενον καὶ οὐ μάλα [6] ἐς τὸ κάτω μέρος ἀναγκάζεσθαι ἐθέλει· καὶ γὰρ πέφυκε λορδὸν καὶ ἡ εὐρυχωρίη αὐτῷ ἄνω πλείων ἢ κάτω. Ὁ δὲ ὦμος καὶ ὁ βραχίων καὶ τὰ προσηρτημένα

circa cingulum; — non adeo firmiter hoc accinctum est, quin cingulum sursum ferri cogatur, atque ita necesse sit vincula omnia laxari. Quam proxime autem res fieri posse videatur, etsi nihil magni quis praestiterit, si quibusdam fasciis ad cingulum convolutis, plurimas alias ad priorem deligationem admoveat. Hac enim ratione tum maxime stabiles fasciae fuerint, tum sibi mutuo opem ferant. Plurima igitur quae iugulum fractum consequuntur dicta sunt. Sed et id quoque praeterea advertendum est, iugulum plerumque ita frangi solere, ut os quod est a pectore in superiorem partem emineat, quod est a summo humero in inferiorem partem deprimatur. Horumque ea est ratio, quod partim quidem neque infra, neque supra admodum procedat; articuli enim in pectore levis est agitatio. Pectus namque tum sibi ipsi, tum spinae continenter adaptatum est. Sed iugulum quidem proxime ad humeri articulum fluitat. Cogitur namque saepissime moveri propter eam quam cum summo humero habet connexionem. Adde quod ubi vulneratum fuerit, pars ea quae pectori inhaeret sursum elabitur, neque fere deorsum deprimi solet, cum et natura incurvum sit, eique supra quam infra maior inanitas pateat. At humerus, brachium et quae his connectuntur, facile a pectore et costis recedunt, ac propterea multum in superiorem et inferiorem partem abduci possunt. Fracto igitur iugulo os, quod ad humerum est, deorsum tendit. Promptius enim una cum humero et brachio deorsum inclinare potest quam sursum ferri. Cum igitur haec ita se habeant, impru-

[1] γίγνεται om. — [2] οὐκ. — [3] ἐπιτηδεύματα. — [4] τε om. — [5] supra scribitur ἀστήρικτος e Galeni comm. p. 415. — [6] πρός.

producta, ut πενιχρός ex πένης." Vid. Gal. comm. Dein ὡς οὐκ ἀναγκάσαι vulg., sed οὐκ om. F., ἀναγκάσει B. et pr. manus in N.; de meo μή pro οὐ scripsi. Verbulo moneo de structura: verba τά τε αὖ περὶ τὴν ζώνην περιβαλλόμενα non sunt subiectum verbi ἔζωσται, sed per se constant eo sensu, quem Latine expressi.

ἄγχιστα — τιμωρέοι.] δοκέῃ vulg., δοκέοι ex multis mss. Littr., item Marc.; — τισι μὲν τῶν sine τοῖσι B.; — περιβάλοι H.; — ἐπιδέοιτο N., sed postrema syllaba deletur.

τὰ μὲν οὖν — καταγνυμένους.] ἅσσα C., Marc., ὅσα vulg.; — τούς om. M., τήν omm. C. N.

προσξυνιέναι — εἶναι.] τὸ δ' ἀπό M. N.

αἴτια — ξύζευξιν.] πολὺ ἄν M. N.; — αὐτό τε γάρ Marc. et Littr. e mss. multis, τε om. vulg.; — ἄγχιστα non est, nisi illud ἄγχιστα, quod pro μάλιστα, ut aiunt, apud Homerum legitur et apud scriptorem nostrum frequenter recurrit; — μήν mss. 6., Marc., Littr., μέν vulg.; — τοῦ στήθους τό pro τὸ τοῦ ὤμου C., Marc., τοῦ om. M.

ἄλλως — κάτω.] ὅμως δέ N., sed ἄλλως τε supra versum; — πρὸς τὰ στήθη C.; — προσεσχόμενον Gal., προσερχόμενον N. mutatum in προσεχόμενον; — ἐθέλοι E.; — λορδόν M. N. et in marg. κοῦφον. Marc. vulgatum κοῦφον et in marg. pr. m. λορδόν.

ὁ δὲ ὦμος — τὸ ἄνω.] εὐαπόλυτά ἐστι C. M. N., εὐ-

τούτοισι εὐαπόλυτά [1]ἐστι ἀπὸ τῶν πλευρέων καὶ τοῦ στήθεος καὶ διὰ τοῦτο δύναται καὶ ἀνωτέρω πολὺ ἀνάγεσθαι καὶ κατωτέρω· ὅταν [2]οὖν καταγῇ ἡ κληῒς, τὸ πρὸς [3]τῷ ὤμῳ ὀστέον ἐς τὸ κατωτέρω ἐπιρρέπει· ἐς τοῦτο γὰρ [4]ἐπιφορώτερον αὐτὸ ἅμα τῷ ὤμῳ καὶ τῷ βραχίονι κάτω [5]ῥέψαι μᾶλλον ἢ ἐς τὸ ἄνω. Ὁπότε οὖν ταῦτα τοιαῦτά ἐστι, ἀξυνετέουσι ὅσοι τὸ ὑπερέχον τοῦ ὀστέου ἐς τὸ κάτω καταναγκάσαι [6]οἴονται οἷόν τε εἶναι. Ἀλλὰ δῆλον ὅτι τὸ κάτω πρὸς τὸ ἄνω προσακτέον ἐστί· τοῦτο γὰρ ἔχει κίνησιν, τοῦτο γάρ ἐστι καὶ τὸ ἀποστὰν ἀπὸ τῆς φύσιος. Δῆλον οὖν, ὅτι ἄλλως μὲν οὐδαμῶς ἐστι ἀναγκάσαι τοῦτο, — [7]αἱ γὰρ ἐπιδέσιες οὐδέν τι μᾶλλον προσαναγκάζουσι ἢ ἀπαναγκάζουσι· — εἰ δέ τις τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι ἐόντα [8]ἀναγκάζοι ὡς μάλιστα ἄνω, ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνηται εἶναι, δῆλον ὅτι οὕτως ἂν ἁρμοσθείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ τοῦ στήθεος πεφυκὸς, ὅθεν ἀπεσπάσθη. Εἰ οὖν τις τῇ μὲν ἐπιδέσι χρῷτο τῇ νομίμῃ τοῦ ταχέως ξυναλθεσθῆναι εἵνεκα, ἡγήσαιτο δὲ τἄλλα πάντα μάτην εἶναι παρὰ τὸ σχῆμα τὸ εἰρημένον, ὀρθῶς τε [9]ἂν ξυνίοι ἰητρεύοι τε ἂν τάχιστα καὶ κάλλιστα. Κατακέεσθαι μέντοι τὸν ἄνθρωπον μέγα τὸ διάφορόν ἐστι· καὶ ἡμέραι ἱκαναὶ τεσσαρεσκαίδεκα, εἰ ἀτρεμέοι, εἴκοσι δὲ πάμπολλαι.

denter se gerunt, qui exstantem ossis partem deorsum cogi per se opinantur. Verum inferiorem partem ad superiorem adducendam esse perspicuum est, cum ea motionem habeat et a naturali sede recesserit. Patet igitur hanc aliter nulla ratione cogi posse. Vincula namque nihilo magis adducunt quam abducunt. Quod si quis brachium quam maxime ad latus adductum sursum propellat, sic ut quam acutissimus humerus appareat, eo modo plane fiet ut cum osse, quod pectori adhaeret, unde est avulsa, adaptetur. Is igitur cum recta intelligentia utetur, tum etiam optimam et celerrimam curationem instituet, qui legitimam deligationem, uti celeriter coalescat, adhibuerit, reliquaque omnia praeter commemoratum habitum vana reputaverit. Decumbere tamen hominem valde ad rem pertinet et satis sunt dies quatuordecim, ut summum viginti, si quieverit.

ξγ'. Εἰ μέντοι τινὶ ἐπὶ τἀναντία ἡ κληῒς καταγείη, ὃ οὐ [10]μάλα γίγνεται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος ὀστέον ὑποδεδυκέναι,

63. Quodsi cui contra iuguli fractura eveniat, id quod non admodum accidit, ita ut os quod est a pectore subiiciatur, quod est a summo

[1] εἰσίν. — [2] γοῦν. — [3] τῷ om. — [4] ἐπιτροχώτερον αὐτῷ ἅμα. — [5] ῥεῦσαι. — [6] οἴονται εἶναι. — [7] αἵ τε γάρ. — [8] ὡς μάλιστα ἐόντα· ἀναγκάζοι ἄνω ὡς μάλιστα. — [9] ἄν om. — [10] μάλιστα.

απολυτά τ' ἐστι Marc., Littr., vulg. e V. notavi; — οὖν B. C. M. N., Marc., Littr., γοῦν vulg.; — ἡ cum mss. 12. Littr., vulgo om.; — ἐπιτροχώτερον vulg., ἐπιφορώτερον ex 6. mss., in quorum duobus postremis in marg. legitur, recepit Littr., monente de hac lect. Schneidero in Lex.; — ῥεῦσαι vulg., ῥέψαι B. C. H., Marc., et M. N. in marg., Littr.

ὁπότε — εἶναι.] οἴονται εἶναι vulg., εἶναι solum K., οἷόν τε εἶναι C., Marc., οἴονται sine εἶναι B. M. N; Littr. in textu solum οἴονται, sed vere animadvertit: „il serait possible qu'il fallut lire οἴονται οἷόν τε εἶναι." Imo hoc dandum est.

ἀλλὰ — φύσιος.] ὅτι κάτω C.; — πρὸς τῷ vulg., πρὸς τό cum mss. 11. Littr., item Marc.; — καί omm. E. M.

δῆλον — ἀπεσπάσθη.] οὐδαμή E. K.; — αἵ τε γάρ vulg., τε om. N., ubi rest., et Littr.; — ἐόντα ἀναγκ. ὡς μάλ. ἄνω B. M. N., Littr.; — ὡς μάλ. ἐόντα ἀναγκ. ἄνω vulg., ὡς μάλ. ἐόντα ἀναγκ. ἄνω ὡς μάλ. Parr. 8.; — φαίνεται vulg., φαίνηται Marc. et Littr. e mss. Parr.; — εἶναι omm. B. M. N.; — οὗτος ἂν ἁρμοσθεῖεν O.

εἰ οὖν τις — κάλλιστα.] χρέοιτο M. N., χρέοι B.; — μάταια. μάτην supra versum N.; — ξυνίῃ vulg., ξυνείη Marc., ξυνίοι B. L. M. N. Littr.; — τε ἄν C. M. N. Littr., τ' ἄν vulg.

κατακέεσθαι — πάμπολλαι.] διαφέρον N., sed mutatum in vulgatam lectionem.

63. εἰ μέντοι — γένοιατ' ἄν.] ἐπί om. K.; — κατεα-

τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης ὀστέον ὑπερέχειν καὶ ἐποχέεσθαι ἐπὶ τοῦ ἑτέρου, οὐδεμιῆς μεγάλης ἰητρείης ταῦτά γ' ἂν δέοιτο· αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος καὶ ὁ βραχίων ἱδρύοι ἂν τὰ ὀστέα πρὸς ἄλληλα καὶ φαύλη ἄν τις ἐπίδεσις ἀρκέοι καὶ ὀλίγαι αἱ ἡμέραι τῆς πωρώσιος γένοιατ' ἄν.

humero exstet ac super alterum feratur, nulla magna curatione hic opus est. Ipse enim humerus demissus cum brachio invicem ossa committet, ac quaelibet vinciendi ratio satis fuerit, ut intra paucos dies callus contrahatur.

ξδ'. Εἰ δὲ μὴ καταγείη μὲν οὕτως, παρολισθάνοι δὲ ἐς τὸ πλάγιον ἢ τῇ ἢ τῇ, ἐς τὴν φύσιν μὲν ἀπαγαγεῖν ἂν δέοι, ἀναγαγόντα τὸν ὦμον ξὺν τῷ βραχίονι, ὥσπερ καὶ πρόσθεν εἴρηται· ὅταν δὲ ἵζηται ἐς τὴν ἀρχαίην φύσιν, ταχεῖα ἂν ἡ ἄλλη ἰητρείη εἴη. Τὰ μὲν οὖν πλεῖστα τῶν παραλλαγμάτων κατορθοῖ αὐτὸς ὁ βραχίων ἀναγκαζόμενος πρὸς τὰ ἄνω. Ὅσα δὲ ἐκ τῶν ἄνωθεν παρολισθάνοντα ἐς τὸ πλάγιον ἦλθε, ἢ ἐς τὸ κατωτέρω, ξυμπορσύνοι ἂν τὴν κατόρθωσιν, εἰ ὁ μὲν ἄνθρωπος ὕπτιος κέοιτο, κατὰ δὲ τὸ μεσηγὺ τῶν ὠμοπλατέων ὑψηλότερόν τι [1]ὀλίγῳ ὑποκέοιτο, ὡς περιρρηδὲς ἔῃ τὸ στῆθος [2]ὡς μάλιστα· καὶ τὸν βραχίονα εἰ ἀνάγοι τις παρὰ τὰς πλευρὰς παρατεταμένον, ὁ δὲ ἰητρὸς τῇ μὲν ἑτέρῃ χειρὶ ἐς τὴν κεφαλὴν τοῦ βραχίονος ἐμβαλὼν τὸ θέναρ τῆς χειρὸς ἀπωθέοι, τῇ δ' ἑτέρῃ τὰ ὀστέα τὰ κατεηγότα εὐτεθίζοι· οὕτως ἂν μάλιστα ἐς τὴν φύσιν ἄγοι· ἀτάρ, [3]ὥσπερ ἤδη εἴρηται, [4]οὐ μάλα τὸ ἄνωθεν ὀστέον ἐς τὸ κάτω φιλέει ὑποδύνειν. Τοῖσι μὲν οὖν πλείστοισι, ὅταν ἐπιδεθῶσι, τὸ σχῆμα ἀρήγει, παρ' αὐτὰς τὰς πλευρὰς τὸν ἀγκῶνα ἔχοντα, οὕτως ἐς τὸ ἄνω τὸν ὦμον ἀναγκάζεσθαι· ἔστι δ' οἷσι μὲν τὸν ὦμον ἀναγκάζειν δεῖ ἐς τὸ ἄνω, ὥσπερ εἴρηται, τὸν δὲ ἀγκῶνα πρὸς τὸ στῆ-

64. At si non eo modo fractum fuerit, sed in hanc vel illam partem prolabatur, sublato quidem humero cum brachio in suam sedem reducendum erit, velut etiam antea dictum est. Atque ubi ad pristinum habitum redierit, reliqua curatio celerrime consequetur. Ut plurimum igitur ubi alia super aliam effertur, brachium in superiorem partem propulsum restituit. Ea vero, quae e superioribus partibus elapsa ad latus aut infra tendunt, restituit hominis supinus decubitus, si loco inter scapulas medio paulo sublimius aliquid supponatur, quo pectus quam maxime in utramque partem reflectatur, brachiumque aliquis ad latus porrectum sursum adducat. Medicus vero altera manu, iniecta in brachii caput vela, protrudat, altera ossa fracta componat. Sic enim quam maxime ad naturalem sedem reducet; verum, quod iam dictum est, os superius ad inferiorem partem subire minime solet. Plerisque igitur ubi devincti fuerint, hic habitus auxilio est, ut detento ad latera cubiti gibbo ita sursum humerus propellatur. At nonnullis quidem, uti dictum est, in superiorem partem humerus propelli debet, cubiti vero gibbus ad pectus adduci et manus extrema ad summum humerum ab integra parte admoveri. Quodsi decumbere non recuset, firmamentum quoddam, cui obnitatur, adhibere

[1] ὀλίγον. — [2] ὡς om. — [3] ὅ περ. — [4] εὖ.

γείη B. H. M. Littr., καταγῇ mutatum in κατεαγείη N.; equidem vulgatam tenui; — ὑποχέεσθαι vulgo, sed e Gal., multis mss., ἐποχέεσθαι Littr., quod Marc. item fert; — αἱ ante ἡμέραι de meo intuli; — γένοιντ' vulgo, γενοίατ' Marc.

64. εἰ δὲ μὴ — εἴη.] δέ om. C.; — οὕτω vulg., οὕτως Gal., codicum vis, Littr.

τὰ μὲν οὖν — ἄνω.] παρηλλαγμένων Gal., πρὸς τὸ ἄνω C.

ὅσα δὲ — ὑποδύνειν.] ἐκ τῶν ἄνωθεν B. M. N., cett. ἐκ om.; — καὶ ἐς τὸ κατωτέρω Marc.; — idem in marg. ad συμπορσύνοι fert συνδῷ; — ὀλίγῳ B. C. M. N., Marc., Littr., ὀλίγον vulg.; — ὡς ante μάλιστα, uti V., omm. Parr. nonnulli et Marc.; — τὸ στῆθος· μάλιστα δὲ καὶ τὸν βρ. J.; — ἐὰν — ἀνάγῃ K.; — ἐμβάλλων B. M. N.; — τῇ δὲ ἑτέρῃ vulg., δ' Marc.; — κατεηγότα non pauci codd., Littr., Marc., κατεαγότα vulg.; — αὐτάρ U.; — εὖ μάλα omnes, Littréus οὐ μάλα de suo, verissime, cf. § 15.; τὸ ἄνω enim ὀστέον est pars ad sternum. Ad περιρρηδές in Marciano scholion hocce: ἑκατέρωθεν ἐκκεκλιμένον. μενοειδές, (i. e. μηνοειδές).

τοῖσι μὲν — ἴσχειν.] οὖν om. J.; — παρ' αὐτὰ καὶ πλ. C.; — ἔστι δὲ οἷσι C. M. N.; — ὥσπερ εἴρηται C. Marc., ὡς εἴρ. vulg.

θος παράγειν, ἄκρην δὲ τὴν χεῖρα παρὰ τὸ ἀκρώμιον τοῦ ὑγιέος ὤμου ἴσχειν. Ἢν μὲν οὖν κατακέεσθαι τολμᾷ, ἀντιστήριγμά τι προστιθέναι χρὴ, ὡς ἂν ὁ ὦμος ἀνωτάτω ἔῃ· ἢν δὲ περιΐῃ, σφενδόνην χρὴ ἐκ ταινίης περὶ τὸ ὀξὺ τοῦ ἀγκῶνος ποιήσαντα ἀναλαμβάνειν περὶ τὸν αὐχένα.

ξε΄. Ἀγκῶνος δὲ ἄρθρον παραλλάξαν μὲν πρὸς πλευρὴν ἢ ἔξω, μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος, [1] ἐς ἰθὺ κατατείναντα τὸ ἐξέχον ἀπωθεῖν ὀπίσω καὶ ἐς τὸ πλάγιον.

ξϛ΄. Τὰ δὲ τελέως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα, κατάτασις μὲν, ἐν ᾗ ὁ βραχίων [2] καταγεὶς ἐπιδέεται· οὕτω γὰρ ἂν τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. Ἐκπίπτει δὲ μάλιστα ἐς τὸ πρὸς πλευρὰς μέρος. Τὰς δὲ κατορθώσιας, ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ [3] ψαύῃ τῆς κορώνης ἡ κεφαλὴ, μετέωρον περιάγειν καὶ περικάμπτειν καὶ μὴ ἐς ἰθὺ βιάζεσθαι, ἅμα δὲ ὠθέειν τἀναντία ἐφ᾽ ἑκάτερα καὶ παρωθέειν ἐς χώρην· ξυνωφελοίη δ᾽ ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τούτοισι, ἐν τῷ μὲν ἐς τὸ ὕπτιον ἐν τῷ δὲ ἐς τὸ πρηνές. Ἴησις δὲ σχήματος μὲν, [4] ὀλίγον ἀνωτέρω ἄκρην τὴν χεῖρα τοῦ ἀγκῶνος ἔχειν, τὸν βραχίονα δὲ κατὰ τὰς πλευράς· οὕτω δὲ καὶ [5] ἀνάληψις καὶ θέσις εὔφορον· καὶ φύσις καὶ χρῆσις ἐν κοινῷ, ἢν ἄρα μὴ κακῶς πωρωθῇ· πωροῦται δὲ ταχέως. Ἴησις δὲ ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν καὶ τὸ ὀξὺ προσεπιδέειν.

oportet, ut humerus maxime sublimis maneat. Sin vero obambulet, fundam ex mitella factam ad cubiti eminentiam circumdatam, de collo suspensam gestare oportet.

65. At vero cubiti articulo ad latus aut exteriorem in partem dimoto, acuta ipsius parte in brachii cavo remanente, in directum distentione facta, id quod eminet intro et ad latus propulsandum est.

66. Quodsi prorsus in hanc vel illam partem exciderit, distentio quidem, in qua brachium fractum deligatur, adhibenda. Sic namque cubiti flexus nullo modo impedimento fuerit, potissimum vero in laterum locum prolabitur. Restituetur autem in suum locum, si quam plurimum obducendo, ut ne brachii caput acutum ossis processum contingat, suspensus circumagatur et circumflectatur, neque in directum vis adhibeatur, simul autem utraque ex parte in contrarium impellatur et in sedem compellatur. Ad haec quoque contulerit, si cubiti gibbus modo quidem in supinum, modo etiam in pronum contorqueatur. Ad curationem vero, quae ex habitu quidem pendet, spectat summam manum paulo cubiti gibbo altiorem, brachium vero ad latera adductum tenere. Eodem quoque modo et appensio et positio faciles feruntur et natura et usus communiter conferunt, si modo callus, qui cito concrescit, prave non obducatur. Quantum vero ad curationem

[1] *ἐς ἰθύ* om — [2] *κατεαγείς.* — [3] *ψαύοι.* — [4] *ὀλίγον.* — [5] *ἡ ἀνάλεψις.*

ἢν μὲν οὖν — αὐχένα.] *ῆ*, supra versum *ἔῃ* N.; — *περιείοι* Marc., qui tamen *ἤν* ut ceteri; — *πρὸς τὸ ὀξύ* E., et in marg. *περί* alia manu.

65. *ἀγκῶνος — πλάγιον.*] *παράλλαξαν* B. C. M. N., Marc., Littr., *παράξαν* vulg.; — iam vero *παραλλάξαν μὲν ἢ παραρθρῆσαν* edidit Littréus; solus quidem textus apud Dietz. p. 16. omittit *ἢ παραρθρῆσαν*; sed vel sine hac auctoritate *ἢ παραρθρῆσαν* deleveris, quum non sit nisi glossa ad *παραλλάξαν*; ego saltem repudio; — *ἐν τ. κ. τοῦ* om. E., sed rest. alia m.; — *ἐς εὐθύ* vulg., *ἐς ἰθύ* ex Mochl., *ἐς ὀξύ* Gal., multa mss.; — *τὰ ἐξέχοντα* M. N.

66. *τὰ δὲ — κωλύσει.*] *τελείως* vulg., *τελέως* e Mochl.; — *κατάτασις* Ald., C. H. ex emend., M. N. O., Marc., Foës. Latine, Littr., *ἡ κατατ.* Dietz. p. 16. *κατάστασις* vulg.

ας

ἐκπίπτει — μέρος.] *πλευρὸν* N., *τὸ πλευρόν* C.; — *πρὸς πλευρόν* Marc.

τὰς δὲ — πρηνές.] *ἐπὶ πλείω* Dietz. p. 17.; — *ψαύοι* Gal., Ald., mss. Parr. 9., *ψαύοντα* N. mutatum in *ψαύῃ*; — *περικάμψαι* B. C. M. N. Marc.; — *ἐς εὐθύ* vulg., *ἐς ἰθύ* Mochl.; — *ἐφ᾽ ἑκάτερον* E., *ἑκατέραν* pro *ἐφ᾽ ἑκ.* Dietz. p. 17.

ἴησις δὲ — ταχέως.] *ὀλίγω* M. N., *ὀλίγον* vulg.; — articulos ante *βραχίονα* et *πλευράς* de meo dedi; — *ἡ ἀναλ.* cod. Sever., uti V.; — *καὶ εὔφορον* ceteri, mihi *καί* abundare videtur.

ἴησις — προσεπιδέειν.] *ὦμον* pro *νόμον* E.

attinet, quae linteis instituitur, ea lege articulari fieri debet, ut et acuta cubiti pars insuper devinciatur.

ξζ'. Παλιγκοτώτατον δὲ ὁ ἀγκὼν [1] ὀδύνῃσι, πυρετοῖσι ἀσώδεσι, ἀκρητοχόλοισι, ἀγκῶνος δὲ μάλιστα τοὐπίσω διὰ τὸ ναρκῶδες, δεύτερον δὲ τοὔμπροσθεν· ἴησις δὲ ἡ αὐτή· ἐμβολαὶ δὲ, τοῦ μὲν ὀπίσω, ἐκτείναντα κατατεῖναι· σημεῖον δέ· οὐ γὰρ δύνανται ἐκτείνειν· τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται ξυγκάμπτειν· τούτῳ δὲ ἐνθέντα τι ξυνειλιγμένον σκληρὸν, περὶ τοῦτο ξυγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης.

67. Rursus autem maxime excandescit cubiti gibbus doloribus et febribus cum incontinenti corporis iactatione et meracae bilis vomitione, idque maxime ob torporem, si cubitus parte posteriore elabatur, secundum id, si anteriore. Eadem vero curatio utrisque adhibetur. In posteriore quidem prolapsus reponitur, si porrectum brachium in diversa contendatur. Cuius rei indicium est, quod extendi nequit, ut et in anteriora prolapsi, quod minime flecti potest. Hic autem imposito duro aliquo convoluto, ubi extenderis, super id repente inflectendus est.

ξη'. Διαστάσιος δὲ ὀστέων σημήϊον, κατὰ τὴν φλέβα τὴν κατὰ [2] τὸν βραχίονα σχιζομένην διαψαύοντι.

68. At diductorum ossium indicium ad contactum venae, quae in brachio scinditur, patet.

ξθ'. Ταῦτα δὲ ταχέως διαπωροῦται· ἐκ γενεῆς δὲ βραχύτερα τὰ κάτω τοῦ σίνεος ὀστέα, πλεῖστον τὰ ἐγγύτατα τοῦ πήχεος, δεύτερον, χειρὸς, τρίτον, δακτύλων· βραχίων δὲ καὶ ὦμος ἐγκρατέστεροι διὰ τὴν τροφήν· ἡ δὲ ἑτέρη χεὶρ διὰ τὰ ἔργα [3] ἔτι πλείω ἐγκρατεστέρη. Μινύθησις δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσε, ἔσωθεν· εἰ δὲ μὴ, ἐς τοὐναντίον ἢ ᾗ ἐξέπεσε.

69. Ea vero callo celeriter obducuntur. Quibus autem ex prima origine ista excidunt, iis ossa infra noxam, quae cubito sunt proxima longe breviora evadunt, deinde quae in manu, tertio quae in digitis sunt. Brachium vero et humerus propter nutritionem validiora sunt. Itemque manus altera propter opera etiam longe validior est. At si exteriorem in partem articulus exciderit, inferiore parte carnium fit imminutio; sin minus, adversa parte illi in quam sit prolapsus.

ο'. Ἀγκὼν δὲ ἢν ἔσω ἢ ἔξω [4] ἐκβῇ, κατάτασις μὲν ἐν σχήματι [5] ἐγγωνίῳ τῷ πήχεϊ πρὸς βραχίονα· τὴν μὲν γὰρ μασχάλην ἀναλαβόντα ταινίῃ ἀνακρεμάσαι, [6] ἀγκῶνι δὲ ἄκρῳ ὑποθέντα τι παρὰ τὸ ἄρθρον βάρος

70. Cubiti gibbo in interiorem partem aut exteriorem prolapso, repositio quidem inflexo habitu cubiti ad brachium fieri debet. Ex ala namque fascia excepta suspensio fit, extremo vero cubito suppositum pondus aliquod ad

[1] πυρετοῖσι ὀδύνῃσι. — [2] τόν om. — [3] ὅτι. — [4] ἐκβαίῃ (fortasse ex ἐκβέῃ natum.) — [5] κοινῷ. — [6] ἀγκῶνι — ἐκκρεμάσαι om.

67. παλιγκοτώτατον — ἐξαίφνης.] ὁ omm. C. N., sed in N. rest.; — vulgo πυρετοῖσι, ὀδύνῃσι (ὀδύνῃ Littr. e Mochlico) ἀσώδεϊ, ἀκρητοχόλῳ, sed ὀδύνῃ ἀσώδης licet ferri posse videatur, at ὀδύνη ἀκρητόχολος absurdum est: vocabula de sede sua aberrarunt, in quam reduxi et epitheta ad πυρετοῖσι accommodavi; vide v. c. § 43. libri de fractis. Dein: τὸ ἔμπρ. M. N.; — ἐκτείναντι Ald., mss. 6. apud Littr., Marc., κατατείναντας Dietz. p. 17., κατατείνειν B. et M. N., qui in marg. κατατεῖναι.

68. διαστάσιος — διαψαύοντι.] σημήϊον B. M. N., Littr., σημεῖον vulg.; — τόν om. vulg., adscripsit Littr. ex N., ubi punctis subnotatur.

69. ταῦτα δὲ — ἐγκρατεστέρη.] διαπωροῦνται vulg., διαπωροῦται Marc. et e Mochl. Littr.; — πλεῖστα vulg., πλεῖστον Ald., Gal., Parr. 3., Littr., πλείστωι Marc.; — δεύτερα codd., δεύτερον Littr. de suo, δεύτερον δέ N., sed δέ punctis subnot.; — τρίτα vulg., τρίτον e multis mss. Littr., item Marc.; — τρίτον δέ N. linea subnotatum; — ἐγκρατέστερα cett.; — τροφήν Littr. e multis mss., idemque ferunt Marc., Voss., τροπήν vulg.; — ὅτι pro ἔτι, uti V., multi Parr., ὅτι πλείω Marc. — Vulgo ᾗ solum, ἢ ᾗ de meo.

70. ἀγκὼν — θέσις.] ἐπάν M. N., in marg. ἤν; — ἢν μέν N., sed μέν linea subnot., Dietz. p. 6.; — ἐγγωνίῳ Dietz., Littr., vulg. e V. notavi; — γάρ omm. Marc., O. et

ἐκκρεμάσαι, ἢ χερσὶ καταναγκάζειν· ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖσι θέναρσι, ὡς τὰ ἐν χερσί· ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις.

articulum appenditur, vel manibus deorsum vi adducitur. Tum sublimi sublato articulo ossa manuum volis adducuntur. Hoc in habitu deligatio, appensio et positio velut in manibus fieri debet.

οα'. Τὰ δὲ ὄπισθεν, ἐξαίφνης ἐκτείναντα διορθοῦν τοῖσι θέναρσι· ἅμα δὲ δεῖ ἐν τῇ διορθώσι καὶ ἐν τοῖσι ἑτέροισι. Ἢν δὲ ἔμπροσθεν, [1] ἀμφὶ ὀθόνιον ξυνειλιγμένον, εὔογκον, ξυγκάμπτοντα ἅμα διορθοῦν.

71. At ubi in posteriora prolapsio facta est, derepente extensione facta manuum palmis directio fiat, simulque haec in directione tum in ceteris usurpanda sunt. Quodsi in priorem partem prolapsio facta sit, circum linteum convolutum et in iustum tumorem sublatum inflectere simulque dirigere oportet.

οβ'. Ἢν δὲ ἑτεροκλινὲς ἔῃ, ἐν τῇ διορθώσι ἀμφότερα ἅμα χρὴ ποιέειν. Τῆς δὲ μελέτης κοινὸν καὶ τὸ σχῆμα καὶ ἡ ἐπίδεσις. Δύναται δὲ καὶ ἐκ τῆς διατάσιος κοινῇ [2] ξυμπίπτειν ἅπαντα.

72. At si in alteram partem inclinet, una cum directione utraque facienda sunt. Habitus vero et deligatio ad curam communiter spectant. Possunt quoque et ex distentione communiter omnia contingere.

ογ'. Τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ [3] ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος· αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ, ἢ τῇ, ξὺν τῷ τάχεϊ.

73. Articulus autem reconditur partim quidem in sublime elevando, partim distendendo, partim vero circumoberrando. Idque dum habitus in hanc vel in illam partem excedunt, celeriter fieri debet.

οδ'. Χειρὸς δὲ ἄρθρον ὀλισθάνει ἢ ἔσω, ἢ ἔξω, ἔσω δὲ τὰ πλεῖστα. Σημήϊα δὲ εὔσημα· ἢν μὲν εἴσω, ξυγκάμπτειν τοὺς δακτύλους οὐ δύνανται· ἢν δὲ ἔξω, ἐκτείνειν. Ἐμβολὴ δὲ, ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων τοὺς μὲν τείνειν, τοὺς δὲ ἀντιτείνειν, τὸ δὲ ἐξέχον ἢ θέναρι, ἢ πτέρνῃ ἅμα [4] ἀπωθέειν πρόσω καὶ κάτω κατὰ τὸ ἕτερον ὀστέον, ὄγκον μαλθακὸν ὑποθεὶς, ἢν μὲν ἄνω, κατα-

74. Manus articulus in interiorem aut exteriorem partem luxatur, plurimum autem in interiorem. Signa vero in aperto sunt. Si quidem intro prolapsio fit, digiti inflecti, si extra, extendi nequeunt. Reponitur autem si digiti supra mensam positi partim quidem extenduntur, partim vero in diversa contenduntur, idque quod eminet aut prominentiore palmae parte, aut calce simul protruditur et deorsum

[1] ἀμφιθεὶς ἐθ. — [2] συνάπτειν. — [3] ὑπαιωρήσιος. — [4] ἀπωθέειν καὶ ὠθέειν πρὸς τὸ κάτω κάτωθεν δὲ κατά.

N., in quo rest., Littr.; τὴν μὲν γάρ om. Dietz.; — τινι, sed in marg. ταινίῃ N., unde liquet isti ταινίῃ τινί aliis locis in mss. et editis obvio fidem non esse habendam, sed solum ταινίῃ legendum.; — ἀναλαβόντα M. N., ἀναλαμβάνοντα ceteri.; — ἄκρῳ C.; — ὑποθέντα B. M. N., ὑποτιθέντα vulgata.

71. τὰ δὲ — ἑτέροισι.] μέν pro δέ B. M. N. (M. N. δέ in marg.); — ἐκτείνοντα C. Littr., ἐκτείναντα cett.; — καὶ τοῖσι ἑτέροισι M. N. O.

ἢν δὲ — διορθοῦν.] ἀμφιθείς, uti V., Ald., Gal., Marc., alia mss. multa; — ξυνειλιγμένον B. M. N., Littr., συνειλεγμένον Marc, συνειλημμένον vulg.

72. τῆς — ἐπίδεσις.] τῆς δὲ μελέτης τῆς θεραπείης (θεραπείας Marc.) ceteri; equidem τῆς θεραπείης glossema esse opinor olim ad τῆς μελέτης adscriptum, quare reiicio; — κοινὸν καί Marc., B. M. N., vulgo καί om., κοινὸν δέ alii codd. non pauci.

δύναται — ἅπαντα.] δὲ καί Ald., codd. apud Littr. 9., Marc., Voss., ipse Littr., καί sine δέ vulg.; — κοινῆς C.; — συνάπτειν, uti V., cod. Sever.

73. τῶν — ἐν τάχεϊ.] κατάστασις Parr. 5.

74. σημήϊα δὲ — ἐκτείνειν.] καὶ ἢν μὲν εἴσω Marc., C. M., sed in M. καί deletur; — δύναται Parr. 8.; — ἢν δὲ ἔσω. ἐκτείνειν J.

ἐμβολὴ — ὑπτίην.] ἢ τῷ θέναρι ἢ τῇ πτέρνῃ B. et N., in quo articulus uterque deletur; — ἅμα ἀπωθέειν καὶ ὠθέειν (καὶ ὠθέειν om. B., deletur in N.) πρόσω (πρὸς τὸ pro πρόσω cod. Sever., Voss.) κάτω κάτωθεν δὲ (δέ om. Dietz. p. 18.) τὸ ἕτερον ὀστέον vulg. (καὶ κάτωθεν pro κάτω κάτωθεν δέ B. M. N. in marg.). Littréus dedit: ἅμα ἀπωθέειν πρόσω καὶ κάτωθεν, in qua lectione non κάτωθεν, sed κάτω dandum est. Vulgata fortasse e duabus lectionibus nata: ex ἅμα ἀπωθέειν καὶ ὠθέειν κάτω et ex ἅμα ἀπωθέειν πρόσω καί κάτω. Tum καταστρέψαι J.

στρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. Ἴησις δὲ, ὀθονίοισι.

pellitur iuxta alterum os; supposito ante aliquo molli ac tumido, si superiore parte exstat manui conversae, sin inferiore supinae. Curatio autem linteis perficitur.

οε'. Ὅλη δὲ ἡ χεὶρ ὀλισθάνει ἢ ἔσω, ἢ ἔξω, ἢ ἔνθα, ἢ ἔνθα, μάλιστα δὲ εἴσω· ἔστι δ' ὅτε ἡ ἐπίφυσις ἐκινήθη· ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. Τούτοισι κατάτασις ἰσχυρὴ ποιητέη· καὶ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἕτερον ἀντωθέειν, δύο εἴδεα ἅμα, ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον, ἢ χερσὶ ἐπὶ τραπέζης, ἢ πτέρνῃ. Παλιγκοτώτατα δὲ καὶ ἀσχήμονα· τῷ [1]δὲ χρόνῳ κρατύνεται [2]ἐς χρῆσιν. Ἴησις, ὀθονίοισι ξὺν τῇ χειρὶ καὶ [3]τῷ πήχεϊ καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι· ἐν νάρθηξι δὲ δεθέντα ταῦτα πυκνότερα λύειν ἢ τὰ κατήγματα, καὶ καταχύσι πλείονι χρέεσθαι.

75. At tota manus in interiorem, vel exteriorem, vel in hanc illamve partem prolabitur, potissimum vero in interiorem. Est ubi ossis accrementum emovetur, interdum quoque alterum os diductum est. His valida distentio adhibenda et os quidem omnino propellendum unaque duobus modis in posteriorem partem et in latus, aut manibus supra mensam, aut calce impulsio fieri debet. Facile autem rursus excandescunt et deformitatem habent, tempore tamen ad usum firmantur. Curatio linteis simul et in manu et in cubito perficitur, ferulaeque ad digitos usque imponendae. Haec vero ferulis deligata crebrius quam fracta resolvenda et copiosiore perfusione fovenda.

ος'. Ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίγνεται καὶ μινύθησις σαρκῶν μάλιστα τἀναντία ἢ ᾗ τὸ ἔκπτωμα· ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.

76. At manus a primo ortu luxata brevior fit, et carnes adversa parte quam in quam luxatio facta est potissimum imminuuntur, adulto vero ossa permanent.

οζ'. Δακτύλου δὲ ἄρθρον ὀλισθὸν μὲν εὔσημον. Ἐμβολὴ δὲ κατατείναντα ἐς ἰθὺ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ [4]δὲ ἐναντίον ἀντωθέειν· ἴησις δὲ [5]ὀθονίοισι. Μὴ ἐμπεσὸν δὲ, ἐπιπωροῦται ἔξωθεν. Ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσι ἐξαρθρήσαντα τὰ ὀστέα [6]βραχύνεται τὰ κάτω τοῦ ὀλισθήματος καὶ αἱ σάρκες μινύθουσι τἀναντία μάλιστα ἢ ᾗ τὸ ἔκπτωμα· ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.

77. Digiti articulus ubi exciderit, facile quidem cernitur. Restitutio vero in directum contendendo et quod eminet propellendo, alterum autem in contrariam partem impellendo. Curatio linteis fit. Quodsi restitutus non fuerit, exteriore parte callum contrahit. Quibus autem a primo ortu aut dum adolescunt ossa prolapsa fuerint, ea infra luxationem breviora evadunt et omnes adversa parte quam qua prolapsio

[1] μέν. — [2] solum χρῆσις. — [3] τῷ om. — [4] δέ om. — [5] ταινίοισι ὀθονίοισι. — [6] βραχύνεται — τὰ ὀστέα om.

ἴησις — ὀθονίοισι.] ὀθονίῳ omisso δέ Dietz. p. 18.

75. ὅλη — διέστη.] ἡ om. Dietz., δὲ ὅτι M.; — καὶ ἡ ἐπιφ. vulg., καί omm. C., Marc.

τούτοισι — πτέρνῃ.] κατάστασις Parr. 7.; — δύο δέ M., sed δέ linea subnotatum, Dietz., καὶ ἐς τοὔπ. B. N., in quo καί subiecta lineola deletur.

παλιγκοτώτατα — χρῆσιν.] παλιγκοτώτατα Marc., eiusdemque lectionis vestigia in varr. lectt. apud Littr.; παλίγκοτα vulg.; — τῷ μὲν χρ. vulg., τῷ δὲ χρ. Marc., C.; — χρόνῳ δέ B. M. (N. τῷ addit), δέ om. Dietz. p. 18., χρῆσις sine ἐς, uti V., non pauci codd.

ἴησις — χρέεσθαι.] ἡ ἴησις Ald.; — ἴησις ἡ Bas. Merc., ἴησις δέ N., sed δέ punctis subnotatum; — τῷ ante πήχεϊ Marc., Parr. 11. omm.; — θέντα mutatum in δεθέντα, in marg. τεθέντα M., — N. vero δεθέντα, et τιθέντα in marg.; — equidem vulgatam retineo, τεθέντα, quod Littr. exhibuit, incongruum; — τοῦτο B. pro ταῦτα; — πυκνότερον vulg., πυκνότερα Marc., B. C. M. N.; — καταχρήσει, καταχρίσει pro καταχύσι nonnulli pauci libri; — χρῆσθαι M. N.

76. ἐκ γενεῆς — μένει.] ἢ ὡς M. N., sed in marg. vulgatum ἢ ᾗ.

77. δακτύλου — εὔσημον.] ὀλισθόν Marc. M. N., Littr., ὀλισθέν vulg.

ἐμβολὴ — ὀθονίοισι.] κατατείνοντα Gal.; — δέ pro μέν Ald. C., μὲν γάρ E. Q.'; — ταινίῃσι ὀθονίοισι vulg.; in Mochl. et in N. a prima manu ταινίῃσι om., omisit Littr.; in vulgata omnino est διττογραφία.

μὴ — ἔξωθεν.] μὴ ἐμπεσὼν δέ Marc.; — ἐκπεσόν edd. antt., Gal., mss. 7.; — ἔξω Dietz. p. 19.

ἐκ γενεῆς — μένει.] τά ante κάτω ex M. N. recepit

οη'. Γνάθος δὲ ὀλίγοισι [1] τελέως ἐξήρθρησε· τὸ ὀστέον γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς ὑπεζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ προσπεφυκότι, ὅπερ ἀποκλείει τὰς κεφαλὰς τῆς κάτω γνάθου, τῆς μὲν ἀνωτέρω ἐὸν, τῆς δὲ κατωτέρω τῶν κεφαλέων. [2] Τὰ δὲ ἄκρα τῆς κάτω γνάθου, τὸ μὲν διὰ τὸ μῆκος οὐκ εὐπαρέκδυτον, τὸ δ' αὖ [3] κορωνόν τε καὶ ὑπερέχον ὑπὲρ τοῦ ζυγώματος· ἅμα τε [4] ἀπ' ἀμφοτέρων [5] τῶν ἄκρων τούτων νευρώδεες τένοντες πεφύκασι, ἐξ ὧν ἐξήρτηνται οἱ μύες οἱ κροταφῖται καὶ μασητῆρες καλεόμενοι· διὰ τοῦτο δὲ καλέονται καὶ διὰ τοῦτο κινέονται, ὅτι ἐντεῦθεν ἐξήρτηνται· ἐν γὰρ τῇ ἐδωδῇ καὶ ἐν τῇ διαλέκτῳ καὶ ἐν τῇ ἄλλῃ χρήσι τοῦ στόματος, ἡ μὲν ἄνω γνάθος ἀτρεμέει· ξυνήρτηται γὰρ τῇ κεφαλῇ καὶ οὐ [6] διήρθρωται· ἡ δὲ κάτω γνάθος κινέεται· ἀπήρθρωται γὰρ ἀπὸ τῆς ἄνω γνάθου καὶ ἀπὸ τῆς κεφαλῆς. Διότι μὲν οὖν ἐν σπασμοῖσί τε καὶ τετάνοισι [7] πρῶτον τοῦτο τὸ ἄρθρον ἐπισημαίνει ξυντεταμένον καὶ διότι πληγαὶ καίριοι καὶ καροῦσαι [8] αἱ κροταφίτιδες γίγνονται, ἐν ἄλλῳ λόγῳ εἰρήσεται. Περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρέειν, — τάδε τὰ αἴτια· αἴτιον δὲ καὶ τόδε, ὅτι οὐ μάλα καταλαμβάνουσι τοιαῦται ἀνάγκαι βρωμάτων ὥστε τὸν ἄνθρωπον χανέειν μέζον ἢ ὅσον δύναται· ἐκπέσοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου σχήματος ἢ ἀπὸ τοῦ

facta est potissimum imminuuntur. Adultis vero eadem magnitudine perseverant.

78. At maxilla paucis adhuc in totum emota est. Os enim a superiore maxilla procedens cum eo osse, quod sub aurem annexum est, quasi sub iugum cogitur, quod maxillae inferioris caput interclusit et uno quidem capite sublimius, altero vero depressius exsistit. Inferioris item maxillae extremorum unum quidem ob longitudinem non facile elabitur; alterum vero recurvum est et supra os iugale eminet. Simul quoque ex utrisque extremis nervosi tendones exoriuntur, ex quibus annexi sunt musculi, qui temporales et masticatorii dicuntur. Qui quod ex his dependeant, inde appellationem et motionem sumpserunt. Etenim inter edendum et loquendum et in reliquo oris usu maxilla superior quiescit. Capiti namque connectitur, non articulorum modo committitur. At inferior maxilla movetur. Articulatione namque a superiore maxilla et capite diducitur. Quam igitur ob causam convulsionum ac nervorum distentionum hic articulus ubi contrahitur primam de se significationem edat, aut quam ob rem temporum vulnera periculi plena sint et altum soporem inferant, alias dicendum erit; quod vero non admodum prolabitur hae causae sunt. Illud quoque in causa est, quod nulla tanta ciborum necessitas hominem supra quam possit hiare cogit. In nullo autem alio habitu prolabetur quam si

[1] ἤδη τελέως. — [2] τά τε ἄκρα. — [3] τὸ κορ. — [4] ἀπ' om. — [5] τῶν ἄκρων om. — [6] διήρθρωνται. — [7] τοῦτο γὰρ πρῶτον, sed γάρ punctis subnotatum. — [8] καὶ κροτ.

Littr.; — τοῦ ὀλισθ. κάτω E.; — e Marc. adnotatum video ἐξαρθρήσαντα τὰ ὀστέα συνήρθρωται κάτω; — ἢ ὡς ceteri, nisi quod Ald. ὡς om.; dedi ἢ ᾗ uti § 76., ubi cf. varr. lectt.

78. γνάθος — κεφαλέων.] ἤδη τελέως, uti V., edd. antt. Parr. 7.; — ὀστέον τε γάρ vulg., τε omm. C. Dietz. p. 19; illud ὀστέον τε γάρ mihi natum videtur ex τὸ ὀστέον γάρ, quod reposui; — πρὸς τὸ ὑπὸ τό M.; — ἀποκλέει Marc.; — κεφαλαίων vulg., κεφαλέων Marc. et Littr. cum mss. 8.

τὰ δὲ — κεφαλῆς.] δέ M. N., Littr., τε vulg.; — ἄκρεα vulg., ἄκρα Marc.; — εὐπαρείσδυτον codd., εὐπαράδυτον C., Marc.; Foës. legit εὐπαρέκδυτον de coniectura; licet non prorsus male εὐπαράδυτον C., Marc. ferant, sine dubio tamen vulgata ex εὐπαρέκδυτον nata est et hoc solum dare oportet. Porro τὸ δ' αὖ τὸ κορ. vulg., alii αὐτό pro αὖ τό, sed τό recte omm. ante κορ. Marc., H. M. N. Littr.; — κόρωνον vulg., sed κορωνόν Littr. e codd. nonnullis, itemque infra, quod non amplius noto; — ἀπ' B. N., ἐπ' M., vulgo om., uti in V.; — μασσητῆρες vulgo, μασητῆρες tamen non pauca mss. recte; — Gal. in comm. p. 433. narrat alios suo tempore libros tulisse συνήρθρωται pro ξυνήρτηται; cf. lectionem Marciani ad finem § 77. memoratam in adn.

διότι — εἰρήσεται.] τε καί B. M. N., τε om. vulg.; — πρῶτον τοῦτο iidem et Littr., τοῦτο πρ. vulg.; — ἐπισημαίνει ex edd. antt. et mss. revocavit Littr., σημαίνει vulg. — καί ante καροῦσαι omm. non pauci codd., et Gal; — Marc. καίριοι καὶ καιροῦσαι, sed m. pr. in marg.; ἕτερον καροῦσαι εἶχεν; — καὶ ἐν ἄλλῳ vulg., καί omm. Gal., mss. multa, Littr., omittit etiam Marc.

περὶ δὲ — θάτερα.] τά ante αἴτια e vulg. exciderat, revocavit ex edd. antt. et mss. plurimis Littr.; — τῶν βρωμ. J.; — χαν. τ. ἄνθρ. idem; — χάνειν M., χαίνειν B. N.; — μετάγειν Dietz. p. 19. pro παραγαγεῖν.

[1] μέγα χανόντα παραγαγεῖν τὴν γένυν ἐπὶ θάτερα. Προσξυμβάλλεται μέντοι καὶ τόδε πρὸς τὸ ἐκπίπτειν· ὁκόσα γὰρ νεῦρα καὶ ὁκόσοι μύες παρὰ ἄρθρα εἰσὶ, ἢ ἀπὸ ἄρθρων ἀφ' ὧν ξυνδέδενται, τούτων ὅσα ἐν τῇ χρήσι πλειστάκις διακινέεται, ταῦτα καὶ ἐς τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει. Περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτει μὲν γνάθος ὀλιγάκις· σχᾶται μέντοι πολλάκις ἐν χάσμῃσι, ὥσπερ καὶ ἄλλαι [2] πολλαὶ μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιέουσι. [3] Δῆλον μὲν οὖν ἐκ τῶνδε μάλιστά ἐστι, ὁκόταν ἐκπεπτώκῃ· [4] προΐσχει γὰρ ἡ κάτω γνάθος ἐς τοὔμπροσθεν καὶ παρῆκται τἀναντία τοῦ ὀλισθήματος καὶ τοῦ ὀστέου τὸ κορωνὸν ὀγκηρότερον φαίνεται παρὰ τὴν ἄνω γνάθον καὶ χαλεπῶς ξυμβάλλουσι τὰς κάτω γνάθους. Τούτοισι δὲ ἐμβολὴ πρόδηλος, ἥτις γένοιτ' ἂν ἁρμόζουσα· χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τετρωμένου, τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου ὅσον μετρίως δύναται, πρῶτον μὲν διακινέειν χρόνον τινὰ τῇ καὶ τῇ παράγοντα τῇ χειρὶ καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον ἔχειν καὶ ξυμπαράγειν καὶ ξυνδιδόναι ὡς μάλιστα· ἔπειτα ἐξαπίνης σχάσαι τρισὶ σχήμασι ὁμοῦ προσέχοντα τὸν νόον· [5] δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς ἐς τὴν φύσιν, δεῖ δὲ ἐς τοὐπίσω ἀπωσθῆναι τὴν γνάθον τὴν κάτω, δεῖ δὲ ἑπό-

quis vehementer hiando maxillam in alteram partem contorqueat. Ad id tamen ut excidat hoc confert, quod ex nervis aut musculis, qui iuxta articulos sunt, aut ad eos annectuntur, quicumque in usu crebro dimoventur, ii in extendendo plurimum concedere solent, non secus ac coria optime subacta plurimum extensioni cedunt. Ergo ut ad institutum sermonem redeam, maxilla raro quidem excidit, laxatur tamen plerumque hiando, non secus atque in aliis musculorum et nervorum immutationibus illud usu venit. Ubi vero excidit, his potissimum indiciis patet: inferior maxilla in anteriorem partem prominet et in alteram luxationis partem pervertitur, ossisque extremitas, quae recurva est, ad superiorem maxillam magis intumescit et aegri inferiores maxillas difficulter committunt. Atque his quaenam repositio conveniat, satis patet. Uno enim vulnerati caput continente, alter inferiorem maxillam homine quam moderate potest hiante ad mentum tum interiore tum exteriore parte digitis apprehendere debet, ac primum quidem maxillam in hanc vel illam partem manu deductam aliquamdiu commovere, tum aegro imperare ut maxillam relaxet et simul deducentem adiuvet atque quam maxime fieri possit concedat; deinde ad tres figuras simul adhibito consilio subito impulsu in suam sedem transferre. Si quidem ex perversione ad naturalem sedem inferior maxilla deducenda est et in posteriorem partem propellenda. Tum aeger his obsequens maxillas committere ac minime hiare debet. Ac

[1] μεγάλα χανῶντα. — [2] πολλαί om. — [3] δῆλον δὲ τοῖσι μάλιστα. — [4] προΐσχεται. — [5] χρή.

προσξυμβάλλεται — ἔχει.] ὁκόσοι ante μύες om. Dietz. p. 19.; — τὰ ἄρθρα vulg., τά ante ἄρθμα omm. Gal., mss. Parr. 11., Marc.; — ἐστίν Dietz. pro εἰσίν; — ξυνδέδεται G. J., Dietz.; — ταῦτα μέν vulg., ταῦτα καί Littr. cum edd. antt., mss. plerisque, Gal.; — καταστάσιας nonnulla mss.; — ἐπιδιδόναι δύναται Dietz. Ad εὐδεψητότατα in nonnullis mss. glossa τὰ κάλλιστα μεμαλαγμένα e Galeni comm. (p. 436.) ducta olim adscripta fuit. quae in textum irrepsit in libris nonnullis et variae corruptioni ansam praebuit; unde tamen nihil discis. — Tandem ἐπίδοσιν ἔχειν C.

περὶ οὗ οὖν — ποιέουσι.] ἔσχαται C. Marc.; — σχᾶται exponit Gal.: ἐκ τῆς κατὰ φύσιν θέσεως εἰς ἑτέραν μεθίστασθαι (comm. p. 437.); servavi Foësii interpretationem. Dein χάσμῃσι Parr. 9., Littr., χάσμασι vulg.; — ὥσπερ — ποιέουσι om. Dietz.; — τῶν ἄλλων pro ἄλλοι E. Q.'; — πολλαί B. et N., sed punctis subnot., Littr., vulgo om.

δῆλον — γνάθους.] δῆλον δὲ τοισίδε μάλιστα vulg.; Littr. introduxit lectionem mss. B. M. N., δῆλον μὲν οὖν ἐκ τῶνδε μάλ., in marg. tamen vulgata adponitur; sunt pauci Parr., qui lect. ferunt eandem ac V. Potes puto utramlibet lect. dare. Tum ὁκόταν B. M. N., ὅταν vulg.; — προΐσχεται Ald., Marc., alii codd. multi; — γίνεται pro φαίνεται nonnulli libri; — πρὸς τήν E. Q.'

τούτοισι — χάσκειν.] δέ om. Marc.; — γενοιτ' H. J.; — τινα om. Dietz. p. 20.; — τοῦ τετρωμ. om. idem; — τὴν κάτω γνάθον χρόνον τινά B. et N., ubi κάτω lin. subiecta notatur, et Littr., vulgo vero κάτω abest; equidem totum illud τὴν κάτω γν. h. l. reiicio; emblema alienum est; —

μενον τούτοισι ξυμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. [1]Ἡ ἐμβολὴ μὲν οὖν αὕτη καὶ οὐκ ἂν γένοιτο ἀπ' ἄλλων σχημάτων. Ἰητρείη δὲ βραχεῖα [2]ἀρκέει· σπλῆνα προστιθέντα κεκηρωμένον χαλαρῷ ἐπιδέσμῳ ἐπιδεῖν. Ἀσφαλέστερον δὲ χειρίζειν ἐστὶ ὕπτιον κατακλίναντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκυτίνου ὑποκεφαλαίου ὡς πληρεστάτου, ἵνα ὡς ἥκιστα ὑπείκῃ· προσκατέχειν δέ τινα χρὴ τὴν κεφαλὴν τοῦ τετρωμένου.

reponendi quidem ratio haec est, quae ne alio quidem habitu administrari possit. Curatio vero brevis satis est, splenia incerata adhibita, laxa vincula alligata. Tutius autem manus admoventur homine supino inclinato, eius capite scorteo pulvino bene farcto obnixo, ut quam minime cedat. Praeterea vero vulnerati caput aliquis contineat.

οθ'. Ἢν δ' ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσι, ἡ μὲν ἴησις ἡ αὐτή. Ξυμβάλλειν δ' ἔτι ἧσσον οὗτοι τὸ στόμα δύνανται· καὶ γὰρ προπετέστεραι αἱ γένυες τούτοισι, [3]ἀστραβέες δέ· τὸ δὲ ἀστραβὲς μάλιστ' ἂν γνοίης τοῖσι ὁρίοισι τῶν ὀδόντων τῶν τε ἄνω καὶ τῶν κάτω κατ' ἴξιν. Τούτοισι ξυμφέρει ὡς τάχιστα ἐμβαλέειν· ἐμβολῆς δὲ ὁ τρόπος πρόσθεν εἴρηται. Ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς ὑπὸ πυρετῶν ξυνεχέων καὶ νωθρῆς καρώσιος· φιλέει δὲ καὶ ἡ γαστὴρ ὑποχωρέειν τούτοισι χολώδεα, ἄκρητα, ὀλίγα· καὶ ἢν ἐμέωσι, ἄκρητα ἐμέουσι· οὗτοι οὖν καὶ θνήσκουσι δεκαταῖοι μάλιστα.

79. At si utraque parte maxilla luxetur, eadem sane curatio est, sed os etiam minus committere hi possunt. Etenim iis mentum in exteriorem partem magis promovetur, minime tamen torquetur. Ac minime torqueri potissimum ex dentium finibus deprehendes, cum inferiores superioribus ex adverso respondent. His quam celerrima repositio confert, cuius ratio supra est explicata. Alioqui nisi intro reverterit, periculum ex febribus assiduis et tardante alto sopore vitae imminet. Ii quoque biliosa, sincera pauca alvo excernere solent et si vomitus adfuerit, sincera vomitione reddere. Moriuntur igitur ii etiam fere decimo die.

π'. Ἢν δὲ καταγῇ ἡ κάτω γνάθος, ἢν μὲν μὴ ἀποκαυλισθῇ παντάπασι, ἀλλὰ ξυνέχηται τὸ ὀστέον, ἐκκεκλιμένον δὲ ἔῃ, κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον, παρά γε τὴν γλῶσσαν πλαγίην ὑπείραντα τοὺς δακτύλους, τὸ δὲ ἔξωθεν [4]ἀντερείδοντα, ὡς ἂν ξυμφέρει· [5]καὶ ἢν διεστραμμένοι ἔωσι οἱ ὀδόντες οἱ κατὰ τὸ τρῶμα [6]καὶ κεκινημένοι, ὁκόταν τὸ

80. At ubi inferior maxilla fracta fuerit, si quidem non omnino transversa fracta est, verum os adhuc cohaeret, sed in aliquam partem inclinatur, illud quidem digitis ad linguam in latus adductam appressis, tum vero exteriore parte quoad expediet obnitendo, dirigendum. Ac si dentes iuxta vulnus distorti sint et dimoti, ubi os in suam sedem collocatum fuerit, non tan-

[1] ἡ om. — [2] ἀρκέσει σπλ. μὲν προστ. — [3] ἀστρεβέες δὲ τὸ δὲ ἀστρεβέες. — [4] ἀντερείδειν. — [5] κἢν. — [6] καί om.

ἔχειν καί om. Dietz.; — σπάσαι καὶ ἀναλήψει γενείου τρισὶν ὁμοῦ σχήμασιν idem; — χρή, uti V., Marc., alii multi codd.

ἰητρείη — ἐπιδεῖν.] ἀρκέσει Parr. 5., uti V.

ἀσφαλέστερον — τετρωμένου.] Vulgo ἐπί cum accus.; cum genitivo dedit Littr. e plerisque mss.

79. ἢν δ' ἀμφότεραι — ἴξιν.] ἐὰν ἐξαρθρήσωνται ἀμφότεραι αἱ γνάθοι nonnulla mss.; ἢν δὲ ἀμφ. M. N.; δέ τι vulgo, δ' ἔτι de meo dedi; — προυπετεστεραι Parr. 8., Marc.; — μάλιστα ἂν iidem.

τούτοισι — εἴρηται.] ὥς τε ξυμφέρει ἐμβαλέειν C.; — ὡς τάχιστα ἐμβαλέειν Marc., ἐμβάλλειν vulg.; — ὁ ante τρόπος de meo.

ἢν δὲ μὴ — μάλιστα.] Post νωθρῆς καρώσιος cett.: καρώδεες γὰρ οἱ μύες οὗτοι καὶ ἀλλοιούμενοι καὶ ἐντεινόμενοι παρὰ φύσιν, quae antiqua lectoris alicuius adnotatio, quam Gal. interpretatur in comm.; — porro ἢν ἐμέσωσι M. N., in N. tamen prius σ notatur, μὲν ἐμ. E.; — ἄκρητα ἐμέσουσι M.; — post οὖν addit τοίνυν N., sed obliteratum est et natum ex ultima syllaba pronominis et οὖν ipso.

80. ἢν δὲ — χαλαροῖσι.] ἐκκεκλιμένον E. J. K. U., Littr., ἐγκεκλιμ. vulg., ἐκκεκλασμένον C., Marc., ἐγκεκλασμένον C. Ald.; — δεῖ pro χρή F. G.; — ἀντερείδοντα Littr. ex N., ubi mutatum in vulg. lectionem, quam e V. notavi; — ὡς ἂν ξυμφέρῃ vulg., sequor M. N.; — καὶ ἢν B. M. N. Littr., κἤν alii Parr. 7., Marc., κἢν μέν K., κἄν vulg.; — καὶ κεκιν. B. M. N., καί om. vulg.; — ἐπὶ πλέονας B. N., sed in hoc ἐπί deletur; — μάλιστα δὲ δή

ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς ἀλλήλους, μὴ μόνον τοὺς δύο, ἀλλὰ καὶ πλέονας, μάλιστα [1] μὲν δὴ χρυσίῳ, ἔστ' ἂν [2] κρατυνθῇ τὸ ὀστέον, εἰ δὲ μή, [3] λίνῳ· ἔπειτα ἐπιδεῖν κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι ὀλίγοισι, μὴ ἄγαν ἐρείδοντα, ἀλλὰ χαλαροῖσι. Εὖ γὰρ εἰδέναι χρὴ ὅτι ἐπίδεσις [4] ὀθονίων γνάθου καταγείσης μικρὰ μὲν ἂν ὠφελέοι, εἰ χρηστῶς ἐπιδέοιτο, μεγάλα δ' ἂν βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο. Πυκινὰ δὲ παρὰ τὴν γλῶσσαν [5] ἐσμάσασθαι χρὴ καὶ πουλὺν χρόνον ἀντέχειν τοῖσι δακτύλοισι κατορθοῦντα τοῦ ὀστέου τὸ ἐκκλιθέν· ἄριστον δὲ, εἰ αἰεὶ δύναιτο, ἀλλ' οὐχ οἷόν τε.

tum duo proximi, verum etiam plures, praecipue quidem aureo filo, vel certe lineo inter se sunt colligandi, quoad os confirmetur. Deinde cerato et paucis spleniis iniectis paucisque fasciis non valde appressis, sed laxioribus, vinctura facienda. Nosse namque oportet linteorum deligationem malae fractae parum quidem prodesse, si recte adhibeant; sin prave, magnopere laedere. Crebro autem circa linguam attrectaudo investigare, diuque renitendo digitis os inclinatum dirigere convenit. Ac praestaret id semper fieri, sed non licet.

πα'. Ἢν δὲ ἀποκαυλισθῇ παντάπασι τὸ ὀστέον, — ὀλιγάκις δὲ τοῦτο γίγνεται, — κατορθοῦν μὲν χρὴ τὸ ὀστέον οὕτω, ὥσπερ εἴρηται. Ὅταν δὲ κατορθώσῃς, τοὺς ὀδόντας χρὴ ζευγνῦναι, ὡς [6] πρόσθεν εἴρηται· μέγα γὰρ ἂν ξυλλαμβάνοι ἐς τὴν ἀτρεμίην προσέτι καὶ [7] εἴ τις ὀρθῶς ζεύξει, ὥσπερ χρὴ τὰς ἀρχὰς ῥάψας. Ἀλλὰ γὰρ οὐ ῥηΐδιον ἐν γραφῇ [8] χειρουργίην πᾶσαν ἀτρεκέως [9] διηγέεσθαι, ἀλλὰ καὶ αὐτὸν ὑποτοπέεσθαι χρὴ ἐκ τῶν γεγραμμένων. Ἔπειτα χρὴ δέρματος Καρχηδονίου, — ἢν μὲν νηπιώτερος ἔῃ ὁ τρωθεὶς, ἀρκέει τῷ [10] λοπῷ χρέεσθαι, ἢν δὲ τελειότερος ἔῃ, αὐτῷ τῷ δέρματι, — [11] ταμόντα δὲ χρὴ εὖρος ὡς [12] τριδάκτυλον, ἢ ὅκως ἂν ἁρμόζῃ, ὑπαλείψαντα κόμμι τὴν γνάθον, — ἐμμενέστερον γάρ, — προσκολ-

81. Quodsi os transversum omnino fractum sit, quod tamen raro accidit, eo quidem, quo dictum est, modo in suam sedem collocari debet. Quo facto dentes inter se, velut ante dictum est, colligandi. Id enim magnopere ad quietem contulerit, idque magis si quis recte eos coniunxerit filorum extremis recte nexis. At vero universam per manus curationem exacte scriptis prodere non est facile, sed ex his quae scripta sunt ipsum etiam excogitare oportet. Deinde ex corio Carthaginiensi, cuius quidem cortex exterior, si puer sit qui vulneratus est, satis fuerit, sin adultus, ipso corio utendum, incisa habena trium digitorum, vel ea quae congruit latitudine sublita gummi maxilla, quippe firmius adhaeret, qua transversa fracta est extrema corii parte agglutinetur,

[1] μὲν δὴ χρ. — [2] κρατηθῇ. — [3] ἐν λίνῳ. — [4] ὀθονίω γνάθω καταγείση. — [5] ἐσματεῖσθαι. — [6] ἔμπροσθεν. — [7] εἰ — ζεύξει. — [8] χειρουργίην. — [9] ἡγέεσθαι ἀλλ' ὑποτυπέεσθαι χρὴ ἀπὸ τῶν γεγρ. — [10] λοιπῷ. — [11] τὰ μὲν τὰ δὲ χρή. — [12] δάκτυλον.

vulg., μέν C., et N. cum δεῖ supra versum, μὲν δή, uti V., Parr. 6., μὲν δεῖ M., μὲν δέ B., μάλιστα μὲν χρυσίωι Marc.; — χρυσῷ N., sed σιω supra versum; — κρατυνθῇ Littr. cum mss. 7., κρατηθῇ vulg.; — vulgo ἐν λίνῳ, praep. omm. B. C. M. N. Marc., Littr.; — σπλήνεσι ὀλίγοισι vulg., ὀλιγ. h. l. omm. M. N.

εὖ γὰρ — ἐπιδέοιτο.] γνάθω (cum ου supra ω alia m.) καταγείσῃ (cum ης supra ῃ al. m.) H.; — γνάθῳ καταγείσῃ vulg.; cum Littréo sequor secundam manum in H.; — ὠφ. ἂν B. M. N.; — μεγάλα — ἐπιδέοιτο om. N.; — δὲ ἂν M. N.

πυκινὰ — οἷόν τε.] πυκινά N. ex correctione, πυκνά vulg.; — παρά Gal., Ald., Parr. 9., Littr., περί vulg.; — ἐσμάττεσθαι vulg., ἐσματέεσθαι B. M. N., Littr., ἐσματεῖσθαι cod. Sev., uti V., item Marc.; equidem aoristum notum ἐσμάσασθαι de meo dedi; — ἐγκλιθέν vulg., ἐκκλιθέν Marc., E. J., Littr.

81. ἢν δὲ — ῥάψας.] οὕτω Parr. 5., Littr., οὕτως vulg.; — ὥσπερ pro vulgato καθάπερ C., Marc.; — πρόσθεν B. M. N., Littr., vulg. e V. notavi; — ἐς τὸ ἀτρεμέειν B., sed punctis subnotatum, H., N. cum τὴν ἀτρεμίην; — δὲ καὶ ἤν τις s. εἴ τις B. F. G. M. N.; — alii codd. ἢν — ζεύξῃ, vulgo εἰ — ζεύξει; — vulgo ῥαφάς, sed C. K. et E. in marg., Littr. ἀρχάς, quod in Marc. etiam pr. m. in marg.

ἀλλὰ γὰρ — γεγραμμένων.] διηγέεσθαι mss. 8., Littr., ἡγέεσθαι vulg.; — ἀλλὰ καὶ αὐτόν B. C. N., Marc., in marg., Littr., ἀλλ' solum vulg.; — ὑποτυπέεσθαι vulg., ὑποτοπέεσθαι Erot. p. 876., unde Schneiderus in Lex., Littr. ὑποτοπέεσθαι hîc legunt; — ἀπό vulg., ἐκ Parr. 5., Littr.

ἔπειτα χρὴ — γενείου.] ἢν νηπ. sine μέν M.; — νηπιώτερον, quod V. etiam fert, e multis mss. Littr., νεώτερον vulg.; — ὁ τρ. ἔῃ B. M.; — ταμόντα C. E., Marc., Merc.

λῆσαι [1] τὴν δέρριν ἄκρην πρὸς τὸ ἀποκεκαυλισμένον τῆς γνάθου, [2] ἀπολιπόντα ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος ἢ ὀλίγῳ πλέον· τοῦτο μὲν ἐς τὸ κάτω μέρος· ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἴξιν τοῦ γενείου ὁ ἱμὰς, ὡς ἀμφιβεβήκῃ ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου. Ἕτερον δὲ ἱμάντα τοιοῦτον, ἢ ὀλίγῳ πλατύτερον προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου [3] ἀπολιπόντα καὶ τοῦτον ἀπὸ τοῦ τρώματος, ὅσονπερ ὁ ἕτερος ἀπέλιπε· ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὴν ἀμφὶ τὸ οὖς περίβασιν. [4] Ἀπόξεες δ' ἔστωσαν οἱ ἱμάντες ἀμφὶ τὴν ξυναφήν· ἐν δὲ τῇ κολλήσι ἡ σὰρξ τοῦ σκύτεος πρὸς τοῦ χρωτὸς ἔστω, ἐχεκολλότερον γὰρ οὕτως. Ἔπειτα κατατείναντα χρὴ καὶ τοῦτον τὸν ἱμάντα, μᾶλλον δέ τι τὸν περὶ τὸ γένειον, [5] μὴ ἀπομυλλαίνῃ, ξυνάψαι τοὺς ἱμάντας κατὰ τὴν κορυφὴν, κἄπειτα περὶ τὸ μέτωπον ὀθονίῳ καταδῆσαι καὶ κατάβλημα χρὴ εἶναι, ὥσπερ νομίζεται, ὡς ἀτρεμέῃ τὰ δέσμα. Τὴν δὲ κατάκλισιν ποιεέσθω ἐπὶ τὴν ὑγιέα γνάθον μὴ τῇ γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ. Ἰσχναίνειν δὲ χρὴ τὸ σῶμα ἄχρι ἡμερέων δέκα, ἔπειτα ἀνατρέφειν μὴ βραδέως· ἢν γὰρ ἐν τῇσι πρώτῃσι ἡμέρῃσι μὴ φλεγμήνῃ, ἐν εἴκοσι ἡμέρῃσι ἡ γνάθος κρατύνεται· ταχέως γὰρ ἐπιπωροῦται, ὥσπερ καὶ τὰ ἄλλα τὰ ἀραιὰ

digiti, vel paulo ampliore interposito spatio, idque inferiore parte. Incidatur autem haec habena e regione menti, ut acutam eius partem utrimque comprehendat. Tum altera huiusmodi habena, vel paulo latior ad superiorem maxillae partem agglutinanda, tantum a vulnere quantum altera recedens, quae qua parte aurem circumdat incisuram habeat. Habenae autem qua parte committuntur inter se acutae esse debent, in glutinando vero corii caro cuti obvertatur, sic enim firmius adhaerescet. Deinde extendenda haec habena, magisque ea, quae est ad mentum, ne os distorqueat, et utraque supra verticem connectenda. Posteaque circa frontem fascia devincienda, quae omnibus reliquis iniici debet, ut fieri assolet, quo vincula immota maneant. In maxillam vero sanam decumbendum, non maxillae, sed capiti innitendo. Corpus ad decimum usque diem attenuandum, deinde non tarde reficiendum. Nam si primis diebus inflammatio non accesserit, viginti diebus maxilla firmatur. Cito enim callum obducit, non secus ac reliqua ossa rara, nisi siderentur. Verum de sideratione universorum ossium alia longe restat tractatio. Haec extensio, quae per glutinum adhibetur, firmiter haeret facileque procuratur et ad multas et frequentes directiones faciendas perquam est accommodata. At

[1] τὴν δέριν ἄκρον. — [2] ἀπολιπόντα om. — [3] ἀπολιπόντα. — [4] ἀπόξεες δ' ἔστωσαν. — [5] μή om. et tum ἀπομυλαίνει.

in marg., Littr., τάμνοντα vulg.; vulgo δέ abest, dedit Littr. ex mss. 7.; — ἁρμόζῃ vulg., ἁρμόζοι Parr. 5.; — εὐμενέστερον γὰρ κόλλῃ (κόλλης H.) προσκολλῆσαι vulg., quam de coniectura emendo; — τὴν δέριν vulg., τὴν δέρριν E. L., τὸ δέρμα B. C. M. N., in marg., Marc., quam glossam in textum recipere non debuerat Littr.; — δέρρις apud comicos Atticos occurrit; vid. indicem ad Meinekii fragm. Comm. Porro τῆς γν. τὸ ἀποκεκ. Marc., B. M. N.; — ἀπολείποντα, ubi in V. et in vulg. deëst, ex mss. dedit Littr. et fert Marc., at ἀπολιπόντα legunt alii, quod praefero; — δ' ἐντομήν C.; — ἀμφιβεβήκει vulg., ἀμφιβεβήκῃ Littr. e mss. pluribus; fert etiam Marc.

ἕτερον — περίβασιν.] ἀπολείποντα Marc., Littr. cum Parr. 6., servo vulgatam; — κατὰ τοσοῦτον vulg., καὶ τοῦτον Marc., Littr. e mss. pluribus; — ἀπέλειπεν Parr. 4., Marc.

ἀπόξεες — οὕτως.] δ' ἔστωσαν Gal., Marc., Parr. 6., δὲ ἔστ. vulg. Post ξυναφήν vulgo: ἔνθα συνάπτεσθαί τε καὶ συνδεῖσθαι εἰς (δεῖ Lind. pro εἰς) τὰ πέρατα τῶν ἱμάντων (τὰ τῶν ἱμ. τέρματα E.) — Quae verba, quum in uno tantum mss. O. reperiret Littr., scholion omisit; consentio, desunt etiam in Marc. Tum ἐχεκολλώτερον edd. antt., Gal., mss. 5. Parr.

ἔπειτα — δέσμα.] κατατείνοντα B.; — καὶ τοῦτον χρή B. M. N.; — χρὴ τῇ καὶ τῇ C. et in marg. m. sec. in Marc.; — ἐς ὅτι μάλιστα B. M. N., sed M. N. in marg. ὡς; vulgo vero ὡς ὅτι μάλιστα μὴ ἀποσμιλαίνει ἡ γνάθος; dubium tamen non est quin sit servanda negatio et quin ὡς ὅτι μάλιστα contra sit abigendum; tum vitiosam formam ἀποσμιλαίνειν ex ἀπομυλλαίνειν ortam esse dudum docuit Foës. in Oecon.; — libri scripti nonnulli ἀπομυλαίνει et ἀπομυλαίνῃ quod Marc. etiam habet; Foës. monuit ex Erot. ἀπομυλλήνῃ esse legendum, quod dedit Littr.; — sed restat sic μὴ ἀπομυλλήνῃ ἡ γνάθος, quod mirum: nempe ἀπομυλλαίνειν homo potest, ἡ γνάθος vero non potest; itaque emblema alienum ἡ γνάθος abieci; — καὶ ἔπειτα pr. m. in N.; — κατὰ τὸ μετ. M. N.; — παρὰ τὸ μετ. B.; — ἀτρεμέει C., ἂν ἀτρεμοίη B. M. (ἀτρεμέοι N.)

ἰσχναίνειν — ἐπισφακελίσῃ.] ἄχρις B. M. N.; — ἢν γὰρ οὖν τῇσι vulg., ἐν pro οὖν Littr. e mss. 13., οὖν ἐν E., sed οὖν al. m. adpictum; — ἡ ante γνάθος omm. mss. 12.; — ταχέως Littr. e mss. 14., τελέως vulg.; ὡς καί B. M. N.; — τὰ ἄλλα C. M. N., τἄλλα vulg.

ὀστέα, ἣν μὴ ἐπισφακελίσῃ. Ἀλλὰ γὰρ περὶ σφακελισμῶν τῶν ξυμπάντων ὀστέων ἄλλος μακρὸς λόγος λείπεται. Αὕτη ἡ διάτασις ἡ ἀπὸ τῶν κολλημάτων ἐμμενὴς, καὶ [1]εὐταμίευτος καὶ ἐς πολλὰ καὶ πολλαχοῦ διορθώματα εὔχρηστος. Τῶν δὲ ἰητρῶν οἱ μὴ ξὺν νόῳ εὔχειρες καὶ ἐν ἄλλοισι τρώμασι τοιοῦτοί εἰσι καὶ ἐν γνάθων κατήξισι· ἐπιδέουσι γὰρ [2]γνάθον καταγεῖσαν ποικίλως καὶ καλῶς καὶ κακῶς. Πᾶσα γὰρ [3]ἐπίδεσις γνάθου οὕτω καταγείσης ἐκκλίνει τὰ ὀστέα [4]τὰ ἐς τὸ κάτηγμα ῥέποντα μᾶλλον ἢ ἐς τὴν φύσιν ἄγει.

medici imprudenter ad manus proclives cum in aliis vulneribus tum etiam in maxillarum fracturis facile manum admovent. Fractam enim maxillam variis modis et speciose et prave devinciunt. Quaecumque si quidem ita fractae maxillae deligatio admovetur, ea ossa ad fracturam tendentia eo potius inclinat quam in naturalem statum reducat.

πβ′. Ἢν δὲ ἡ κάτω γνάθος κατὰ τὴν ξύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ, — μούνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστι, ἐν δὲ τῇ ἄνω πολλαί· ἀλλ' οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον, ἐν ἄλλοισι γὰρ εἴδεσι νοσημάτων περὶ τούτων ῥητέον, — ἢν οὖν διαστῇ ἡ κατὰ τὸ γένειον ξύμφυσις, κατορθῶσαι μὲν παντὸς ἀνδρός· τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθέειν χρὴ ἐς τὸ ἔσω μέρος προσβαλόντα τοὺς δακτύλους· τὸ δ' εἴσω ῥέπον ἀνάγειν ἐς τὸ ἔξω μέρος, ἐνερείσαντα τοὺς δακτύλους. Ἐς διάστασιν μέντοι διατεινάμενον ταῦτα χρὴ ποιέειν· ῥᾷον γὰρ οὕτως ἐς τὴν φύσιν ἥξει, ἢ εἴ τις [5]ἐγχρίμπτοντα ἐς ἄλληλα τὰ ὀστέα [6]παραναγκάζειν πειρᾶται. Ὁκόταν δὲ [7]κατορθώσῃς, ζεῦξαι μὲν χρὴ τοὺς ὀδόντας τοὺς ἔνθεν καὶ ἔνθεν πρὸς ἀλλήλους, ὥσπερ καὶ πρόσθεν εἴρηται. Ἰή-

82. Quodsi maxilla inferior qua parte ad mentum cohaeret diducatur, — unica autem haec est in inferiore maxilla iunctura et in superiore multae; sed non est instituti nostri longius a proposito sermone aberrare; in reliquis enim morborum generibus de his dicendum erit; — si ergo dissideat quae in mento iunctura est, eam quidem componere quivis possit. Nam quod foras eminet admotis digitis intro propellere oportet, quod intro vergit in exteriorem partem adducere digitis annitendo. Id autem ea distensione adhibita, ut ossa inter se distent, faciendum. Hoc enim modo facilius in suum statum redibunt quam si quis illisa inter se ossa compellere conetur. Ossibus vero coaptatis dentes hinc et inde velut quoque prius dictum est, inter se sunt alligandi curatioque cerato et spleniis paucis ac fasciis insti-

[1] εὐμεταμίευτος. — [2] τὴν γν. — [3] ἔνδεσις. — [4] τά om. — [5] ἐγχρίπτων. — [6] παραναγκάζειν. — [7] κατορθώσῃ.

ἀλλὰ — λείπεται.] περί ex edd. antt. et mss. revocavit Littr., ἐπί vulg.; — μικρὸς λόγος O.

αὕτη — εὔχρηστος.] διάστασις vulg., διάτασις Marc., Littr. e mss. 11.; — εὐμενής omnes, ἐμμενής de meo; — cod. Serv. eandem lect., quam V., habet in εὐταμίευτος; — tum H. πολλαχοῦ (ῆ superscr.).

τῶν δὲ — κακῶς.] τρώμασι om. K.; — τὴν γν. καταγ. vulg., τήν omm. Marc., C. M. N. H., Littr.; — καὶ κακῶς om. N., sed rest.

πᾶσα — ἄγει.] ἔνδεσις Gal., Parr. nonnulli, uti V.; — τά ante ἐς τό omm. M. N.

82. ἢν δὲ — δακτύλους.] ῥητέον pro vulgato λεκτέον Marc., C., εἴρηται B. (N. cum λεκτέον); — κατορθῶσαι παντός N., sed μέν rest.; — vulgatum ἐστι post ἀνδρός, uti V., omm. Marc., Parr. 5.; — προσβάλλοντα vulg., aoristum pauca mss. praebent; — δ' εἴσω M. N., δὲ εἴσω vulg.; — ἀπάγειν C. pro ἀνάγειν idemque fert Marc. in marg.; — ἐρείσαντα N., sed in ἐνερείσ. mutatum.

ἐς διάστασιν — εἰδέναι.] διατεινάμενοι vulg., cum Littréo sequor B. M. N.; — οὕτως om. C.; — pro εἰ C. ἐάν, om. εἰ E., εἴ τις ἐγχρίμπτοντα B. M. N., ῥᾷιον γὰρ ἐς τὴν φύσιν ἥξει ἢ ἐὰν ἐγχρίμπτοντα ἐς ἄλληλα τὰ ὀστέα παραναγκάζοι τις. πειρᾶται Marc.; — εἰ ἐγχρίμπτων τις vulgata pessime; πρὸς ἄλληλα pauca mss.; — καταναγκάζειν ex solo H., ubi ex emend. legitur, Littr. Mihi auctor παραναγκάζειν omnino dedisse videtur, quippe hoc cum ἐγχρίμπτοντα ἐς ἄλληλα pulchre congruit; — τι πειρᾶται B. M. N., τις πειρ. C. E. K. — Post πειρᾶται libri ferunt τοῦτο παρὰ πάντα τὰ (τοιαῦτα addunt Marc., nonnulli Parr., Littr.) ὑπομνήματα χάριεν εἰδέναι. Cornarius recte vidit emblema alienum esse: abegi. — Littr. ὑπομνήματα vitiosum esse putat; imo haec non nisi litura sananda sunt.

ὁκόταν — ὀθονίοισι.] κατορθώσῃς B. M. N., Littr., κα-

σθαι δὲ χρὴ κηρωτῇ καὶ σπλήνεσι ὀλίγοισι καὶ ὀθονίοισι. Ἐπίδεσιν δὲ βραχεῖαν μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ἐγγὺς γάρ [1]τι τοῦ ἰσορρόπου ἐστί· τοῦ δὲ ὀθονίου τὴν περιβολὴν ποιέεσθαι, ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ, ἐπὶ δεξιὰ, ἢν δὲ ἡ ἑτέρη γνάθος ἐξεστήκῃ, ἑτέρως χρὴ τὴν ἐπίδεσιν ἄγειν. Κὴν μὲν ὀρθῶς τις κατορθώσηται, καὶ ἐπατρεμήσῃ ὡς χρὴ, ταχεῖα μὲν ἡ ἄλθεξις, οἱ δὲ ὀδόντες ἀσινέες γίγνονται· ἢν δὲ μὴ, χρονιωτέρη μὲν ἡ ἄλθεξις, διαστροφὴν δὲ ἴσχουσι οἱ ὀδόντες καὶ σιναροὶ καὶ ἀχρήϊοι γίγνονται.

tuenda. Vinculum autem exiguum praecipue hic locus admittit, ad aequabilem enim librationem prope accedit. At fasciae circumvolutio, si quidem dextra maxilla excesserit, dextra parte facienda; sin altera maxilla excesserit, ab altera parte fascia ducenda est. Ac si recte quis eam coaptaverit, et ut debet (maxilla) quieverit, brevi consanescit, ac dentes integri manent. Sin secus, longiore quidem tempore curatio accedit, eaque distorta et dentes laeduntur et inutiles sunt.

πγ'. Ἢν δὲ ἡ ῥὶς καταγῇ, τρόπος μὲν οὐχ εἷς ἐστὶ κατήξιος· ἀτὰρ πολλὰ μὲν δὴ καὶ ἄλλα [2]λωβῶνται οἱ χαίροντες τῇσι καλῇσι ἐπιδέσισι ἄνευ νόου, ἐν δὲ τοῖσι περὶ τὴν ῥῖνα [3]μάλιστα· ἐπιδεσίων τε γὰρ αὕτη ἡ ποικιλωτάτη καὶ πλείστους μὲν σκεπάρνους ἔχουσα, διαρρωγὰς δὲ ποικιλωτάτας τοῦ χρωτὸς ῥομβοειδέας. Ὡς οὖν εἴρηται, οἱ τὴν ἀνόητον εὐχειρίην ἐπιτηδεύοντες ἄσμενοι ῥινὸς κατεηγυίης ἐπιτυγχάνουσι, ὡς ἐπιδήσωσι. Μίαν μὲν οὖν ἡμέρην, ἢ δύο ἀγάλλεται μὲν ὁ ἰητρὸς, χαίρει [4]δὲ ὁ ἐπιδεδεμένος· ἔπειτα ταχέως κορίσκεται, ἀσηρὸν γὰρ τὸ φόρημα· ἀρκέει δὲ τῷ ἰητρῷ, ἐπειδὴ ἐπέδειξε ὅτι ἐπίσταται ποικίλως ῥῖνα

83. Naso vero fracto, fracturae modus unus non est. Verum qui speciosis vinculis imprudenter delectantur cum in aliis quidem multis, tum vero in naribus vel maxime turpiter illuduntur. Hoc enim vinculum inter cetera maxime varium est plurimisque locis asciam refert et relicta in cute spatia inania varia habet in rhombi formam. Qui igitur, ut dictum est, temerariam dexteritatem studiose affectant, ii nares fractas ut devinciant avide accipiunt. Atque uno aut altero die sibi quidem medicus placet, deligatus item aeger gaudet, deinde cito ut molestum onus fastidit, satisque est medico, si variam narium deligationem ostentarit. Haec autem vinciendi ratio omnia contra quam opor-

[1] τι om. — [2] λωβῶνται. — [3] καὶ μάλιστα. — [4] δὲ καὶ ὁ ἐπιδ.

τορθώσῃ vulg.; — δεῖ F. M. N., δή G. pro χρή; — τούς ante ἔνθεν om. C., ἔνθα καὶ ἔνθα pr. m. in F.; — πρόσθεν ἤδη εἴρηται N., sed ἤδη deletur.

ἐπίδεσιν — ἄγειν.] Vulgo ἐπίδεσιν δὲ βραχείην ἢ (ἤ om. Littr. cum pr. m. in N. βραχεῖ τινι H. ex emend.) ποικίλην μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται ἐγγὺς γάρ τι (τι om. vulg., sed ex edd. antt. et mss. revocavit Littr.) τοῦ ἰσορρόπου ἐστὶν, ὡς δὴ μὴ ἰσόρροπον ἐόν· τοῦ δὲ κ. τ. λ. Equidem resecui, quae abundare credidi; otiosa illa invecta arbitror ab aliter sentiente nescio quo, qui voluerit: ἐπίδεσιν δὲ ποικίλην μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ὡς μὴ (voluit οὐκ) ἰσόρροπον ἐόν. — Certnm est ea, quae resecui, abundare et locum impedire. — Porro vulgatum χρή post ποιέεσθαι uti V., omm. Marc., Parr. 7.; — ἢν μὲν γὰρ ἡ δ. Q.' — Post ἐπὶ δεξιά vulgo: ἐπὶ δεξιὰ δὲ (γάρ Littr. e mss.) νομίζεται εἶναι, ἢν ἡ δεξιὴ χεὶρ προηγῆται (ἡγῆται alii libri) τῆς ἐπιδέσιος, quae verba lectoris adnotationem referunt. — Ceteri ὡς ἑτέρως, equidem ὡς abigo.

κὴν μὲν — γίγνονται.] Vulgo κἄν, Littr. cum mss. κήν, quod Marc. item habet; — κατορθώσηται omnes; — οἵ τε ὀδόντες H. M. N.; — δ' ἴσχουσιν C., δ' ἴσχουσι Marc.; — ἴσχουσα vulg., ἴσχουσιν Littr. e multis Parr.; — οἱ δὲ ὀδόντες C., Marc., οἱ ὀδόντες δέ vulg., δέ omm. B. H. M. N. Littr.; — καί ante σιναροί omm. Marc., Parr. 7.; — καὶ ἀχρ. γίγν. om. B.

83. ἢν δὲ ἡ ῥὶς — ῥομβοειδέας.] δή om. C.; — λωβέονται vulg., λωβῶνται Marc., codd. 12. apud Littr., uti V.; — ἐν δὴ τῇσι E.; — μάλιστα π. τ. ῥῖνα N.; — καὶ μάλιστα vulg., καί omm. B. C. N., Littr.: — ἐπιδεσίων τε γάρ Marc., τε omm. cett.; — ἐστιν vulgata post γάρ, sed Marc. omittit et omm. B. C. M. N.; — αὕτη ἡ ποικ. vulg., ἡ omm. B. C. M. N., Marc., Littr.; — διαρρεωγάς vulg., διαρρωγάς Lind. et Littr. cum mss. 10. — Post διαρρωγάς legi solet δὲ καὶ διαλείψιας (τε καὶ διαλ. H.); equidem illud καὶ διαλείψιας abieci; auctor dedit quod reliqui in textu, sed ad διαρρωγάς in marg. adscripsit aliquis ἢ διαλείψιας. quod ἤ in καί mutato in textum irrepsit; vulgatum διαλήψιας, quod alii διαλάμψιας scripserunt, docet glossam esse antiquam.

ὡς οὖν — ἐπιδήσωσι.] ἐγχειρίην vulg., εὐχειρίην Marc., H. ex emend., N., Littr., εὐχερίην M.; — καταγείης vulg., κατεαγυίης H., κατηγυίης non pauci codd., inter quos Marc., unde κατεηγυίης scripsi.

μίαν μὲν οὖν — ἐπιδέειν.] μέν omm. Parr. aliquot et Marc.; — χαίρει δὲ καὶ ὁ ἐπιδ. vulg., καί omm. Ald., mss. 12., Littr. Vulgo μὲν ὁ ἐπιδεδεμένος post ταχέως, quod tamen, uti V., omm. Parr. 8., solum ὁ ἐπιδ. omm. L. Q.'; —

ἐπιδέειν. [1] Ποιέει δὲ ἡ ἐπίδεσις ἡ τοιαύτη πάντα τἀναντία τοῦ δέοντος· τοῦτο μὲν γὰρ [2] ὁκόσοι σιμοῦνται, εἰ ἄνωθέν τις πιέζοι, σιμώτεροι ἂν [3] ἔτι εἶεν· τοῦτο δὲ, ὅσοισι παραστρέφεται ἡ ἔνθα, ἡ ἔνθα ἡ ῥὶς κατὰ τὸν χόνδρον, οὐδὲν αὐτοὺς ἡ ἄνωθεν ἐπίδεσις ὠφελήσει, ἀλλὰ [4] καὶ βλάψει μᾶλλον· οὐχ οὕτω γὰρ ἐξαρμόσει σπλήνεσι [5] τὸ ἐπὶ θάτερον τῆς ῥινός· καίτοι οὐδὲ τοῦτο ποιέουσι οἱ ἐπιδέοντες.

πδ'. Ἄγχιστα δὲ ἡ ἐπίδεσίς μοι [6] δοκέει ἄν τι ποιέειν, εἰ κατὰ μέσην τὴν ῥῖνα, κατὰ τὸ ὀξὺ ἀμφιφλασθείη ἡ σὰρξ [7] κατὰ τὸ ὀστέον, ἢ εἰ κατὰ τὸ ὀστέον μικρόν τι σίνος εἴη καὶ μὴ μέγα· τοῖσι γὰρ τοιούτοισι ἐπιπώρωμα ἴσχει ἡ ῥὶς καὶ ὀκριοειδεστέρη τινὶ γίγνεται· ἀλλ' ὅμως οὐδὲ τούτοισι δή που πολλοῦ ὄχλου [8] δέεται ἡ ἐπίδεσις, εἰ δή τι καὶ δεῖ [9] ἐπιδέειν· ἀρκέει δὲ ἐπὶ μὲν τὸ φλάσμα σπληνίον ἐπιτείναντα κεκηρωμένον, ἔπειτα ὡς ἀπὸ δύο ἀρχέων ἐπιδέεται, οὕτως ὀθονίῳ ἐς ἅπαξ [10] περιβαλέειν. Ἀρίστη μέντοι ἰητρείη τῷ ἀλήτῳ τῷ σηταν ίῳ, τῷ πλυτῷ, γλίσχρῳ, πεφυρημένῳ ὀλίγῳ καταπλάσσειν τὰ τοιαῦτα· χρὴ δὲ, ἢν μὲν ἐξ ἀγαθῶν ἔῃ τῶν πυρῶν τὸ ἄλητον καὶ εὐόλκιμον, τούτῳ χρέεσθαι ἐς πάντα τὰ τοιαῦτα· ἢν δὲ μὴ πάνυ ὁλκιμον [11] ἔῃ, ὀλίγην μάνναν ὕδατι ὡς λειοτάτην διέντα, [12] τούτῳ φυρᾶν τὸ ἄλητον, ἢ κόμμι πάνυ ὀλίγον ὡσαύτως μίσγειν.

teat efficit. Etenim sive simae nares sint, si quis eas superiore parte comprimat, etiam magis simae redduntur. Sive etiam quibusdam in hanc illamve partem circa cartilaginem nares distorqueantur, nulla utilitas ex superiniecto vinculo consequetur, quin potius laedentur. Neque enim sic ex altera narium parte splenia adaptata convenient, quamquam neque hoc faciunt qui deligationem admovent.

84. Maxime autem mihi deligatio prodesse videtur, si ad medium nasum acuta sui parte caro supra os contusa sit, aut si os quoque paululum, non autem multum offensum sit. In his enim nares callo obducuntur et quandam prominentiam oblongiorem habent. Sed neque hi sane multum molesta deligatione indigent, si modo quid vinculo opus est. Satisque est splenium quidem inceratum supra contusum extendere, dein qualis deligatio ex duobus initiis fieri solet, ita semel ductam fasciam circumdare. Optime autem medetur farina sitania elota, glutinosa, subacta, modica ex cataplasmate imposita. Ac si quidem farina ex optimo tritico suppetit et quae facile duci possit, eâ ad haec omnia uti convenit. Quodsi non admodum ducatur, cum pauca thuris mica concussu elisa in tenuissimum pollinem redacta et aqua diluta farina est subigenda aut paululum omnino gummi similiter admiscendum.

[1] ποιέη δὲ καὶ ἡ. — [2] ὁκόσοισι σιμ. — [3] ἔτι om. — [4] καί om. — [5] τόν. — [6] δοκέει. — [7] κατὰ — τοῖσι γάρ om. — [8] γίνεται. — [9] δέειν. — [10] περιβαλλέειν. — [11] ἐς pro ἔῃ. — [12] τοῦτο.

equidem illos sequor et emblema reiicio. Tum Φρόνημα Gal., Ald., codd. 10. apud Littr., Φόνημα Marc. in marg.; — ἀρκέει τε M. N.

ποιέει — ἐπιδέοντες.] ὁκόσοισι σιμ., uti V., Ald., cod. Sev. — Vulgo σιμοῦνται διὰ τὴν κάτηξιν δηλονότι item paulo post ἢ κατὰ τὸν χόνδρον ἢ δηλονότι, sed priore loco διὰ τὴν κάτηξιν δηλονότι scholion est, altero ἢ ἀνωτέρω δηλονότι, quo scholio illato demum ἤ post ἡ ῥίς dari coeptum est; itaque aliena illa eieci; — item reieci μᾶλλον ante πιέζοι, quippe Marc. omittit et otiosum est. — Porro πιέζει E.; — σιμότεροι N.; — ἂν ἔτι B. M. N. Littr.; ἔτι ἄν C. H., ἔτι om. vulg.; — ἤ ante prius ἔνθα om. H.; — ἢ καὶ ἀνωτ. C.; — ὠφελήσειεν B. M. N., et H. ex emend., ὠφελέει C.; — καί ante βλ. omm. P. L., uti V.; — βλάψειε B. M. N. et H. ex emend.; — οὕτως mss. 11. Littrei; — εὖ B. M. N., Littr., vulgo om.; ἐξαρμόσει pro εὖ ξυναρμόσει vulgatae fert Marcianus et ex C. adnotat Littr.; — πλὴν εἰς pro σπλήνεσι P.; — εἰς τὰ ἐπὶ θάτ. B. et N., in quo εἰς deletur.

84. ἄγχιστα — περιβαλέειν.] δοκέῃ vulg., δοκέει, uti V., Marc., mss. 12. apud Littr.; — ἀντιποιέειν Marc.; — ἀμφιθλασθ. mss. 11.; — ἀμφὶ τὸ ὀστέον H. ex emend.; — ἤ (alia m. additum) εἰ (κατά ex emend.) τὸ ὀστέον μικρόν (τι σίνος ex emend.) εἴη H.; — εἰ (ἤ pro εἰ M.) καὶ τὸ ὀστέον (εἰ καὶ τὸ ὀ. om. C.) μικρόν τισιν εἴη vulg.; cum Littr. H. sequor; — e Marc. ἢ καὶ τὸ ὀστέον excerptum est; — τοιούτοισι cum mss. 7. Littr., Marc., τούτοισι vulg.; — ὀκριωδεστέρη ex emend. H. — τινὶ γίνεται vulg., τινί obliter. in H.; — θλάσμα codd. 8.; — δυεῖν B. M.; — περιβάλλειν B. M. N., Littr., περιβαλλέειν C. uti V., περιβαλεῖν vulg.

ἀρίστη — μίσγειν.] γένοιτο pro μέντοι C.; — ἡ post ἰητρείη E., Marc., idemque latet in ἧ codicis C.; — σιτανίῃ vulg., σηтανίω mss. 7.; — ὀλίγον pro ὀλίγῳ H.; — τὸ τοιοῦτον B. et N., sed in hoc mutatum in τὰ τοιαῦτα; — ἀγαθόν sine ἐξ Gal., Ald., mss. 9., ἀγαθῶν sine ἐξ mss. 4., Littréus et Marc.; — ἐς ante πάντα om. Gal.; — ἔῃ post ὅλκιμον omm. Parr. 4., ἐς ὀλίγην vulgo, πρὸς ὀλίγον

πε'. Ὁκόσοισι [1] μὲν οὖν ῥὶς ἐς τὸ κάτω καὶ ἐς τὸ σιμὸν ῥέπουσα καταγῇ, ἢν μὲν ἐκ τοῦ ἔμπροσθεν μέρεος κατὰ τὸν χόνδρον ἵζηται, οἷόν τέ τι καὶ ἐντιθέναι διόρθωμα ἐς τοὺς μυκτῆρας· ἢν δὲ μὴ, ἀνορθοῦν μὲν χρὴ πάντα τὰ τοιαῦτα τοὺς δακτύλους ἐς τοὺς μυκτῆρας ἐντιθέντα, ἢν ἐνδέχηται· ἢν δὲ μὴ, παχὺ ὑπάλειπτρον μὴ ἐς τὸ ἔμπροσθεν τῆς ῥινὸς [2] ἀνάγοντα τοῖσι δακτύλοισι, ἀλλ' ᾗ ἵδρυται· ἔξωθεν δὲ τῆς ῥινὸς ἔνθεν καὶ ἔνθεν ἀμφιλαμβάνοντα τοῖσι δακτύλοισι ξυναναγκάζειν τε ἅμα καὶ ἀναφέρειν ἐς τὸ ἄνω. Καὶ ἢν μὲν πάνυ [3] ἐν τῷ ἔμπροσθεν τὸ κάτηγμα ἔῃ, οἷόν τέ τι καὶ ἔσω τῶν μυκτήρων ἐντιθέναι, ὥσπερ ἤδη εἴρηται, ἢ ἄχνην τὴν ἀφ' ἡμιτυμβίου, ἢ ἄλλο τι τοιοῦτον ἐν ὀθονίῳ [4] εἱλίσσοντα, μᾶλλον δὲ ἐν Καρχηδονίῳ δέρματι ἐρράψαντα, [5] σχηματίσαντα τὸ ἁρμόσσον σχῆμα τῷ χωρίῳ, ἵνα ἐγκείσεται. Ἢν μέντοι προσωτέρω ἔῃ τὸ κάτηγμα, οὐδὲν οἷόν τε ἔσω ἐντιθέναι· καὶ γὰρ εἰ ἐν τῷ ἔμπροσθεν ἀσηρὸν τὸ φόρημα, πῶς γε δὴ οὐκ ἐν τῷ ἐσωτέρω; Τὸ μὲν οὖν πρῶτον καὶ ἔσωθεν ἀναπλάσσεσθαι καὶ ἔξωθεν ἀφειδήσαντα χρὴ [6] ἀναγαγεῖν ἐς τὴν ἀρχαίην φύσιν καὶ διορθώσασθαι. Κάρτα γὰρ οἵη τε ῥὶς καταγεῖσα ἀναπλάσσεσθαι, μάλιστα μὲν αὐθήμερος, ἢν δὲ μὴ, ὀλίγῳ ὕστερον· ἀλλὰ καταβλακεύουσι οἱ ἰητροὶ καὶ ἁπαλωτέρως τὸ πρῶτον ἅπτονται, ἢ ὡς χρή· παραβάλλοντα γὰρ

85. Quibus igitur nares inferiore parte fractae simae redduntur, si quidem ex anteriore parte ad cartilaginem desidunt, potest in nares aliquid quod dirigat immitti, sin minus, excitanda quidem haec omnia sunt digitis in nares, si licet, inditis. Alioqui specillo planiore quo ad illinendum utimur, non in anteriorem partem, sed qua desidunt in nares digitis impulso, exteriore vero narium parte hinc et inde digitis comprehensa simul impellere et sursum attollere oportet. Ac si omnino anteriore parte fractura fuerit, licet aliquid, velut iam dictum est, intro in nares indere, vel ex linteo derasam lanuginem, vel aliud quid tale linteo convolutum, aut potius Carthaginiensi corio circumsutum, ea figura accommodatum, ut apte hunc in locum immitti queat. At si ulterior fractura sit, nihil intro immitti potest. Etenim si anteriore parte molestum onus est, quomodo interiore non sit futurum? Imprimis igitur interiore parte nares confirmandae et exteriore parte non remisse agendo in suam sedem compellendae et dirigendae. Nam nasus fractus omnino restitui potest, maxime eodem die, sin minus, paulo post; verum negligenter agunt medici et primum mollius quam oportet rem pertractant. Digitis enim hinc et inde pro narium natura, quoad eius fieri potest, ad imas nares demissis, eas ab inferiore parte sursum compellere oportet, atque ita maxime excitatas simul etiam ab

[1] μὲν οὖν om. — [2] ἀπάγοντες. — [3] ἐς τὸ ἔμπρ. — [4] ἑλίσσ. — [5] σχηματίσαν τὸ ἅρμοσσον. — [6] ἀνάγειν.

P. illud ἐς ex ἔῃ natum est; — μάννην E., Littr.; — τοῦτο C. L., uti V., pro τούτῳ.

85. ὁκόσοισι — ἐς τὸ ἄνω.] μὲν οὖν, uti V., omm. Parr. 5., οὖν solum omm. alii 7.; — οἷόν τέ τι καί Marc., sed sine τι post ἐντιθέναι, quod habent Gal., mss. 12., Littr. et vulgo om., sed vulgata fert οἷόν τε ἐστί, prae quo praefero Marciani scripturam; — ἢν δὲ μὴ, παχύ vulg., εἰ in his C. Marc.; — τοὔμπροσθεν B. M. N.; — ἀνάγοντα B., H. ex emend., N. mutatum in ἀπάγοντα, quae vulg. est lectio; Littr. ἀνάγοντα recepit: — ἀναγκάζειν pro ἀναφέρειν C., Marc.

καὶ — ἐγκείσεται.] εἰ μὲν πάνυ C., Marc., ἐν τῷ ἔμπρ. Marc., Littr. cum multis mss., ἐς τὸ ἔμπρ. vulgo; — ἐστι pro τέ τι B., ἐστι pro τι M. N.; — ἢ ἄχνην Littr. ex N. solo, ubi ἤ deletur, ceteri ἤ omm.; — ἡμιτυβίου et ἡμιτυμβίου sunt mss. lectt.; parum refert utram sequaris, cf. Hemsterh. ad Plutum vs. 729.; ἡμιτυμβίου Marc. cum scholio: ἡμιτύμβιον λινοῦν ἔνδυμα ἢ σιδόνιον δίκροσσον; — ἐν ante ὀθονίῳ omm. B. M. N. et tum ἐνειλισσ. scribunt; — ἐν ante καρχηδ. om. M.; — καλχηδ. C.; — ἅρμοττον E. Q.; — καί pro ἵνα C.; — ἐγκίσσεται Marc., sed pr. m. in marg. etiam ἐγκείσεται legi adnotat.

τὸ μὲν οὖν — διορθώσασθαι.] ἔξωθεν pro ἔσωθεν B. C. M. N. Marc.; — ἀναπλάσασθαι M. N., ἀναπλάσσεται E. G. H. K.; — εἴσω B., εἴσωθεν M., ἔσωθεν Marc., C. pro ἔξωθεν; — ἀναγαγεῖν B. M. F., Littr., ἀνάγειν vulg.; — διαρθρώσασθαι Gal., edd. antt., mss. 9. apud Littr.; — διορθώσασθαι vulg.: διορθῶσαι fere requires, media tamen διορθώσασθαι, βάλλεσθαι nostro sunt usitata.

κάρτα — διορθῶσι.] ἀναπλάσασθαι B. M. N., ἀναπλάσσεται vulg., ἀναπλάσσεσθαι Parr. 6., Littr.; — αὐθήμερον B. (H. emend.) M. N. O.; — εἰ δὲ μή B. M. N., Marc.; — χρὴ τοὺς δακτ. B. M. N.; — τοῦ κατὰ τὴν (τήν omm. M. N.) φύσιν B. M. N.; — ὡς κατὰ τὸ κάτωθεν H., ὡς κατωτάτω N. sine κάτωθεν; — ἀναγκάζειν E. H., sed corrigitur συναναγκ., E. καταναγκάζειν fert; — ἀνορθοῦσθαι L. Voss., Littr., ἀνορθοῦνται vulg. Post διορ-

τοὺς δακτύλους χρὴ ἔνθεν καὶ ἔνθεν κατὰ τὴν φύσιν τῆς ῥινὸς ὡς κατωτάτω κάτωθεν ξυναναγκάζειν καὶ οὕτω μάλιστα ἀνορθοῦται ξὺν τῇ ἔσωθεν [1] διορθώσι. Ἔπειτα δὲ ἐς ταῦτα ἰητρὸς οὐδεὶς ἄλλος [2] ἐστὶ τοιοῦτος, εἰ ἐθέλοι [3] καὶ μελετᾶν καὶ τολμᾶν, ὡς [4] οἱ δάκτυλοι αὐτοῦ οἱ λιχανοί· οὗτοι γὰρ κατὰ φύσιν μάλιστά εἰσι. Παραβάλλοντα γὰρ χρὴ τῶν δακτύλων ἑκάτερον, παρὰ πᾶσαν τὴν ῥῖνα ἐρείδοντα, ἡσύχως οὕτως ἔχειν, μάλιστα μὲν εἰ οἷόν τε εἴη, αἰεὶ, ἔστ' ἂν κρατυνθῇ, εἰ δὲ μὴ, ὡς πλεῖστον χρόνον, [5] αὐτὸν, ὡς εἴρηται, — εἰ δὲ μὴ, ἢ παῖδα, ἢ γυναῖκά τινα· μαλθακὰς γὰρ τὰς χεῖρας δεῖ εἶναι. [6] Οὕτω γὰρ ἂν κάλλιστα ἰητρευθείη, [7] ὁτέῳ ἡ ῥὶς μὴ ἐς τὸ σκολιὸν, ἀλλ' ἐς τὸ κάτω ἱδρυμένη, [8] ἰσόρροπος εἴη. Ἐγὼ μὲν οὖν οὐδεμίαν πω ῥῖνα εἶδον, ἥ τις οὕτω καταγεῖσα οὐχ οἵη τε διορθωθῆναι αὐτίκα πρὶν πωρωθῆναι ξυναναγκαζομένη ἐγένετο, εἴ τις ὀρθῶς ἐθέλοι ἰητρεύειν. [9] Ἀλλὰ γὰρ οἱ ἄνθρωποι αἰσχροὶ μὲν εἶναι πολλοῦ [10] ἀποτιμῶσι, μελετᾶν δὲ ἅμα μὲν οὐκ ἐπίστανται, ἅμα δὲ οὐ τολμέουσι, ἢν μὴ [11] ὀδυνέωνται, ἢ θάνατον δεδοίκωσι· καίτοι ὀλιγοχρόνιος ἡ πώρωσις τῆς ῥινός· ἐν γὰρ δέκα ἡμέρῃσι κρατύνεται, ἢν μὴ ἐπισφακελίσῃ.

interiore parte dirigere. Deinde vero ad eam rem nullus est magis idoneus medicus, si eo studio contendere aut id etiam tolerare velit, quam ipsius digiti indices. Hi enim sunt maxime a natura accommodati. Admoto autem utroque digito totae nares obfirmandae sunt atque ita in quiete continendae, maxime quidem si fieri possit assidue, quoad confirmentur, vel certe quam diutissime, velut dictum est. Quodsi illud aeger praestare nequit, vel pueri, vel mulieris cuiusdam digitis utendum. Molles enim manus esse convenit. Ita enim quam optime curabuntur nares, quibus non distortae, sed aequabiliter ad inferiorem partem desidunt. Equidem nullas unquam nares vidi, quae sic fractae, si statim prius quam callo obducantur, compellerentur, restitui non potuerint, si modo quis rectam curandi viam ineat. Atqui homines deformitatem magno quidem pretio redimendam aestimant, eo autem studio anniti nisi dolore aut mortis metu coacti neque sciunt, neque sustinent, quamquam in naribus callus pauco tempore inducitur. Decem enim diebus, nisi siderentur, confirmantur.

πϛ'. Ὁκόσοισι δὲ τὸ ὀστέον ἐς τὸ πλάγιον κατάγνυται, ἡ μὲν ἴησις [12] ἡ αὐτή· τὴν δὲ διόρθωσιν χρὴ ποιέεσθαι οὐκ ἰσόρροπον ἀμφοτέρωθεν, ἀλλὰ τό τε [13] ἐκκεκλιμένον ὠθέειν ἐς

86. At quibus os a latere frangitur, curatio quidem eadem convenit, directio tamen ipsa non aequabiliter ab utraque parte facienda, sed quod inclinatum est extrinsecus compellendo

[1] διορθώσει διορθοῦντα. — [2] τοιοῦτος ἐστίν. — [3] καί om. — [4] οἱ αὐτοῦ δακτ. — [5] αὐτόν om. — [6] οὕτως ὡς ἂν μάλιστα. — [7] ἡ ῥὶς ὅτε μὴ ἐς τὸ σκ. [8] εἴη ἰσορρ. — [9] ἀλλ' οἱ ἄνθρ. — [10] ἀποτιμῶσι. — [11] ὀδυνῶνται. — [12] αὕτη. — [13] ἐγκεκλιμ.

θώσι vulgo διορθοῦντα, sed hoc omm. B. M. N., Littr., deletur in H.

ἔπειτα — εἰσί.] ἐστι τοιοῦτος Marc., B. C. M. N., Littr.; — vulg. e V. notavi; — εἰ θέλοι M. N.; — καὶ μελετ. B. M. N., Littr., καί om. vulg.; — οἱ δάκτυλοι αὐτοῦ B. M. N., Littr., vulgatam e V. notavi.

παραβάλλοντα — εἶναι.] παραβαλόντα J.; — αἰεί linea traiectum H.; — κρατυνθῇ Marc. et e multis mss. Littr., κρατηθῇ vulg.; — αὐτόν Marc., C. E. (H. supra versum) K. Q.', Littr., αὐτόν om. vulg.; — γάρ ante τὴν χεῖρα om. K.

οὕτω — εἴη.] οὕτω γάρ M. N., οὕτω γὰρ ὡς B.; vulg. e V. notavi, — μάλιστα C. L. cf. lect. V.; — ἰητρεύηι Marc.; — ὁτέῳ ἡ ῥίς C. M. N., Littr., ἡ ῥὶς ὁτέῳ vulg.; — κοῖλον pro σκολιόν C. Ald.; — ἰσ. εἴη C. M. N. Marc., Littr., ordine inverso vulg.

ἐγὼ — ἰητρεύειν.] οὐδεμίην πω ἴδον B. M. N. itemque Marc. πω pro vulgato που; — οὕτως N.; — διαρθρωθῆναι vulgo, διορθωθῆναι Littr. ex H. N.; — ἐθέλοι ὀρθῶς C.

ἀλλὰ — ἐπισφακελίσῃ.] ἀλλὰ γάρ B. M., Littr., vulg. e V. notavi; — ἀποτιμῶνται B. M. N., Littr., ἀποτιμῶσι vulg. De hoc loco monet Schneid. in Lexico, et ἀποτιμῶνται requirit; equidem contra credo ἀποτιμῶσι veram lectionem esse. „ἀποτιμάω aestimatum do, at ἀποτιμῶμαι aestimatum accipio" inquit Stephanus. Vide Herod. V. 77. χρόνῳ δὲ ἔλυσάν σφεας, διμνέως ἀποτιμησάμενοι. Nempe ipsi pretium redemtionis acceperunt; sed apud Hippocratem homines, de quibus sermo est, πολλόν illud non accipiunt, sed medicis dant, itaque medici ἀποτιμῶνται, aegri ἀποτιμῶσι; — δέ om. J.; — ὀδυνέωνται Ionice ex C. Littr.; — ἐπικρατύνεται B. M. N.

86. ὁκόσοισι δὲ — τὴν ῥῖνα.] ἡ αὐτή B. M. N., Littr., vulg. e V. notavi; — δηλονότι χρή cett., abegi δηλονότι; —

τὴν φύσιν, ἔκτοσθεν ἀναγκάζοντα καὶ ἐσμασάμενον ἐς τοὺς μυκτῆρας καὶ τὰ εἴσω [1]ῥέψαντα διορθοῦν ἀόκνως, ἔστ' ἂν [2]κατορθώσῃς, εὖ εἰδότα [3]ὅτι, ἢν [4]μὴ αὐτίκα κατορθώσῃς, οὐχ οἷόν τε [5]μὴ οὐχὶ διεστράφθαι τὴν ῥῖνα. Ὅταν [6]δὲ ἀγάγῃς ἐς τὴν φύσιν, προσβάλλοντα χρὴ ἐς τὸ χωρίον, ἢ τοὺς δακτύλους, ἢ τὸν ἕνα δάκτυλον, ᾗ ἐξέσχε, ἀνακωχέειν ἢ αὐτὸν, ἢ ἄλλον τινὰ, ἔστ' ἂν κρατυνθῇ τὸ τρῶμα· ἀτὰρ καὶ ἐς τὸν μυκτῆρα τὸν σμικρὸν δάκτυλον ἀπωθέοντα ἄλλοτε καὶ ἄλλοτε διορθοῦν χρὴ τὰ [7]ἐκκλιθέντα. Ὅ τι δ' ἂν φλεγμονῆς ὑπογίγνηται τούτοισι, δεῖ τῷ σταιτὶ χρέεσθαι· τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ ὁμοίως καὶ τοῦ σταιτὸς ἐπικειμένου. Ἢν δέ που κατὰ τὸν χόνδρον ἐς τὰ πλάγια καταγῇ, ἀνάγκη τὴν ῥῖνα ἄκρην [8]παρεστράφθαι. Χρὴ οὖν τοῖσι τοιούτοισι ἐς τὸν μυκτῆρα ἄκρον διόρθωμά τι τῶν εἰρημένων, ἢ ὅ τι τούτοισι ἔοικε, ἐντιθέναι· πολλὰ δ' ἂν τις εὕροι τὰ ἐπιτήδεια, ὅσα μήτε ὀδμὴν ἴσχει, [9]ἄλλως τε καὶ προσηνέα ἐστί· ἐγὼ δέ ποτε πνεύμονος προβάτου ἀπότμημα ἐνέθηκα, τοῦτο γάρ πως παρέτυχε· οἱ γὰρ σπόγγοι ἐντιθέμενοι ὑγράσματα δέχονται. Ἔπειτα χρὴ Καρχηδονίου [10]δέρματος λοπὸν, πλάτος ὡς τοῦ μεγάλου δακτύλου τετμημένον, ἢ ὅκως ἂν ξυμφέρει, προσκολλῆσαι ἐς τὸ ἔκτοσθεν πρὸς τὸν μυκτῆρα τὸν ἐκκεκλιμένον· κἄπειτα κατατεῖναι τὸν ἱμάντα ὅκως ἂν ξυμφέρει· μᾶλλον δὲ

ad naturalem situm adurgendum et digitis immissis nares contrectando quae in interiorem partem vergunt impigre dirigenda, quoad restituantur, illud animo reputanti, nisi protinus nares dirigantur, fieri non posse quin pervertantur. Quibus in naturalem sedem reductis admotos ad locum unum aut plures digitos qua eminentia erat ipsum aut alium quendam continere oportet, quoad vulnus confirmatum fuerit. Quin et impulso in nares parvo digito subinde quae inclinata sunt dirigere convenit. Ac si quid inflammationis subest, iis farina ex aqua subacta adhiberi debet. Nihilo tamen minus etiam farina imposita digiti similiter admovendi. At si quando ad cartilaginem in latus nares fractae sint, eas summas perverti necesse est, tuncque in extremas nares quiddam ex iis quae dicta sunt, quod eas dirigat, aut aliud quid tale immitti debet. Multa autem ad id accommodata inveniri possunt, quae neque odorem habent et inprimis sunt mollia. Ego sane pulmonis ovilli frustum, quod forte tum aderat, aliquando immisi. Inditae enim spongiae humorem excipere consueverunt. Deinde ex Carthaginiensis corii cortice exteriore incisa habena pollicis latitudinis aut quanta convenit, exteriore parte naribus qua parte inclinant agglutinanda, posteaque prout convenit intendenda. Paulo autem amplius intendi debet quam ut nasus exacte rectus sit. Deinde, — longa enim habena sit, oportet, — sub aurem ductam circa

[1] ῥεύσαντα. — [2] κατορθώσῃ. — [3] ὅτι om. — [4] μή τι αὐτίκα κατορθώσηται. — [5] μὴ καὶ διεστρ. — [6] δέ om. — [7] ἐκκριθέντα. — [8] μετεστράφθαι. [9] μήτε ἄλλως προσηνέα. — [10] δέρματος om.

ἀμφοτέρων C.; — ἐκκεκλιμ. Marc., C. E., Littr., ἐγκεκλ. vulg.; — ἐς τὴν φ. ὠθέειν B. M. N.; — ἐσματτευόμενον vulg., ἐσματευόμενον Ald., Marc., Parr. 7., sed ἐσμασάμενον dandum est; — ῥέψαντα e Parr. nonnullis Littr., vulg. e V. notavi; κατορθώσῃς M. N. Littr., vulgatam e V. notavi; — ὅτι, uti V., omm. Parr. 3; — εἰ μή J.; — κατορθώσῃς B. M. N. Littr., κατορθώσηται vulg.; — οὐχί Marc., B. C. M. N., Littr., vulgatam e V. notavi.

ὅταν δὲ — ἐκκλιθέντα.] ἀγάγῃ Marc. et pr. m. in E., ἀνάγῃς G.; — προσβαλόντα Ald., Marc., Parr. 5., Gal.; — δεῖ G.; — ἐκκριθέντα vulg., in quo latet quod exhibui; ἐγκλιθέντα ex H. N. dedit Littr.

ὅ τι — ἐπικειμένου.] δεῖ τῷ στ. Marc. B. C. M. N.; — χρή in his vulg.; — ὁμοίως post ἐπικ. B. M. N. E Marciano excerptum lego: ὑπογίνηται τ. δεῖ τῶι σταιτὶ χρέεσθαι (m. sec. in marg.: ἐν ἄλλῳ τουτέοισι τῶιτ' ἐστι χρῆσθαι. τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ καὶ τοῦ στέατος).

ἢν — παρεστράφθαι.] που omm. Marc. C. N., sed in hoc rest., verum in iisdem πῃ ante ἐς, quod πῃ in N. linea traiectum est; — παρεστράφθαι B. C. M. N. Marc. et H. al. m., Littr.; — vulgatam e V. notavi.

χρὴ οὖν — δέχονται.] οὖν omm. Parr. 9.; — ἄλλως τε καί B. M. N. Littr., vulgatam e V. notavi. — E Marc. excerptum lego μήτε ὀδμὴν ἴσχει μήτε ἄ. τε προσ.

ἔπειτα — εἶναι.] δή pro χρή U.; — δέρματος N. solus linea subiecta, unde recepit Littr., vulgo om.; — ξυμφέρῃ vulg., ξυμφέροι B. M. N., ξυμφέρει de meo; — προσκολλῆσαι δὴ τό F.; — ἔξωθεν F. G.; — ἔκτοθεν Marc., quod passim habet; — ἐκκεκλ. Marc. et ex C. Littr., ἐγκεκλ. vulg.; — ὅκως ἂν ξυμφέρῃ (ξυμφέρει B. M. N.) vulg. — Porro ὀλίγον vulg., ὀλίγῳ Littr. cum multis Parr. — Tum ἤ ante ὥστε dedit Littr. de suo Vidum Vidium secutus, recte!

ὀλίγῳ τείνειν χρὴ [1] ἢ ὥστε ὀρθὴν ἀπαρτὶ τὴν ῥῖνα εἶναι. Ἔπειτα, — μακρὸς γὰρ ἔστω ὁ ἱμὰς, — κάτωθεν τοῦ ὠτὸς ἀγαγόντα αὐτὸν, ἀναγαγεῖν περὶ τὴν κεφαλὴν καὶ ἔξεστι μὲν κατὰ τὸ μέτωπον προσκολλῆσαι τὴν τελευτὴν τοῦ ἱμάντος, ἔξεστι δὲ καὶ μακρότερον [2] ἐπιπεριελίσσοντα περὶ τὴν κεφαλὴν καταδέειν. Τοῦτο ἅμα μὲν δικαίην τὴν διόρθωσιν ἔχει, ἅμα δὲ εὐταμίευτον καὶ μᾶλλον ἢν ἐθέλῃς καὶ ἧσσον τὴν ἀντιρροπίην [3] ποιῆσαι τῆς ῥινός. [4] Ἀτὰρ καὶ ὁκόσοισι ἐς τὸ πλάγιον ἡ ῥὶς κατάγνυται, τὰ μὲν ἄλλα ἰητρεύειν χρὴ, ὡς πρόσθεν εἴρηται· προσδέεται δὲ τοῖσι πλείστοισι καὶ τὸν ἱμάντα πρὸς ἄκρην τὴν ῥῖνα [5] προσκολλῆσαι τῆς ἀντιρροπίης εἵνεκα.

caput supra ducere oportet, poteritque ad frontem agglutinari habenae extremum, poterit etiam longius circumvoluta circa caput deligari. Haec quidem ratio simul iustam directionem continet, simulque expeditam habet, si quis cupiat, maiorem aut minorem narium in contrarium momentum propensionem. Quin etiam quibus nares in latus fractae sunt, in reliquis quidem eadem, quae supra dicta est, curatio convenit. In plerisque tamen habena insuper opus est, quae extremis naribus agglutinata eas in contrarium momentum propendere faciat.

πζ'. Ὅσοισι δὲ ξὺν τῇ κατήξι καὶ ἕλκεα προσγίγνεται, οὐδὲν δεῖ ταράσσεσθαι διὰ τοῦτο· ἀλλ' ἐπὶ μὲν τὰ ἕλκεα ἐπιτιθέναι [6] ἢ πισσηρὴν, ἢ τῶν [7] ἐναίμων τι· εὐαλθέα [8] γὰρ τῶν τοιούτων τὰ πλεῖστά ἐστι ὁμοίως, κἢν ὀστέα μέλλῃ ἀπιέναι. Τὴν δὲ διόρθωσιν τὴν πρώτην ἀόκνως χρὴ ποιέεσθαι, μηδὲν ἐπιλείποντα καὶ τὰς διορθώσιας τοῖσι δακτύλοισι ἐν τῷ ἔπειτα χρόνῳ, χαλαρωτέροισι μὲν χρεόμενον, χρεόμενον δέ· εὔπλαστότατον γάρ τοι παντὸς τοῦ σώματος ἡ ῥίς ἐστι. Τῶν δὲ ἱμάντων τῇ κολλήσι καὶ [9] τῇ ἀντιρροπίῃ παντάπασι οὐδὲν κωλύει χρέεσθαι, οὔτ' ἢν [10] ἕλκος ᾖ, οὔτ' ἢν ἐπιφλεγμήνῃ· [11] ἀλυπόταται γάρ εἰσι.

87. At quibus ad fracturam cutis quoque vulnus accessit, eos nihil eam ob rem commoveri necesse est. Verum ulceri ceratum, quod picem habeat, aut medicamentum aliquod cruentis vulneribus accommodatum imponendum. Haec si quidem pariter facile curationem admittunt, quin etiamsi ossa discessionem parant. Prima autem directio impigre omni adhibita diligentia facienda, tum etiam postea digiti ad directionem adhibendi. Hos quidem et laxiores esse et admoveri tamen oportet. Ex omnibus autem corporis partibus nares facillime componuntur. Habenarum vero agglutinatione et in contrarium momentum propensione nihil omnino uti prohibet, neque si ulcus, neque si inflam-

[1] ἢ om. — [2] ἄγειν ἔπειτα περιελίσσοντα. — [3] ποιήσεται. — [4] καὶ γὰρ ὁκ. — [5] προσκολλῆσαι. — [6] ἢ om. — [7] ἐνάγκων. — [8] γὰρ τὰ τοιαῦτα ὁμοίως. — [9] τῇ om. — [10] ἑλκώσῃ. — [11] ἀλύπητοι.

Vulgo: ὀρθὴν καὶ ἀπαρτῆ τὴν ῥῖνα εἶναι, in quibus ἀπαντῆ C. et ἀπαρτητήν coniunctis duabus vocibus in unam E. I. J.; sed καί eximere oportet et pro ἀπαρτῆ id, unde natum est, scilicet ἀπαρτί, reponere.

ἔπειτα — καταδέειν.] μέν cum γάρ rescripto N.; — ἔσται F. G.; — εἶτα κάτωθεν B. N., sed in hoc εἶτα linea subiecta notatur; — καί ante μακρότερον L., Voss., vulgo om., recepit Littr.; — μακρότερον ἄγειν vulg., ἄγειν om. Littr. cum N., ubi rest.; tum ἔπειτα (ἐπεί mutatum in ἔπειτα N.) περιελίσσοντα vulgo, sed Marc. et Littr. e compluribus Parr. ἐπιπεριελ. pro ἔπειτα περιελ.

τοῦτο — ῥινός.] ἐθέλῃ cett.; — καὶ ἴσον τὴν ἀντιρρ. J.; — ἀντιρροπήν Gal., edd. antt., codd. 9. Parr.; — ποιήσεται codd. 6., ποιήσασθαι C., ποιῆσαί τε O.; — ἀντιρροπὴν ποιήσεται etiam Marc.

ἀτὰρ καὶ — εἵνεκα.] καὶ γάρ Gal., Parr. 7., cf. lectt. V., ἀτὰρ καί mutatum in καὶ γάρ N.; — ὡς πρόσθεν εἴρηται Marc., C., ὡς προείρηται cett.; — προσδέδεται G. J.; — τοῦ ἱμάντος ceteri, de meo emendavi, librarii a προσδέεται pendere fecerunt, perperam!; — προσκολληθῆναι B. M. et N. e correctione. Littr.; equidem vulgatam teneo.

87. ὁκόσοι — ἀπιέναι.] ὁκόσοισι M. N.; — τῇ ante κατήξι omm. M. N.; — ἤ ante πισσηρήν C., Littr., Marc., cett. omm.; — εὐαλθέα γὰρ τὰ (τά om. G.) τοιαῦτα. ὁμοίως (ὁμοίω J.) κἢν ὀστέα μέλλῃ ἀπιέναι τήν τε διόρθωσιν vulg.; — εὐαλθέα (in marg. εὐθεράπευτα τῶν τοιούτων τὰ πλεῖστά ἐστι B.) γὰρ τὰ τοιαῦτα (τῶν τοιούτων τὰ πλεῖστα mutatum in τὰ τοιαῦτα N.) ἐστιν· τὴν δὲ διόρθωσιν B. M. N., unde textum dedi quemadmodum Littr.

τὴν δὲ — ῥίς ἐστι.] τοῖσι ἔπ. χρόνοισι B. M. N.; — μὲν γὰρ χρ. vulg., γάρ om. Littr. cum mss. 10. et abest e Marc. — E Marc. γάρ τοι pro vulgato γάρ τι recepi

τῶν δὲ — εἰσι.] τῇ omm. Marc. et mss. 9. Littréi ante ἀντιρροπίῃ; — οὔτε plene utroque loco M. N.; — ἕλκος ᾖ Marc., C., Littr., ἑλκώσῃ vulg.; — ἀλυπόταται Marc. pr. m. in marg., B. M. N., Littr., ἀλύπητοι vulg.

matio adfuerit. Illa namque nullam omnino molestiam adferunt.

πη'. Ἢν δὲ οὖς καταγῇ, ἐπιδέσιες [1]μὲν πᾶσαι πολέμιαι· οὐ γὰρ οὕτω ἄν τις χαλαρὸν περιβάλλοι· ἢν δὲ μᾶλλον πιέζῃ, πλέον κακὸν ἐργάσεται· ἐπεὶ καὶ ὑγιὲς οὖς ἐπιδέσι πιεχθὲν, ὀδυνηρὸν καὶ σφυγμῶδες καὶ πυρετῶδες γίγνεται. Ἀτὰρ καὶ ἐπιπλάσματα κάκιστα μὲν τὰ βαρύτατα τὸ ἐπίπαν· ἀτὰρ καὶ τὰ πλεῖστα φλαῦρα καὶ ἀποστατικὰ καὶ μύξαν τε ὑποποιέει πλείω, κἄπειτα ἐκπυήσιας ἀσηράς· τούτων δὲ ἥκιστα οὖς καταγὲν προσδέεται· ἄγχιστα μὴν, εἴπερ χρὴ, τὸ γλίσχρον ἄλητον· χρὴ δὲ μηδὲ τοῦτο βάρος ἔχειν. Ψαύειν δὲ ὡς ἥκιστα ξυμφέρει· ἀγαθὸν [2]γὰρ φάρμακόν ἐστι ἐνίοτε καὶ τὸ μηδὲν προσφέρειν καὶ πρὸς οὖς καὶ πρὸς ἄλλα πολλά. Χρὴ δὲ καὶ τὴν ἐπικοίμησιν φυλάσσεσθαι· ἰσχναίνειν δὲ τὸ σῶμα, καὶ μᾶλλον ᾧ ἂν κίνδυνος ἔῃ ἔμπυον τὸ οὖς γενέσθαι· ἄμεινον δὲ καὶ μαλθάξαι τὴν κοιλίην· ἢν δὲ καὶ εὐήμετος ἔῃ, καὶ ἐμέειν ἀπὸ συρμαϊσμοῦ. Ἢν δὲ ἐς ἐκπύησιν ἔλθῃ, ταχέως μὲν οὐ χρὴ στομοῦν· πολλὰ γὰρ καὶ τῶν δοκεόντων ἐκπυέειν ἀναπίνεταί ποτε, κὴν μηδέν τις καταπλάσσῃ. Ἢν δὲ ἀναγκασθῇ στομῶσαι, τάχιστα μὲν ὑγιὲς γίγνεται, ἤν τις πέρην διακαύσῃ· εἰδέναι μέντοι χρὴ σαφῶς, ὅτι κυλλὸν [3]ἔσται τὸ οὖς καὶ μεῖον τοῦ ἑτέρου, ἢν πέρην διακαυθῇ. Ἢν δὲ μὴ πέρην καίη-

88. At vero auri fractae vinculum omne inimicum est. Neque enim ita laxo ambitu circumdari poterit et si magis apprimatur, plurimum officiet. Quandoquidem et integra auris sub vinculo adstricta dolore et pulsatione et febre vexatur. Sed et ea sunt omnino quidem pessima cataplasmata, quae gravissima, quin etiam pleraque noxia et abscessum procurant, cumque mucum plurimum tum deinde molestiae plenas suppurationes efficiunt. At his ad aurem fractam minime opus est. Maxime sane, si modo quid confert, prodest farina glutinosa, quam neque gravem esse oportet. Ac quam minime contingere conducit; interdum namque bona medicina est, quae tum ad aurem, tum ad cetera multa, etiam nulla adhibetur. Vitandus praeterea in eam partem decubitus corpusque extenuandum, idque magis aegro, in quo auris suppuratio metuitur, praestatque etiam alvum emollire. Quodsi facilis sit ad vomitum, is ex moderata aliqua purgatione ciendus est. Sed si ad suppurationem veniat, celeriter quidem aperiri non debet. Multa namque ex his, quae suppurare videntur, quandoque etiam nullo adhibito cataplasmate resorbentur. At si coactus aperueris, cito quidem sanescet, si in ulteriorem partem candens ferramentum adegeris. Certo tamen scire licet aurem candenti

[1] μέν om. — [2] γὰρ ἐνίοτε φαρμ. καὶ τὸ μὴ φέρειν φαρμ. καὶ πρὸς ἄλλα πολλά. χρὴ δὲ κ. τ. λ. — [3] ἐστί.

88. ἢν δὲ — γίγνεται.] μέν Marc., B. C. M. N., Littr., vulgo om.; — ἄν de meo adscripsi; — περιβάλλει Marc., B. M. N., περιβάλλῃ C.; — πιέζῃς B., πιέσῃ M. N., πιέζοι O.; — ἐργάζεται vulg., futurum Gal., Ald., mss. 13. apud Littr.; — σφυγμῶδες pr. m. in N., σφυγματῶδες vulg.

ἀτὰρ καὶ — ἔχειν.] Vulgatum τά ante καταπλ. omm. Marc., B. C. H. M. N.; — τό ante ἐπίπαν N., Littr., ceteri omm.; — ἐμπυήσιας (κ supra μ) N.; — ἥκιστα οὖς B. M. N. Littr., οὖς ἥκ. vulg.; — e Marc. notatum lego ἥκιστα καταγέν, adeo ut hic habeat οὖς ἥκιστα καταγέν; — μήν cum mss. 10. Littr., Marc., cod. Voss., μέν vulg.

ψαύειν — πολλά.] Φάρμακόν ἐστιν ἐνίοτε καὶ τὸ μηδὲν προσφέρειν καὶ (καί omm. B. N.) πρός B. C. (N. cum φάρμακον καί pro μηδὲν προσφέρειν) — φάρμακόν ἐστιν ἐνίοτε καὶ τὸ φάρμακον καὶ πρός M.; — ἐνίοτε φάρμακον (addunt καί edd. antt.) τὸ μηδὲν (μή L.) (καὶ τὸ μή pro τὸ μηδέν codd. 8., Gal.) φέρειν φάρμακον (καὶ τὸ μὴ προσφέρειν οὐδέν pro τὸ μηδὲν φ. φαρμ. H.) καὶ πρός vulg. Textum dedi, quemadmodum Littr., cum qua scriptura etiam Marc. plane convenit.

χρὴ δὲ — συρμαϊσμοῦ.] ἰσχν. δὲ τὸ σ. B. C. M. N.; — item Marc., e quo tamen καὶ μᾶλλον ante ᾧ ἄν abesse video: nam excerptum est: ἐπικοίμησιν φυλάσσεσθαι. ἰσχναίνειν δὲ τὸ σῶμα ᾧ ἂν κ. τ. λ., quam lectionem non praestare puto prae vulgato τὸ δὲ σῶμα ἰσχναίνειν καὶ μᾶλλον ᾧ ἂν κ. τ. λ.; — ἔκπυον B. ἔμπυον (κ supra μ) N.; — καὶ ἐμέειν C. Marc., ἐμέειν καί B.; — καί om. vulg.

ἢν δὲ — καταπλάσῃ.] ἐκπύησιν Gal., edd. antt., Parr. 7., ἐμπ. vulg.; — ἐκπυέεσθαι vulg., ἐμπυέεσθαι unus alterque cod., ἐκπυέειν C., Marc.; — μηδέπω pro μηδέν M. in marg., N. supra versum; — καταπλάσσῃ Gal., Ald. E. H. K.

ἢν δὲ — διακαυθῇ.] ἔσται cum mss. 12. Littr., item Marc., ἐστι vulg.

ἢν δὲ — στομωθέντι.] πλατυτέρου pro παχυτ. K.; —

ται, τάμνειν χρὴ τὸ μετέωρον, μὴ πάνυ σμικρὴν τομήν· διὰ παχυτέρου μὴν καὶ τὸ πῦον εὑρίσκεται ἢ ὡς ἄν τις δοκέοι· ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, καὶ [1] τἄλλα πάντα τὰ μυξώδεα καὶ μιξόπυα ἅτε γλίσχρα ἐόντα ὑποθιγγανόμενα διολισθάνει ταχέως ὑπὸ τοὺς δακτύλους καὶ ἔνθα καὶ ἔνθα· διὰ τοῦτο διὰ παχυτέρου εὑρίσκουσι τὰ τοιαῦτα οἱ ἰητροὶ ἢ ὡς οἴονται· ἐπεὶ καὶ τῶν γαγγλιωδέων ἔνια, ὅσα ἂν πλαδαρὰ ἔῃ καὶ μυξώδεα σάρκα ἔχῃ, πολλοὶ στομοῦσι, οἰόμενοι ῥεῦμα ἀνευρήσειν· ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ ἐξαπατᾶται· τῷ δὲ πρήγματι τῷ τοιούτῳ οὐδεμία βλάβη στομωθέντι. Ὅσα δὲ ὑδατώδεα χωρία ἐστὶ ἢ μύξης πεπληρωμένα καὶ ἐν οἵοισι χωρίοισι ἕκαστα θάνατον φέρει στομούμενα, ἢ [2] καὶ ἀλλοίας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται. Ὅταν οὖν τάμῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων, πάσης δὲ μοτώσιος ἀπέχεσθαι χρή· ἰητρεύειν δὲ [3] ἢ ἐναίμῳ, ἢ ἄλλῳ τῳ, ὅ τι μήτε βάρος, μήτε πόνον παρασχήσει· ἢν γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας [4] ἔχῃ, ὀχλῶδες· γίγνεται δὲ τοῦτο δι' ἐκείνας τὰς ἰήσιας. Πάντων δὲ τῶν παλιγκοτησάντων ἡ πέρην διάκαυσις αὐταρκέστατον.

ferramento praeter traiectam curtam et altera minorem reddi. Si vero huiusmodi ustionem reformides, pars in tumorem sublata non parva admodum sectione incidenda. Crassiore si quidem loco quam quis existimet pus contineri deprehenditur. Atque ut breviter dicam, cetera quoque omnia mucosa et cum pure mista cum lenta sint, ubi contrectantur digitos celeriter hac vel illa parte effugiunt eamque ob rem medici crassiore loco quam existiment haec contineri deprehendunt. Nam et ex iis tuberculis, quae ganglia nominant, quaecumque fluida sunt et mucosam carnem continent, plerique aperiunt, humorem se reperturos sperantes. Ac medicus quidem opinione fallitur, nulla tamen ex huiusmodi sectione noxa imminet. Quae vero loca aquosa aut muci plena sunt et quibus in locis singula si aperiantur, vel mortem, vel alia etiam nocumenta afferant, alias scribetur. Ubi igitur auris secta fuerit, omni tum cataplasmate, tum linamentorum usu abstinendum. Sed vel iis medicamentis, quae cruentis vulneribus imponuntur, curatio est instituenda, vel alio quopiam, quod neque onere gravet, neque dolorem inferat. Ubi enim cartilago nudari incipit, in eaque humores subsidunt, id molestum est. Id quod etiam in aliis curationibus evenit. In omnibus autem, quae rursus excandescunt, ferramentum candens utraque parte traiicere abunde suppetit.

πθ'. Σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, ὅσοισι μὲν ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κυφὸν,

89. At quibus spinae vertebrae ex morbis gibbum contrahunt, magna quidem ex parte

[1] πάντα τἄλλα. — [2] κατὰ ἀλλ. — [3] ἐναίμοις sine praevio ἤ. — [4] ἴσχῃ πορώδεας ἢ χολώδεας, ὀχληρὸν. γίνεται δὲ καὶ τοῦτο.

δοκέῃ C.; — δὲ ἐν idem; — εἰρῆσθαι pro vulgato εἰπεῖν B. C. M. N. Marc.; — ἅτε γὰρ γλ. B. et N., in quo γάρ lineola subnotatur; — διὰ παχυτέρων H. ex emend., C.; — οἱ ἰ. τὰ τ. C.; — ἔχει J. M. N.; — ἐνευρήσεις H. ex emend., N. emendatum; — ἐς τὰ τοιαῦτα post ἀνευρήσειν cett.; ego abieci; — στομωθέντι E. ex emend., H. K., στομωθήτω J.

ὅσα δὲ — γεγράψεται.] δ' C., γάρ pro δέ B. N., in hoc vero δέ supra versum; — στομωμένα E. J. K., στομώμενα alii; ἢ καὶ ἀλλ. B. M. N., Littr., κατά pro καί vulg., κατά oblit. in H.

ὅταν οὖν — ἰήσιας.] πάσης τε vulg., sequor Marc., B. M. N.; — ἤ ante ἐναίμω omm. codd. 10.; — ἐναίμοις vulg., ἐναίμω B., ἐναίμω (superscr. οις) N.; — τῳ omm. Marc., C. N., in hoc tamen rest.; — καὶ ὑποστάσιας (mutatum in ὑποστ.) ἴσχῃ (addunt bis πυρώδεας ἢ χολώδεας) ὀχλῶδες καὶ μοχθηρόν cum δυσθεράπευτον in marg. N.; — καὶ ὑποστάσιας ὑγρῶν ἴσχῃ ὀχλώδεας, μοχθηρόν ex emend. al. m. H.; — καὶ ὑποστάσιας ἴσχῃ (ἴσχει B.) πυρώδεας ἢ χαλώδεας (χολώδεας codd.multi, inter quos Marc.) ὀχληρὸν (ὀχλῶδες in marg. δυσθεράπευτον M.) (ὀχλῶδες καὶ μοχθηρόν B.) vulg. Gal. in comm. p. 490. ὑγρῶν suppletum vult, ut legas καὶ ὑποστάσιας ὑγρῶν. Textum autem dedi, quemadmodum Littréus. Porro καὶ τοῦτο vulg., καί omm. B. C. M. N. Littr., ταῦτα ferunt B. M. N.

πάντων — εὐαρκέστατον.] Haec om E.

89. σπόνδυλοι — κυφοῦται.] σφόνδυλοι Gal., quae forma e paucis mss., inter quos Marc., in varr. lectt. ad hoc caput adnotatur; eam non recepi, sed tamen incertus sum utrum hac, quae Attica habetur, an altera per $\overline{\pi}$, quae Ionibus et

τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι, [1] ποτὶ καὶ ὅσα ἀνωτέρω τῶν φρενῶν τῆς προσφύσιος κυφοῦται. Τῶν δὲ κατωτέρω μετεξέτερα λύουσι κιρσοὶ γενόμενοι ἐν τοῖσι σκέλεσι, μᾶλλον δ' ἔτι ἐγγενόμενοι ἐν τῇ κατ' ἰγνύην φλεβὶ καὶ ἐν τῇ κατὰ βουβῶνα· ἤδη δέ τισι ἔλυσε καὶ [2] δυσεντερίη πολυχρόνιος γενομένη. Καὶ οἷσι μὲν κυφοῦται ῥάχις παισὶ ἐοῦσι πρὶν ἢ τὸ σῶμα τελεωθῆναι ἐς αὔξησιν, τούτοισι μὲν οὐδὲ ξυναύξεσθαι ἐθέλει κατὰ τὴν ῥάχιν τὸ σῶμα, ἀλλὰ σκέλεα μὲν καὶ χεῖρες τελειοῦνται· ταῦτα δὲ ἐνδεέστερα γίγνεται. Καὶ ὅσοισι [3] μὲν ἂν ᾖ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσι ἐς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' ἐς τοὔμπροσθεν, τό τε στῆθος ὀξὺ γίγνεται, ἀλλ' οὐ πλατὺ, αὐτοί [4] τε δύσπνοοι γίγνονται καὶ κερχνώδεες· ἧσσον γὰρ εὐρυχωρίην ἔχουσι αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. Καὶ [5] γὰρ δὴ καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ἔῃ αὐτοῖσι ἡ κεφαλή· στενοχωρίην μὲν οὖν πολλὴν [6] τῇ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ ἔσω ῥέπον· καὶ γὰρ τοῖσι ὀρθοῖσι φύσι δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν [7] ἄνω ῥέψῃ, ἔστ' ἂν ἀναπιεχθῇ. Δι' οὖν τὸ τοιοῦτον σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ [8] οἱ ὑγιέες· φυματίαι τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πνεύμονά εἰσι οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀπέπτων· καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώ-

solvi nequeunt, praecipue vero ubi superiore parte, qua septo connectitur, in gibbum curvantur. Quae vero infra sunt, eorum quaedam varicibus in cruribus obortis solvuntur; magisque etiam obortis in vena, quae est in poplite et in vena ad inguinem. Quosdam etiam ab hoc vitio diuturna intestinorum difficultas liberat. Et quibus adhuc pueris ante perfectum corporis augmentum spina in gibbum attollitur, iis quidem corpus ad spinam augeri non solet; verum crura et manus ad perfectionem deveniunt, illae autem partes exiliores evadunt. Ac quibus quidem supra septum transversum gibbus fit, iis quidem non in latum augeri, sed in anteriorem partem costae solent, neque pectus in latum, sed in acutum tendit, ipsique spiritum difficulter et cum stridulo sono trahunt. Iis namque cavitates, quae spiritus excipiunt et reddunt, angustiores evadunt. Etenim cervicem ad magnam vertebram in anteriorem partem recurvatam habere coguntur, ut ne caput pronum sit. Id igitur magnam faucibus angustiam exhibet, cum intro vergit. Nam et iis, qui secundum naturam recti sunt, os illud intro inclinatum, quoad repressum fuerit, spirandi difficultatem praebet. In huiusmodi ergo habitu homines illi gutturosi magis quam sani apparent, iidemque tuberculosi fiunt, ut plurimum tuberculis duris et crudis ad pulmonem obortis. Nam et plerisque tum gibbi, tum distentionis occasionem reflectiones huiusmodi afferunt, cum quibus vicini nervi communionem

[1] πρὸς δὲ καί. — [2] ἡ δυσεντ. tum πολυχρ. γενομ. om. — [3] μὲν ᾖ. — [4] δέ. — [5] γὰρ δὴ ἀναγκ. — [6] τῷ. — [7] ἔσω ῥεύσῃ. — [8] οἱ om.

communi dialecto tribuitur, noster scriptor recentior usus sit. — Ferunt οἷσι B. M. N. Marc.; — ποτί Ald. C. Marc., Littr., vulgatam e V. notavi: — κυφοῦνται B. M. N.

τῶν δὲ — γενομένη.] δ' ἔτι P., δέ τι cett.; — ἐγγινόμενοι cett., de meo aor. dedi. Post ἐγγενόμενοι ceteri κιρσοί, quod emblema est otiosum. Tum post ἐν τῇ κατ' ἰγνύην φλεβί vulgo. οἷσι δ' ἄν τι κύφωμα ᾖ, λύουσι. ἐγγίνονται δέ, verum οἷς ἂν τὰ κυφώματα λύηται B. (M. N. in margine οἷσι δ' ἄν τι κύφωμα ᾖ. λύουσι) P.; — Littréus οἷσι δ' ἂν τὰ κυφώματα λύηται. ἐγγίνονται δέ. Equidem omnia illa, utpote aliena, repudio. — Tum ἐν τοῖσι κατὰ βουβῶνα B. M. N. et H. ex emend.; — ἡ δυσεντ. vulgo, ἡ omm. B. M. N., Littr.; — πολυχρ. γεν. omm. plures Parr., uti V.; — γενομένη M. N., Littr., γιν. vulg.

καὶ οἷσι — γίγνεται.] ὅσοισι B. M. N.; — τελεωθῆναι M. N.; τελειωθῆναι cett.; — ἐθέλει B. M. N., Littr., ἐθέλοι vulg.; — γίνονται vulg., γίνεται Littr. e mss. 9. Parr.

καὶ ὅσοισι — προπέμπουσαι.] μὲν ἂν B. M. N., μέν sine ἄν, uti V., aliquot Parr., vulgo ἄν solum; — ἄνω sine ᾖ Gal. de dyspn. III. p. 921.; — κερχώδεες Littréus, sed nullo adlato argumento, cui fidem habeas.

καὶ — ἀναπιεχθῇ.] καὶ μέντοι καί vulg., sequor B. M. N.; in Marc., multis Parr. καὶ γάρ sine altero καί, cf. lectt. V.; — σφονδ. Marc.; — τῇ φαρ. Gal. l. l., Littr., τῷ φαρ. vulgo; — καὶ τοῦτο ξυμβάλλεται ἐς τὸ ἔσω B. N., Gal.

δι' οὖν — ξύνεγγυς.] διά N., Gal. l. l.; — τοιοῦτο N.; — οἱ ὑγιέες B. M. N., Littr., οἱ secundâ manu Marc., vulgo οἱ om.; — πλεύμονα Marc. B. N., Littr.; — οἷσιν ἂν κοινωνήσωσι B. E., Gal. l. l., et H. M. N. in marg.

ματος καὶ ἡ ξύντασις τοῖσι πλείστοισι διὰ τοιαύτας ξυστροφὰς γίγνεται, ᾗσι ἂν κοινωνήσωσι οἱ τόνοι οἱ ξύνεγγυς. Ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισι νοσήματα μὲν ἐνίοισι προσγίγνεται [1] νεφριτικὰ καὶ κατὰ κύστιν· ἀτὰρ καὶ ἀποστάσιες ἐμπυηματικαὶ κατὰ κενεῶνας καὶ κατὰ βουβῶνας χρόνιαι καὶ δυσαλθέες καὶ τούτων οὐδετέρη λύει τὰ κυφώματα· ἰσχία δὲ τοῖσι τοιούτοισι ἔτι ἀσαρκότερα γίγνεται, ἢ τοῖσι ἄνωθεν κυφοῖσι· ἡ μέντοι ξύμπασα ῥάχις μακροτέρη τούτοισι ἢ τοῖσι ἄνωθεν κυφοῖσι· ἥβη δὲ καὶ γένειον βραδύτερα καὶ ἀτελέστερα, καὶ ἀγονώτεροι οὗτοι τῶν ἄνωθεν κυφῶν. Οἷσι δ' ἂν ηὐξημένοισι [2] ἤδη τὸ σῶμα ἡ κύφωσις γένηται, τούτοισι ἀπαντικρὺ μὲν τῆς νούσου τῆς τότε παρεούσης κρίσιν ποιέει ἡ κύφωσις· ἀνὰ χρόνον μέντοι ἐπισημαίνει τι τῶν αὐτῶν, ὥσπερ καὶ τοῖσι [3] νεωτέροισι, ἢ πλέον, ἢ ἔλασσον· ἧσσον δὲ κακοήθεα [4] ὡς τὸ ἐπίπαν [5] μὴν τοιαῦτα [6] πάντα ἐστί. Πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιηρῶς τὴν κύφωσιν ἄχρι γήρως, μάλιστα δὲ οὗτοι, οἷσι ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες προτράπηται τὸ σῶμα· ὀλίγοι μὴν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν· οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσι. Ἔστι δ' οἷσι καὶ ἐς τὸ πλάγιον σκολιοῦνται σπόνδυλοι ἢ τῇ, ἢ τῇ· πάντα μὴν ἢ τὰ πλεῖστα τὰ τοιαῦτα γίγνεται διὰ ξυστροφὰς τὰς ἔσωθεν [7] τῆς ῥάχιος· προσξυμβάλλεται δὲ ἐνίοισι ξὺν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ' ὁκοῖα ἂν ἐθισθῶσι κεκλίνθαι. Ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖσι χρονίοισι τοῖσι κατὰ πνεύμονα νοσήμασι εἰρήσεται.

habent. At quibus infra septum transversum gibbus exsistit, nonnullis renum et vesicae vitia superveniunt, sed et abscessus ad suppurationem tendentes circa laterum inanitates et inguina diuturni ac curatu difficiles, quorum neutri gibbum solvunt. Iis vero coxae magis quam quibus supra gibbus exsistit, extenuantur. Tota tamen spina his quam illis longior. Pubes autem et barba serior et rarior increscit, et infoecundiores exsistunt quam quibus superioribus partibus gibbus est. At quibus iam adulto corpore gibbus fit, iis manifesto quidem praesentis morbi solutionem gibbus affert, temporis tamen progressu eadem quae aliis vel magis vel minus se ostentant; plerumque vero minus maligna illa sunt. Ac multi quidem cum facile tum salubriter gibbum iam ad senectutem usque sustinuerunt, praesertim quibus corpus carnosum et pingue est redditum. Ex iis tamen pauci annum sexagesimum superarunt, plerique etiam citius moriuntur. Nonnullis quoque ad latus vertebrae in hanc vel illam partem oblique intorquentur, sed haec omnia aut pleraque accidunt, quod ad interiorem spinae partem humorum collectiones fiunt. Praeterea etiam quibusdam una cum morbo ad id confert habitus quo iacere consueverunt. Verum de his dicetur in diuturnis pulmonis morbis.

[1] νεφρ. om. — [2] ἤδη om., tum τὸ σῶμα γένηται κυφ. — [3] ἑτέροισι. — [4] ὡς τό om. — [5] μέντοι. — [6] πάντα om. — [7] τῆς om.

ὅσοισι — κυφῶν.] ἀποστάσιες ἐς ἐμπύημά τι καὶ κατὰ κεν. vulg., ἐμπυήματι multi Parr., unde Littr. ἀποστάσιες ἐμπυήματι καὶ κατὰ κεν., sed recte C. ἐμπυηματικαί una voce, quod Marc. item fert et recipiendum est; — κατὰ κεν. om. C.; — καὶ βουβῶνας C. M. N.; — τούτοισι vulg., τοιούτοισι plures Parr., Marc., Littr.; — ἔτι om. Gal. et multi codd.; — ἡ μέντοι — κυφοῖσι omm. C. E.; in E. rest.; — βραδύτερα B. M. N., Littr., βραχύτερα vulg.

οἷσι δ' ἄν — πάντα ἐστι.] ὅσοισι Parr. 5., Marc.; — ἡ κυφ. γένηται Littr. cum Parr. 7., vulgo γεν. κυφ. sine ἡ; — τὸν αὐτόν pro τῶν αὐτῶν C. J. N.; — νεωτέροισι Ald., H. ex emend. al. m., O.; vulgatam e V. notavi; — κακοήθως ceteri, quod ex κακοήθεα ortum propter sequens ὡς; — μήν ex Ald., Parr. multis Littr., Marc.; μέν vulg.

πολλοὶ — εἰσί.] ἡγιηρῶς B. M. N., ὑγιεινῶς vulg.; — ἄσαρκον C.; — προστραπεῖται B. N., in hoc vero mutatum in προτράπηται, — μήν Littr. e Parr. 7., fert etiam Marc., μέν vulg.

ἔστι — κεκλίνθαι.] τὰ πλάγια B. M. N.; — μέν pro μήν Gal., Ald., O. — κεκλίσθαι ceteri.

ἀλλὰ — εἰρήσεται.] τοῖσι ante κατά B. M. N., vulgo om.; — πλευμ. C. Marc.; — post εἰρήσεται legi solet ἐκεῖ

ϛ'. Ὅσοισι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη, ὥστε ἐξιθυνθῆναι. Τοῦτο μὲν γὰρ, [1] αἱ ἐν τῇ κλίμακι κατασείσιες [2] οὐδένα πω ἐξίθυναν, ὧν γε ἐγὼ οἶδα· χρέονται [3] δὲ οἱ ἰητροὶ μάλιστα αὐτῇ οὗτοι οἱ ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον· τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμάσιά ἐστι, ἢν ἢ κρεμάμενον ἴδωσι, ἢ ῥιπτόμενον, ἢ ὅσα τοῖσι τοιούτοισι ἔοικε, καὶ ταῦτα κληΐζουσι αἰεὶ, καὶ οὐκέτι αὐτοῖσι [4] μέλει, ὁκοῖον ἀπέβη ἀπὸ τοῦ χειρίσματος, εἴτε κακὸν, εἴτε ἀγαθόν. Οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες, σκαιοί εἰσι, [5] οὕς γε ἐγὼ ἔγνων· τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον καὶ ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα καὶ τοῦτο καὶ ἄλλο πᾶν ὅ τι μηχάνημα κατὰ φύσιν ἐπενοήθη· οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας [6] καλῶς κατασείσειε, κἂν [7] ἐξιθυνθῆναι ἔνια. Αὐτὸς μέντοι κατησχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω, διὰ τοῦτο ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τοιοῦτοι τρόποι.

ϛα'. Ὁκόσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις [8] γίγνεται, ἧσσον εἰκὸς ὠφελέειν τὰς [9] κατασείσιας ταύτας τὰς ἐπὶ κεφαλήν· σμικρὸν γὰρ τὸ βάρος ἡ κεφαλὴ καὶ τὰ ἀκρώμια καταρρέποντα· ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι· μέζων γὰρ οὕτως ἡ καταρροπίη ἐπὶ [10] ταῦτα. Ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοισι εἰκὸς μᾶλλον ἐπὶ [11] κεφαλὴν κατασείεσθαι. Εἰ οὖν τις ἐθέλοι κατασείειν,

90. At quibus ex casu spina in gibbum curvatur, iis sane paucis in directum reducitur. Etenim quae per scalam fiunt concussiones, neminem, quod ego quidem noverim, restituerunt. Ea autem ii potissimum utuntur medici, qui magnifica quadam de se opinione vulgo fucum facere student. Nam apud eiusmodi homines ista in admirationem vertuntur, si aliquem pendere, proiici, aut tale quippiam viderint, semperque illa in vulgus spargunt, neque praeterea quidquam pensi habent, num quid ex huiusmodi manuum opere rectum aut pravum consequatur. Medici tamen, qui haec student, quos equidem novi, inepti sunt. Nam et commentum vetus est, et equidem vehementer laudo qui primus excogitavit tum hoc tum quodvis aliud inventum secundum naturam excogitatum. Neque enim diffido quîn, si quis eo probe instructo probe concussionem moliatur, nonnulla reduci queant. Ad huiusmodi tamen omnia istam adhibere medelam turpe existimavi, quod haec curationis ratio impostores magis decet.

91. Quibus igitur secundum cervicem gibbus exsistit, ii hac concussione in caput facta minus iuvari posse videntur. Caput namque et summi humeri propendentes parvum pondus efficiunt. Sed hos, si in pedes demissi concutiantur, magis reduci consentaneum est. Ita enim maius habent propensionis deorsum momentum. At quibus inferiore parte gibbus est, ii capite demisso concuti debere magis videntur. Si quis ergo concussione uti volet, eam

[1] αἱ om. — [2] οὐδὲν ἀπὸ ἐξίθ. — [3] γάρ. — [4] μέλλει. — [5] οὗς. — [6] καλῶς om. — [7] ἐξιαθηναι. — [8] γίνηται. — [9] καταστάσιας. — [10] τὰ τοιαῦτα. [11] τὴν κεφ.

γάρ εἰσι αὐτῶν χαριέσταται προγνώσιες περὶ τῶν μελλόντων ἔσεσθαι, quod emblema alienum repudio; ineptum est vel propter id solum, quod εἰρήσεται futuro tempore legimus ab ipso auctore datum.

90. ὅσοισι — ἐξιθυνθῆναι.] οἷσι N. mutatum in ὅσοισι.

ταῦτα μὲν — ἀγαθόν.] κατατάσιες vulg., κατασείσιες Littr. cum mss. 9.; idem fert Marc.; — οὐδὲν ἀπεξίθυναν vulg., οὐδὲν ἀποεξίθυναν Parr. 4., Marc., cum Littréo sequor B. M. N.; — χρέονται δέ Littr. cum mss. 6., γάρ pro δέ vulg.; — οὗτοι οἱ vulgo, οὕτως Dietz. p. 36.; — ῥιπτούμενον vulgo, ῥιπτεόμενον Littr., mss. 4., ῥιπτόμενον recte Marc.

οἱ μέντοι — ἔνια.] οὓς ἔγωγε vulg., οὕς γε ἐγώ Marc., Dietz. p. 37.; — καλῶς κατασείσειε B. et N., in quo καλῶς punctis subnot., Littr., vulgo καλῶς om.; — ἐξιθῦναι vulg., ἐξ.θυνθῆναι Parr. 7., Marc., Littr.

αὐτὸς — τρόποι.] οἱ τρ. οἱ τοιοῦτοι Dietz. p. 37.

91. ὁκόσοισι — καταρροπίη.] ὁκόσοισι M. N., ὅσοισι vulg.; — γίνεται Littr. cum mss. 7.; item Marc., vulgatam e V. notavi; — κατασείσιας Littr. de suo, κατατάσιας vulgo, καταστάσιας, uti V., pauca mss.; — τε pro γε H. K.; — ἐπὶ τοὺς πόδας vulgo, ἐπὶ πόδας rectius Parr. 6., Marc.; — vulgo ἡ καταρροπίη (ἡ addunt B. N.) ἐπὶ τοιαῦτα (ταῦτα ex mss. 8. Littr., idemque fert Marc.); — illud ἐπὶ ταῦτα omnino abundat; non tamen emblema esse alienum docet § 92., ubi eadem dictio.

εἰ οὖν τις — κλίμακα.] ἐθέλοι Parr. 10., Marc., Littr., οι ἐθέλει vulg.; — σκευάζειν H.; — τὴν μὲν κλιμ. M. N. Littr., μέν vulgo om.; — καταστρῶσαι vulg., κκταστορέ-

ὀρθῶς ἂν ὧδε σκευάζοι· τὴν [1]μὲν κλίμακα χρὴ σκυτίνοισι [2]ὑποκεφαλαίοισι πλαγίοισι, ἢ ἐρινέοισι καταστορέσαι εὖ προσδεδεμένοισι, ὀλίγῳ πλέον καὶ ἐπὶ μῆκος καὶ ἔνθεν καὶ ἔνθεν ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατάσχοι· ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρή· κἄπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὸν κλίμακα μὴ [3]διαβεβῶτας [4]δεσμῷ εὐόχῳ μὲν, μαλθακῷ δέ· προσδῆσαι δὲ κατωτέρω [5]ἑκάτερον τῶν γουνάτων καὶ ἀνωτέρω· προσδῆσαι δὲ καὶ [6]κατὰ τὰ ἰσχία· κατὰ δὲ τοὺς κενεῶνας καὶ κατὰ τὸ στῆθος χαλαρῇσι ταινίῃσι περιβαλέειν οὕτως, ὅκως μὴ κωλύωσι τὴν κατάσεισιν· τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς παρατείναντα [7]προσκαταλαβεῖν πρὸς αὐτὸ τὸ σῶμα καὶ μὴ πρὸς τὴν κλίμακα. Ὅταν δὲ κατασκευάσῃς οὕτως, ἀνέλκειν τὴν κλίμακα ἢ πρὸς τύρσιν τινὰ ὑψηλὴν, ἢ πρὸς ἀέτωμα οἴκου· τὸ δὲ χωρίον, ἵνα κατασείεις, ἀντίτυπον ἔστω· τοὺς δὲ ἀνατείνοντας εὐπαιδεύτους χρὴ εἶναι, ὅκως ὁμαλῶς [8]καὶ ἰσορρόπως καὶ ἐξαπιναίως [9]ἀφήσουσι καὶ μήτε ἡ κλίμαξ ἑτερόρροπος [10]ἐπὶ τὴν γῆν ἀφίξεται, μήτε αὐτοὶ προπετέες ἔσονται. Ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος, ἔτι κάλλιον ἄν τις κατασκευάσαιτο, ὥστε ἀπὸ [11]τροχιλίης τὰ χαλώμενα εἶναι ὅπλα ἢ ἀπὸ ὄνου. Ἀηδὲς μὴν καὶ [12]μακρολογέειν περὶ τούτων· ὅμως δὲ ἐκ τούτων ἂν τῶν κατασκευῶν [13]κάλλιστ' ἄν τις κατασεισθείη.

recte hunc in modum instituet. Scalae scorteos pulvinos aut laneos in obliquum substratos, paulo ampliore in latitudinem et longitudinem hinc et inde spatio quam quantum hominis corpus occupat, probe adligare convenit. Post haec homine super scalam resupinato pedes quidem non diductos iuxta malleolos vinculo sane bene firmo, molli tamen, ad scalam devincire oportet. Alligare quoque supra et infra utrumque genu itemque ad coxas convenit; ad laterum autem inanitatem et pectus fasciae laxae sic circumiiciendae, ut ne concussionem prohibeant. Manus vero ad latera extentae iuxta corpus ipsum, non ad scalam demittendae. Scala ita instructa ad turrim aliquam altam aut domus fastigium attrahenda. Locus autem, super quem concussio fit, renitens esto. Qui vero attollunt probe edocti esse debent, ut aequaliter et aequabili libramento repenteque demittant, quo neque scala in alteram partem propendens ad terram deveniat, neque ipsi proni ferantur. Ex turri tamen aut malo defixo, in quo insint carchesia, commodior demissio fiet, si ex trochlea aut axe funes laxentur. Sed fortasse molestus est longior de his sermo. Per hunc tamen apparatum maxime quis concuti possit.

[1] μέν abest. — [2] ἐν ὑποκεφ. — [3] διαβεβῶτα. — [4] ἐν δεσμῷ εὐρυχώρῳ μέν. — [5] ἑκάτερον — ἀνωτέρω om. — [6] κατά om., sed καὶ τὰ ἰσχία fert. [7] πρὸς καταβαλεῖν. — [8] καὶ καλῶς καὶ ἰσορρ. — [9] ἀφήσωσι. — [10] εἰς γῆν. — [11] τροχολίης. — [12] μακρηγορεῖν. — [13] μάλιστα ἄν τις.

σαι Marc. et Parr. permulti, licet in eorum nonnullis in καταστορεῦσαι abierit; — καὶ ὀλίγω B. M. N.; — κατάσχῃ E., Dietz.; — ἐπιτείναντα pro ἔπειτα Dietz.; — καὶ ἔπειτα N. mutatum in κἄπειτα; — προσδῆσαι μὲν χρή Dietz.; — διαβεβῶτα vulg., etiam Marc., διαβεβῶτας B. M. N. cum falsissima glossa in marg. ἐπικείμενον τὸν ἕτερον τῷ ἑτέρῳ, Littr.; omnino διαβεβῶτας legendum, quod non ad hominem sed ad pedes spectat. Porro εὐβρόχῳ C. E. H. Q.' Marc., ἐνόχῳ Dietz., Galenum εὐόχῳ legisse e comm. constat. Vulgo καὶ κατὰ ἰσχία, sed καὶ κατὰ τὰ ἰσχία ex edd. antt., multis mss. Littr. — Ante τὸ στῆθος L. M. κατά omm.; — περιβάλλειν iidem, προσπεριβάλλειν Dietz.; — κωλύσωσι B. M.; — τὴν κατάτασιν B. M. N., sed M. N. in marg. κατάσεισιν; — περιτείναντα vulg., παρατείναντα Littr. e Parr. 8.; idem ferunt Voss., Marc.

ὅταν — ἔσονται.] ταῦτα κατασκ. vulgo, ταῦτα omm. Gal., Parr. 4., Voss.; — σκευάσῃς M. N. U.; — ἀνενεγκεῖν K.; ἢ ante πρὸς τύρσιν omm. B. H. M. N.; — ἵνα ὅκου vulg., ὅκου omm. B. C. M. N. Marc., Littr.; — εἶναι χρή B. M. N.; — ὁμαλῶς καὶ καλῶς vulg., uti V.; καὶ καλῶς omm. N., ubi rest. in marg., Littr.; — ἀφήσωσι edd. antt., mss. pleraque, ἀφήσουσι vulg., Marc.; — εἰς γῆν vulg., ἐπὶ γῆν B. C. E. K. Marc., ἐπὶ τὴν γῆν H. M. N., Littr.

ἀπὸ — ὄνου.] τοῦ ἱστοῦ H. K. Q.'; — σκευάσαιτο vulg., κατασκευάσαιτο C.; — τροχιλιῆς Marc. et plures Parr., τροχαλιῆς, τροχολιῆς alii; — ὅπλα εἶναι Dietz.

ἀηδὲς — κατασεισθείη.] μακρολογέειν Littr. ex M., μακρολογεῖν Parr. 6., Marc., vulgatam e V. notavi; — ἂν

ϛβ'. Εἰ μέντοι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ κατασείειν [1] πάντως, ἐπὶ πόδας κατασείειν λυσιτελέει, ὥσπερ ἤδη εἴρηται· πλείων γὰρ οὕτω γίγνεται ἡ καταρροπίη ἐπὶ ταῦτα. Ἑρμάσαι [2] δὲ χρή, κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα ἰσχυρῶς, κατὰ δὲ τὸν αὐχένα ὡς χαλαρωτάτῃ ταινίῃ, ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα· καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα· [3] τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσδῆσαι καὶ μὴ πρὸς τὴν κλίμακα· τὸ μέντοι ἄλλο σῶμα ἄδετον εἶναι χρή, πλὴν ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα ἄλλῃ [4] καὶ ἄλλῃ ταινίῃ χαλαρῇ [5] περιβεβλῆσθαι· ὅκως [6] δὲ μὴ κωλύωσι οὗτοι οἱ δεσμοὶ τὴν κατάσεισιν, σκοπέειν· τὰ δὲ σκέλεα πρὸς μὲν τὴν κλίμακα [7] μὴ προσδεδέσθω, πρὸς ἄλληλα δέ, ὡς κατὰ τὴν ῥάχιν ἰθύρροπα ἔῃ. Ταῦτα μὲν τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι· αἰσχρὸν μέντοι καὶ ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πουλὺν ὄχλον καὶ πολλὴν ὄψιν καὶ πουλὺν λόγον παρασχόντα, ἔπειτα μηδὲν ὠφελῆσαι.

92. Quodsi superiore admodum parte gibbus exstiterit, omninoque concussione opus sit, eam in pedes facere, velut iam dictum est, expedit. Ita enim maius eam in partem fit propensionis momentum. Ac obfirmari quidem pectus debet valide ad scalam alligando. Cervix vero quam laxissima fascia, eatenus ut dirigi possit. Ipsumque caput iuxta frontem ad scalam alligandum; manus autem porrectae ad corpus, non ad scalam devinciendae. Reliquum tamen corpus solutum esse oportet, nisi quatenus dirigi queat alia atque alia parte fascia laxa circumdari debet. Sed videndum est, ne huiusmodi vincula concussionem prohibeant. Crura vero non ad scalam quidem, verum inter se alligentur, ut ad spinam e directo propendeant. Atque haec quidem eo modo paranda sunt, si quis omnino ea, quae per scalam fit, concussione opus habet. Turpe autem est cum in omni arte tum vero in arte medendi vel maxime post multum exhibitum negotium, multum apparatum multamque de se excitatam opinionem, tandem nihil opis adferre.

ϛγ'. Χρὴ δὲ πρῶτον μὲν γιγνώσκειν τὴν φύσιν τῆς ῥάχιος, οἵη τίς ἐστι· ἐς πολλὰ γὰρ προσδέοι ἄν. Τοῦτο μὲν γάρ, τὸ πρὸς τὴν κοιλίην ῥέπον οἱ σπόνδυλοι ἐντὸς ἄρτιοί εἰσι ἀλλήλοισι καὶ δέδενται πρὸς ἀλλήλους δεσμῷ μυξώδεϊ καὶ νευρώδεϊ ἀπὸ χόνδρων ἀποπεφυκότι ἄχρι πρὸς τὸν νωτιαῖον.

93. Inprimis autem spinae natura cognoscenda est; qua re ad multas alias opus est. Etenim qua parte ventrem spectat ab interiore parte vertebrae inter se sunt aequabiles, ac mucoso et nervoso ligamento inter se devinctae, quod a cartilaginibus exortum ad medullam usque progreditur. Quidam etiam alii tendones ner-

[1] πάντως — κατασείειν om. — [2] μὲν οὖν χρή. — [3] τὰς δὲ — κλίμακα om. — [4] καὶ ἄλλῃ om. — [5] περιβεβλῆσθαι. — [6] ἂν μή. — [7] προσδεδέσθω sine μή.

ante τῶν om. Dietz.; — παρασκευῶν aliquot mss.; — μάλιστα vulg., μάλιστ' C. E. H. K. Marc.; — κάλλιστ' B. et M. N. in marg., Littr.

92. εὖ μέντοι — ταῦτα.] μέντοι Littr. cum codd. 11., idem fert Marc., μέν τι vulg.; — πάντως κατασ. Dietz.; — ἐπὶ πόδας κατασείειν om. Voss., κατασείειν vulgo abest; ex codd. 11., in quorum duobus in marg. legitur, adiecit Littr.; fert etiam Marc.; — ἤδη omm. G. J., δή pro illo Dietz.

ἑρμάσαι — ἔῃ.] ἑρμάσαι Parr. 6., Marc., Littr., ἑρμῆσαι vulg., ἑρμᾶσαι alii codd.; — δὲ χρή C. E. H. K. M. N. Q.', μὲν χρή Gal., Ald., alii Parr. 5., μὲν οὖν χρή cod. Sev., uti V., μὲν οὖν sine χρή vulg.; — προσδήσαντα, δῆσαι δὲ ἰσχυρῶς τὸν αὐχ. Dietz.; — κατορθοῦν M. N., in marg. vulgata; — καὶ μή Littr. cum mss. 6., Marc., καί om. vulg.; — κατορθῶσαι εἵνεκα C.; — ὅκως ἂν μή, uti V., Parr. 4.; — κωλύσωσι B. M. N., κωλύσωσι τὴν κατάτασιν οὗτοι οἱ δ. Dietz.; — εἰς εὐθὺ ῥέπῃ idem.

ταῦτα — ὠφελῆσαι.] μέν H. et Marc., vulgo μέντοι; — ποιητέον Dietz.; — αἰσχρὸν μὲν ἐν Dietz., voluerunt μήν; — πουλὺν ὄχλον et πουλὺν λόγον etiam Marc.; — καὶ ἔπειτα Dietz.

93. χρὴ δὲ — ἄν.] omnes: ἐς πολλὰ γὰρ νοσήματα προσδέοι (προσδέον K.) ἂν αὐτῆς, quod quam sit absurdum statim apparet, ubi reputas quorsum spectet αὐτῆς. Nempe referri potest ad τὴν ῥάχιν, aut ad τὴν φύσιν τῆς ῥάχιος, quorum utrumque aeque ridiculum. Sed προσδέοι spectat ad τὸ γιγνώσκειν τὴν φύσιν τῆς ῥάχιος, ita ut αὐτῆς emblema alienum videatur. Verum ista cognitio confert, seu opus est eâ πρὸς πολλά, non πρὸς πολλὰ νοσήματα; itaque νοσήματα item delendum. Quae supersunt demptis his emblematis sponte intelliguntur.

τοῦτο μὲν — νωτιαῖον.] μυξώδεσι C.; — ἀνευρώδεσι idem; — ἀποπεφυκότων emend. N. — Nihil me iudice hoc loco describitur nisi ligamenta intervertebralia.

Ἄλλοι δέ τινες τόνοι νευρώδεες, διανταῖοι, πρόσφυτοι παρατέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν. Αἱ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται, ὅσαι τε καὶ οἷαι καὶ ὅθεν ὡρμημέναι καὶ ἐν οἵοισι οἷα δύνανται, αὐτός τε ὁ νωτιαῖος οἷσι ἐλύτρωται ἐλύτροισι, καὶ ὅθεν ὡρμημένοισι, καὶ ὅπῃ κραίνουσι, καὶ οἷσι κοινωνέουσι, καὶ οἷα δυναμένοισι. Ἐν δὲ τῷ ἐπέκεινα, ἐν ἄρθροισι [1]γεγιγγλύμωνται πρὸς ἀλλήλους οἱ σπόνδυλοι. Τόνοι δὲ κοινοὶ παρὰ πάντας καὶ ἐν τοῖσι ἔξω μέρεσι καὶ ἐν τοῖσι ἔσω παρατέτανται. Ἀπόφυσίς [2]τέ ἐστι ὀστέου ἐς τὸ ἔξω μέρος ἀπὸ πάντων τῶν σπονδύλων μία ἀπὸ ἑνὸς ἑκάστου ἀπό τε τῶν μειζόνων ἀπό τε τῶν ἐλασσόνων· ἐπὶ δὲ τῇσι ἀποφύσισι ταύτῃσι χονδρίων ἐπιφύσιες καὶ ἀπ' ἐκείνων νεύρων ἀποβλάστησις ἠδελφισμένη τοῖσι ἐξωτάτω τόνοισι. Πλευραὶ δὲ προσπεφύκασι ἐς τὸ εἴσω μέρος τὰς κεφαλὰς ῥέπουσαι μᾶλλον, ἢ ἐς τὸ ἔξω· καθ' ἕνα δὲ ἕκαστον τῶν σπονδύλων προσήρθρωνται· καμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσὶ [3]ῥοιβοειδέα τρόπον. Τὸ δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῶν ὀστέων τῶν ἀποπεφυκότων ἀπὸ τῶν σπονδύλων, ἀποπληρέουσι ἑκατέρωθεν οἱ μύες ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι ἄχρι τῆς προσφύσιος. Αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστι· ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ μεγάλου σπονδύλου, παρ' ὃν προσήρτηται τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή· κύστις [4]τε γὰρ καὶ γοναὶ καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τούτῳ ἔκτισται. Ἀπὸ δὲ τούτου ἄχρι

vosi a summo ad imum in longitudinem protensi adnascuntur, et ab utraque parte ad eorum latera porriguntur. Venarum vero et arteriarum communitates quotque et quales sint et unde initium ducant, quamque in quibus vim habeant alias declarabuntur. Tum ipsa dorsi medulla quibus involucris obvolvatur, unde ortum ducant et ubi desinant et quibuscum communionem qualemque vim habeant. Ultra autem hunc locum vertebrae inter se cardinis modo committuntur. Tendones vero communes ad omnes tum exterioribus tum interioribus partibus porriguntur. Atque ex omnibus vertebris in exteriorem partem ossis processus ex singulis unus tum maioribus, tum minoribus eminet. His autem processibus adnata est cartilago, ex eaque nervi producuntur, tendonibus exterioribus assimiles. Costae vero interiorem partem magis quam exteriorem suis capitibus spectantes annexae sunt et cum unaquaque vertebra sigillatim committuntur. Maxime autem incurvae sunt hominis costae, eorum modo quae vaga sunt. Costarum vero et ossium quae ex vertebris procedunt intermedium complent utrimque musculi, qui a cervice initium ducentes ad insertionem usque protenduntur. Ipsa vero spina in longitudinem ex recto obliquatur. Ab osse quidem sacro ad magnam vertebram usque, iuxta quam crurum nexus dependet, in gibbum incurvatur. Vesica namque et partes naturales rectique intestini laxitas eo in spatio sunt constituta. At inde ad septi transversi annexionem

[1] γεγλύμωνται. — [2] τε. — [3] ῥοβοειδέα. — [4] τε om.

ἄλλοι — αὐτῶν.] ἔνθα καὶ ἔνθα C. — Quos τόνους νευρώδεις h. l. describat, incertum videtur.

αἱ δὲ φλεβῶν — δυναμένοισι.] ἐν οἷσι οἷα M. N.; — αὐτός τε Parr. 7., Marc., αὐτὸς δέ cett.

ἐν — σπόνδυλοι.] ἐν ἄρθροισι γεγιγγλύμωνται πρὸς ἀλλ. tmesis mihi esse videtur pro ἄρθροισι ἐγγεγιγγλύμωνται πρὸς ἀλλ.

ἀπόφυσίς τε — τόνοισι.] δέ pro τε Littr. ex N. solo, ubi supra versum τε; — ἀπὸ μὲν τῶν μέζων ἀπὸ δὲ τῶν ἐλάσσων C. et Marc., in quo vulg. in marg. a pr. m.; — ἀπὸ ἐκείνων C. K.

πλευραὶ — τρόπον.] δέ Littr. revocavit ex edd. antt., mss. multis, ferunt etiam Marc., Voss.; — δ' ἕκαστον C. — Vulgo ῥοβοειδέα (οι supra), sed ῥοιβοειδέα B. M., ῥαιβοειδέα N., ῥεμβωδέα C., ῥομβοειδέα U.; Marc. ῥαιμβοειδέα et m. pr. in marg. ῥαιμβοειδέα γρ. καὶ ῥυκοειδέα in quibus lectt. latet ῥεμβοειδέα et ῥοικοειδέα; Littr. ῥαιβοειδέα dedit; sequor B. M. Aretaeus hunc locum imitatus ῥεμβοειδέα τρόπον habet, sed alio sensu; vid. index.

τὸ δὲ μεσηγὺ — προσφύσιος.] οἱ ἄχρι C. solus; — ἄχρι τῶν φρενῶν τῆς προσφύσιος vulg., τῶν φρ. omm. Parr. 4., Littr. Recte! Nam ex Gal. comm. a recentioribus expletum est. Nolo longus esse: mihi illa ὀστέα ἀποπεφυκότα ἀπὸ τῶν σπονδύλων sunt processus vertebrarum; docet enim periodus penultima huius capitis: — οἱ μύες sunt οἱ μύες οἱ ῥαχῖται, quos vocat Gal.; — ἡ πρόσφυσις est locus insertionis illorum musculorum non diaphragmatis, uti voluerunt Pelops, Galenus.

αὐτὴ — ἔκτισται.] τε om. cod. Sev., uti V.

ἀπὸ — ψύας.] ἐκ τῶν εἴσωθεν μερῶν B. M. N., Littr., vulgo μερῶν abest; — ψόας vulg., ψύας Marc. C., alii pauci.

φρενῶν προσαρτήσιος, ἰθυλόρδη καὶ παραφύσιας ἔχει μυῶν τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν εἴσωθεν, ἃς δὴ καλέουσι [1]*ψόας. Ἀπὸ δὲ τούτου ἄχρι τοῦ μεγάλου σπονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκύφη· ἔτι δὲ μᾶλλον δοκέει ἢ ἐστί· ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους. Αὐτὸ δὲ τὸ ἄρθρον τὸ τοῦ αὐχένος λορδόν ἐστι.*

ex recto in interiorem partem inclinatur. Solusque hic locus ab interiore parte musculos adnatos habet, quos quidem *ψύας* nominant. Ab hac autem parte ad magnam vertebram, quae est supra summam humerorum partem, ex recto in gibbum elevatur, imo vero huiusmodi magis apparet quam est. Spina namque media sui parte eminentissimos, ab utraque autem parte minores ossium processus habet. Ipse vero cervicis articulus in anteriorem partem inclinatur.

ϛδʹ. Ὁκόσοισι μὲν οὖν κυφώματα γίγνεται κατὰ τοὺς σπονδύλους, ἔξωσις μὲν μεγάλη ἀπορραγεῖσα ἀπὸ τῆς ξυμφύσιος ἢ ἑνὸς σπονδύλου ἢ καὶ πλειόνων οὐ μάλα πολλοῖσι γίγνεται, ἀλλ' ὀλίγοισι. Οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδιον γίγνεσθαι· οὔτε γὰρ ἐς τὸ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστι, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινι τρωθείη διὰ τῆς κοιλίης, — οὕτω δ' ἂν [2]*ἀπόλοιτο, — ἢ εἴ τις ἀφ' ὑψηλοῦ του χωρίου πεσὼν ἐρείσειε τοῖσι ἰσχίοισι ἢ τοῖσι ὤμοισι, — ἀλλὰ καὶ οὕτως ἂν ἀποθάνοι, παραχρῆμα δὲ οὐκ ἂν ἀποθάνοι· — ἐκ δὲ τοῦ ὄπισθεν οὐ ῥηΐδιον τοιαύτην ἔξαλσιν γενέσθαι ἐς τὸ ἔσω, εἰ μὴ ὑπέρβαρύ τι ἄχθος ἐμπέσοι· τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων* [3]*ἔξω ἓν ἕκαστον τοιοῦτόν ἐστι, ὥστε πρόσθεν ἂν αὐτὸ* [4]*καταγῆναι πρὶν ἢ μεγάλην ῥοπὴν εἴσω ποιῆσαι, τούς τε ξυνδέσμους* [5]*βιησάμενον καὶ τὰ ἄρθρα τὰ ἐνηλλαγμένα. Ὅ τε αὖ νωτιαῖος πονοίη ἄν, εἰ ἐξ ὀλίγου χωρίου τὴν περικαμπὴν ἔχοι, τοιαύτην ἔξαλσιν ἐξαλλομένου σπονδύλου,* [6]*ὅ τε ἐκπηδήσας σπόνδυλος πιέζοι ἂν τὸν νωτιαῖον, εἰ μὴ καὶ ἀπορρήξειε· πιεχθεὶς δ' ἂν καὶ ἀπολελαμμένος πολλῶν ἂν*

94. Quibus igitur vertebrae in gibbum protuberant, iis abrupta compage una aut plures vertebrae magna vi foras protruduntur; quod paucis, neque ita multis accidit. Neque enim huiusmodi offensiones facile fiunt, neque in exteriorem partem expelli vertebrae prompte possunt, nisi anteriore parte vehementi ictu per ventrem vulnus accipiatur; hoc vero pacto homo intereat; aut nisi quis ex superiore loco delapsus, in coxas aut humeros impingat; sed et hoc pacto licet non statim, attamen intereat. At vero a posteriore parte non ita facile vertebrae suo loco desilire in interiorem possunt, nisi perquam grave onus aliquod corruat. Ossium enim, quae in exteriorem partem prominent, unumquodque eam habet naturam, ipsum uti potius frangatur quam ut ligamentis et articulis mutuo inter se cedentibus vi adductis magno momento in interiorem partem inclinet. Dorsi item medulla ex parvo spatio inflexionem habens affligeretur, ubi vertebra hoc modo suo loco exsilierit, tum loco mota vertebra dorsi medullam comprimeret, si non etiam disrumperet. Ea autem compressa et intercepta multis magnis praecipuisque partibus torporem indu-

[1] ψόας. — [2] ἀπόλλοιτο. — [3] ἔξωθεν ἕκαστον. — [4] καταγείη. — [5] βιασάμενον. — [6] ὅ τε ἐκπ.

ἀπὸ δὲ — ἐλάσσους.] ἰθυκυφής M. N.; — ἰθὺ κυφή, uti supra ἰθὺ λόρδη C.; — ἔχει τῶν ὀστ. B. M. N.

αὐτὸ — ἐστι.] τὸ τοῦ C. E. H. K., cett. τό non habent; in N. oblit.

94. οὐδὲ γὰρ — ἐνηλλαγμένα.] οὐδὲ γάρ cod. Sev., Voss.; — ἐξωθῆναι Gal.; — διὰ κοιλίης J.; — ἀπόλοντο etiam Marc.; — ἀλλὰ καὶ οὕτως Littr. cum Parr. 7., idem fert Marc., ἀλλὰ καὶ οὗτος vulgata; — ἔκ τε τῶν ὄπισθεν N.; — τοιαύτην τὴν ἔξαλσιν B., ἐξέλασιν Marc. in marg.; — ἔξω ἓν M. N., Littr., ἔξωθεν vulg.; — βιησάμενον E., Littr., βιασάμενον vulg., ποιησάμενον C. H. Marc., in H. supra versum βιασάμενον, quod Marc. in marg. habet et in H. in marg. βιησάμενον; — κατὰ ἄρθρα C. Marc., et H. cum καί superscripto, καὶ κατὰ ἄρθρα K., καὶ κατὰ τὰ ἄρθρα E., κατὰ τὰ ἄρθρα Q.'

ὅ τε αὖ — παρεόντων.] ὅ γε αὖ C., αὖ om. E.; — ἐξέλασιν Gal. de Hipp. et Plat. dogm. p. 748.; — ἐξαλλασσομένου H., Marc., uterque in marg.: γεγρ. καὶ ἐξαλλομέ-

καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειε· ὥστε οὐκ ἂν μέλοι τῷ ἰητρῷ, ὅκως χρὴ τὸν σπόνδυλον κατορθῶσαι, πολλῶν καὶ βιαίων ἄλλων κακῶν παρεόντων. Ὥστε δὴ οὐδ' ἐμβαλεῖν οἷόν τε πρόδηλον τὸν τοιοῦτον, οὔτε κατασείσι, οὔτε ἄλλῳ τρόπῳ [1]οὐδενὶ, εἰ μή τις διαταμὼν τὸν ἄνθρωπον ἔπειτα ἐσμασάμενος ἐς τὴν κοιλίην ἐκ τοῦ ἔσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι· καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δὲ οὐ πάνυ. Διὰ τί οὖν ταῦτα γράφω; Ὅτι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσι ἔσωθεν ἐνέπεσον σπόνδυλοι τελέως ὑπερβάντες τὰ ἄρθρα· καίτοι γε ῥηΐστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων ταύτην ἔνιοι νομίζουσι καὶ οὐδὲν δέεσθαι ἐμβολῆς, ἀλλ' αὐτόματα ὑγιέα γίγνεσθαι τὰ τοιαῦτα. Ἀγνοέουσι δὲ πολλοὶ καὶ κερδαίνουσι, ὅτι ἀγνοέουσι· πείθουσι γὰρ τοὺς πέλας. Ἐξαπατῶνται δὲ διὰ τόδε· οἴονται [2]γὰρ τὴν ἄκανθαν τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν, ταύτην τοὺς σπονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοεῦντες ὅτι τὰ ὀστέα ταῦτά ἐστι τὰ ἀπὸ τῶν σπονδύλων πεφυκότα, περὶ ὧν ὀλίγῳ πρόσθεν εἴρηται· οἱ δὲ σπονδύλοι πολὺ προσωτέρω ἄπεισι· στενωτάτην γὰρ πάντων τῶν ζώων ὥνθρωπος τὴν κοιλίην ἔχει, ὡς ἐπὶ τῷ μεγέθεϊ, ἀπὸ τοῦ ὄπισθεν ἐς τὸ ἔμπροσθεν, ποτὶ δὲ καὶ κατὰ τὸ στῆθος. Ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἓν,

ceret. Adeo ut multis aliis urgentibus malis ad dirigendam vertebram medico curam intendere non liceat. Quare illud neque concutiendo, neque quapiam alia ratione reponi posse manifestum est, nisi si quis homine dissecto, deinde manu immissa in ventrem contrectando interiorem protrudat; quod mortuo quidem licet, vivente vero nequaquam fieri potest. Quorsum igitur haec scribimus? Quoniam nonnulli existimant se eos sanasse, quibus vertebrae in totum articulis excedentes interiorem in partem prolapsae sunt. Quamvis quidem ab hac perversione facillime evadere posse nullaque opus esse repositione, sed eiusmodi sponte sanescere quidam existimant. Ignari autem multi sunt, ex eaque ignorantia id lucri faciunt, quod alios ista persuasione imbuunt. At illud eos in errorem induxit quod spinam, quae in ea dorsi parte eminet, vertebras ipsas esse existimant, propterea quod eorum unumquodque attrectanti rotundum appareat; neque intelligunt ea ossa esse, quae a vertebris procedunt, de quibus paulo ante sermo fuit; vertebrae autem longe in anteriorem partem abeunt. Angustissimum si quidem inter omnia animantia homo pro magnitudine ventrem habet a posteriore parte in anteriorem, maxime etiam ad pectus. Quum igitur ex his ossibus quae supereminent aliquod valide fractum fuerit, sive unum, sive plura, ea parte locus depressior quam hinc et inde redditur idque iis imponit, quod vertebras intro

[1] τινι tum οὔτε κατασείσει οὔτ' ἄλλω τρόπω τινί ponitur ante πρόδηλον. — [2] γάρ om.

νου; καὶ ἐξαλλομένου C.; — ὅ τε ἐκπ. Gal. l. l., mss. 11. Parr., Voss., ὅ τ' ἐκπ. vulg.; — εἰ μὴ ἀπορρήξειεν C.; — ἀπολελυμμένος K., i. e. ἀπολελημμένος, E. ἀπολελειμμένος.

ὥστε — πάνυ.] ὥστε δὲ οὐδ' ἐμβαλεῖν οἷόν τε πρόδηλον (προδ. om. M., linea not. in N.) τὸν τοιοῦτον οὔτε κατασείσει, οὔτε ἄλλω τρόπω οὐδενί B. M. N.; — ὥστε δὴ (δεῖ C.) οὐδ' (οὐδέ K.) ἐμβαλεῖν οἷόν τε οὔτε κατασεῖσαι (κατασείσαι Gal., Merc., $\overset{\text{αι}}{\text{κατασεισει}}$ E., κατασείσει Parr. 7. κατασείσειν Gal. l. l.) οὔτ' (οὔτε C. K., ἄλλῳ τρόπῳ τινὶ (οὐδενί pro τινί E. H. K.) πρόδηλον τὸ τοιοῦτον vulg. (οὐδ' ἄλλῳ οὐδενὶ τρόπῳ πρόδηλον τῶν τοιούτων Gal. l. l.) — Textum descripsi quemadmodum Littr. Porro ἐμβαλών pro ἐσμασάμενος K. et B. H. M. N. Marc. in marg. ex Erot.; — κἀνταῦθα pro καὶ ταῦτα Gal. l. l.

διὰ τί — γράφω.] δέ pro οὖν Gal. l. l.

ὅτι — τὰ τοιαῦτα.] διότι mutatum in ὅτι N.; — τοὺς ἀνθρ. Gal. l. l.; — ἐνέπεσον B. M. N., ἔπεσον cett.; — ὑπερβάντες Littr. cum Gal. Ald., mss. multis; idem fert Marc.; ὑπερβάλλοντες vulg.; — γίνεσθαι ὑγιέα M. N., γενέσθαι Ald. Gal., itemque hic in citatione l. l.

ἐξαπατῶνται — στῆθος.] γάρ B. M. N., Littr., vulgo om.; — ἀγνοοῦντες vulg., ἀγνοέοντες M. N., ἀγνοεῦντες Parr. 4., Marc., Littr.; — περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται vulg., ὁ λόγος om. Gal., mihi ex ὀλίγῳ natum et abiiciendum videtur; — στερροτάτην K., στενοτάτην C., στεναροτάτην Q.'; — ἁπάντων E. Q.; — τῶν ante ζῴων e mss. 5. Littr.; vulgo om.; — ὥνθρ. ex C. Littr., ἄνθρ. vulgo; — τῷ ante μεγέθεϊ B. M. N., Littr., vulgo om.; — ποτὶ δέ Q.' solus, unde δέ invexi.

ὅταν — οἴχεσθαι.] πλέω M. N., πλείω vulg.; — καί ante διὰ τοῦτο ex B. M. N. Littr.

ἤντε πλέω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίγνεται ἢ τὸ ἔνθεν, καὶ ἔνθεν καὶ διὰ τοῦτο ἐξαπατῶνται οἰόμενοι τοὺς σπονδύλους ἔσω οἴχεσθαι. Προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς καὶ τὰ σχήματα τῶν τετρωμένων· ἢν μὲν γὰρ πειρῶνται καμπύλλεσθαι, ὀδυνῶνται περιτενέος γενομένου ταύτῃ τοῦ δέρματος, ᾗ τέτρωνται· καὶ ἅμα τὰ ὀστέα [1]τὰ κατεηγότα [2]ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα· ἢν δὲ λορδαίνωσι, ῥᾴους εἰσί· χαλαρώτερον γὰρ τὸ δέρμα [3]ταύτῃ γίγνεται καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει· ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτῶν, κατὰ τοῦτο ὑπείκουσι λορδοῦντες καὶ τὸ χωρίον κενεὸν καὶ μαλθακὸν ψαυόμενον ταύτῃ φαίνεται. Ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς. Ὑγιέες δὲ ταχέως καὶ ἀσινέες αὐτόματοι οἱ τοιοῦτοι γίγνονται· ταχέως γὰρ πάντα τὰ τοιαῦτα ὀστέα [4]ἐπιπωροῦται, ὅσα χαῦνά ἐστι.

cessisse existiment. Praeterea quoque eos etiam in errorem inducunt eorum, qui vulnerati sunt, habitus. Nam si incurvari conentur, dolore afficiuntur cum ea parte qua vulnerati sunt cutis contendatur, simulque ossa fracta hoc modo potius carnem intus pungant. Sin vero in anteriorem partem nitantur, levius habent: nam et cutis qua vulnus est laxior efficitur ossaque intus minus pungunt. Quin et si quis eos hac parte contingat, in anteriora inclinati cedunt, isque locus inanis et mollis ad tactum apparet. Haec commemorata omnia insuper medicos fallunt. Ii autem cito et sine noxa per se convalescunt. Eiusmodi enim ossa omnia, quae laxa sunt, callo celeriter firmantur.

ϛε΄. Σκολιαίνεται [5]μὲν οὖν ῥάχις καὶ ὑγιαίνουσι κατὰ πολλοὺς τρόπους καὶ γὰρ ἐν τῇ φύσι καὶ ἐν τῇ χρήσι οὕτως ἔχει· ἀτὰρ καὶ ὑπὸ γήραος καὶ ὑπὸ ὀδυνημάτων [6]ξυνδοτική ἐστι. Αἱ δὲ δὴ κυφώσιες αἱ ἐν τοῖσι πτώμασι ὡς ἐπὶ τὸ πολὺ γίγνονται, ἢν ἢ τοῖσι ἰσχίοισι ἐρείσῃ, ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. Ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι ἕνα μέν τινα [7]ὑψηλότερον τῶν σπονδύλων, τοὺς δὲ ἔνθεν καὶ ἔνθεν ἐπὶ ἧσσον· οὔκουν [8]εἷς ἐπὶ πουλὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστὶ, ἀλλὰ μικρὸν ἂν [9]ἕκαστος ξυνδιδοῖ, ἀθρόον δὲ πολὺ [10]γίγνεται. Διὰ οὖν

πρὸς τὴν γῆν πιεζόμενον. Ἐν τούτοισι [1]οὖν τοῖσι σχήμασι ἀναγκάζονται ἐσχηματίσθαι οἷσι ἂν ἔσω ἐκβὰν τὸ ἄρθρον μὴ ἐμπέσῃ, οὐ προβουλεύσαντος τοῦ ἀνθρώπου ὅκως ἂν ῥήϊστα ἐσχηματισμένον ἔῃ, ἀλλ' αὐτὴ ἡ ξυμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥήϊστα αἱρέεσθαι. Ἐπεὶ καὶ ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ οὐ κάρτα δύνανται ἐπιβαίνειν τῷ σκέλεϊ, πάντες, καὶ οἱ νήπιοι, οὕτως ὁδοιπορέουσι· ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ σκέλεϊ· καὶ δισσὰ κερδαίνουσι, δισσῶν γὰρ δέονται· τό τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως ἐπὶ τοῦ ἔξω ἀποβαίνοντος, ὥσπερ ἐπὶ τοῦ εἴσω· οὐδὲ γὰρ κατ' ἰθυωρίην αὐτῷ γίγνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑποβαίνοντος· κατ' ἰθυωρίην γὰρ αὐτῷ γίγνεται τὸ ἄχθος ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ καὶ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τούτῳ τῷ σχήματι, καὶ τάχιστα ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος, [2]εἰ τῷ μὲν σιναρῷ ἐξωτέρω βαίνοι, τῷ δὲ ὑγιέϊ ἐσωτέρω. Περὶ οὗ οὖν ὁ λόγος, ἀγαθὸν εὑρίσκειν αὐτὸ ἑωυτῷ τὸ σῶμα τὰ ῥήϊστα τῶν σχημάτων. Ὅσοισι μὲν οὖν μήπω [3]τετελειωμένοισι ἐς αὔξησιν ἐκπεσὼν μὴ ἐμπέσοι, γυιοῦται ὁ μηρὸς καὶ ἡ κνήμη καὶ ὁ πούς· οὔτε γὰρ τὰ ὀστέα ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίγνεται, μάλιστα δὲ τὸ τοῦ μηροῦ, ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον καὶ ἐκτεθηλυσμένον καὶ λεπτότερον γίγνεται, ἅμα μὲν διὰ τὴν στέρησιν τῆς χώρης τοῦ ἄρθρου, ἅμα δὲ, ὅτι ἀδύνατον χρέεσθαί ἐστι, ὅτι οὐ κατὰ φύσιν

quonam habitu facillime consistat, cum casus ipse edoceat ex his, qui ad manum sunt, eum qui maxime sit accommodatus eligere. Neque enim quibus ulcere pes aut tibia laborat, ii admodum crure incedere possunt, omnesque, infantes etiam, eodem modo gradiuntur. Affecto namque crure in exteriorem partem converso gressum faciunt. Ac duplex eis, quo opus habent, commodum accedit. Neque enim corpus aeque sustinetur eo crure quod incessu extra fertur, atque eo quod intro, cum ei e directo onus non incumbat, sed multo magis illi quod in incessu supponitur. Huic si quidem tum in ipso ingressu, tum in alterna crurum permutatione e directo pondus incumbit eo habitu, ac crus sanum celerrime supponi queat, si affecto quidem crure exterius, sano interius ambulatio fiat. At quod ad praesentem sermonem attinet, non parvi est momenti habitum corpori quam accommodatissimum per se invenire. Qui igitur ad perfectum incrementum nondum pervenere, iis si prolapsus articulus non reconditur, femur, tibia et pes breviora evadunt. Neque enim iis ossa aeque in longum augentur, verum breviora fiunt, ac praecipue femur. Crusque totum carne vacuum, minime torosum, effeminatum et tenuius redditur, partim quidem quod sua sede privetur articulus, partim vero quod suo munere fungi nequeat, cum naturalem statum non retineat. Usus enim quidam nimiam mollitiem, tum etiam quod in longum augeri prohibet, quodammodo tollit. Gravis-

[1] γοῦν. — [2] ἤν. — [3] τελειουμένοισι.

V.; — τῇ γὰρ χειρὶ τῇ Dietz. p. 28; — τὸ πλάγιον τοῦ μηροῦ cod. Serv., cf. lectt. V.; — εἰ μή complures codd. apud Littr.; cf. lectt. V.

ἐν τούτοισι — αἱρέεσθαι.] τοιούτοισι Parr. 5., Marc., duo Parr. in marg.; — οὖν iidem pro vulg. γοῦν; — ὅκως per κ̄ etiam Marc.; — αὕτη M. N.

ἐπεὶ — σκελέων.] ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ sine σκέλεϊ M. N.; — ἐπιβαινομένου J. pro vulgato ἀποβαινομένου; — οὔτε γάρ B. M. N.; — αὐτό pro αὐτῷ C. E. H. K., Marc.; — ὥσπερ ὑπὲρ τοῦ εἴσω C.; — ὑποβαινομένου N. mutatum in vulg. ὑπερβαινομένου, unde Littr. ὑποβαινομένου dedit, ad quam rem redeo; — αὖ τῇ pro vulgato αὐτῇ τῇ E. K. Marc. Iam vero quum omnem fidem denegem lectioni ἀποβαινομένου et ὑποβαινομένου, de coniectura activas formas dedi; quod si locum e Mochlico, quem etiam in Oecon. laudavit Foës., contuleris, videbis non temere a me factum esse, quippe ἀποβαίνειν, ὑποβαίνειν, non ἀποβαίνεσθαι, ὑποβαίνεσθαι ibi legis; — καί ante τάχιστα de meo intuli; — ταχιστ' E. H. K.; — εἰ N. Littr., ἤν vulg.; — μὲν τῷ C.; — βαίνει vulg., βαίνοι Gal., edd. antt., mss. multa, Littr., βαίνοι τις B. H. M. N.

περὶ οὗ — σχημάτων.] νῦν vulg., οὖν Parr. 6., Marc., Littr.; — ἀγαθὸν γάρ C.; — ἐς τὰ ῥήϊστα vulg., sine dubio ἐς delendum est, sed neque εὑρίσκεσθαι, quae librorum lectio est, bene habet. εὑρίσκειν repono.

ὅσοισι — ἀναυξησίης.] μέν omm. M. N.; — τετελ. B. M. N., Littr., τελειουμένοισι vulg.; — ἐκπεσόν C., Marc.; — ἐμπέσοι C., Littr., ἐμπέσῃ vulg.; — τὸ τοῦ μηροῦ B. M. N., Littr., τὰ τοῦ μ. vulg.; — πᾶν τὸ σκ. M. N.; — δ' ἔτι C., δέ τι om. K.; — ἀναυξήσιος vulgo, ἀναυξίης M. N., ubi vulgata in marg.; est autem ἀναύξησις, quod in Lexica adeo ex Hippocrate transiisse video, forma vitiosa; non dicimus

κέεται· χρῆσις γὰρ μετεξετέρῃ [1] ῥύεται τῆς ἄγαν ἐκθηλύνσιος· ῥύεται δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυξησίης. Κακοῦται μὲν οὖν μάλιστα οἷσι ἂν ἐν γαστρὶ ἐοῦσι ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, δεύτερον δὲ οἷσι ἂν ὡς νηπιωτάτοισι ἐοῦσι, ἥκιστα δὲ τοῖσι τετελειωμένοισι. Τοῖσι μὲν [2] οὖν τετελειωμένοισι εἴρηται οἵη τις ἡ ὁδοιπορίη γίγνεται· οἷσι δ' ἂν νηπίοισι ἐοῦσι ἡ ξυμφορὴ αὕτη [3] γένηται, οἱ μὲν πλεῖστοι καταβλακεύουσι τὴν διόρθωσιν τοῦ σώματος, ἀλλὰ κακῶς εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος· καταβλακεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην καὶ οἷσι ἂν τετελειωμένοισι αὕτη ἡ ξυμφορὴ γένηται. Ὁκόσοι δ' ἂν νήπιοι ἐόντες ταύτῃ τῇ ξυμφορῇ χρησάμενοι ὀρθῶς παιδαγωγηθῶσι, τῷ μὲν ὑγιέϊ σκέλεϊ χρέονται ἐς ὀρθὸν, ὑπὸ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περιφέρουσι, μετεξέτεροι δὲ καὶ ὑπ' ἀμφοτέρας τὰς χεῖρας· τὸ δὲ σιναρὸν σκέλος μετέωρον ἔχουσι, καὶ [4] τοσούτῳ ῥηΐους εἰσὶ, [5] ὅσῳ ἂν αὐτοῖσι ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ἔῃ· τὸ δὲ ὑγιὲς ἰσχύει αὐτοῖσι οὐδὲν ἧσσον, ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν. Θηλύνονται δὲ πᾶσι τοῖσι τοιούτοισι αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον [6] δέ τι θηλύνονται αἱ ἐκ τοῦ ἔξω μέρεος ἢ [7] αἱ ἐκ τοῦ ἔσω ὡς ἐπὶ τὸ πολύ.

sime igitur habent, quibus dum in utero continentur elabitur hic articulus. Secundum hi, quibus in summa infantia idem accidit. Minime vero omnium, qui adulti illud perpessi sunt. Ac adulti quidem qua ratione incedant, dictum est. Quos vero adhuc in infantia hic casus detinet, plerique quidem in dirigendo corpore negligenter se gerunt, maleque ad sanum crus convolvuntur, manu, quae e regione eius est, se ad terram obfirmantes. Quin etiam adulti nonnulli, qui hac calamitate vexantur, rectam ambulationem segniter curant. At qui in infantia hanc calamitatem experiuntur, ii si liberaliter educati fuerint, sano quidem crure recte utuntur, verum scipionem alae, quae sano cruri respondet, suppositum circumferunt. Quidam etiam utrique alae scipionem subiiciunt, crus vero affectum suspensum detinent, quoque id brevius est, eo levius habent. Sano autem crure nihilo minus habent roboris quam si integrum utrumque esset. Eiusmodi tamen omnibus cruris carnes emolliuntur eaeque ut plurimum exteriore parte magis quam interiore.

ρα'. Μυθολογοῦσι δέ τινες, ὡς αἱ Ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν αὐτίκα νήπιον ἐὸν ἐξαρθρέουσι, αἱ μὲν κατὰ [8] τὰ γούνατα, αἱ δὲ κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίγνοιτο καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρσεν [9] γένος τῷ θήλεϊ· χειρώναξι ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτείης ἔργα, ἢ χαλκείης, ἢ ἄλλο

101. Ferunt autem nonnulli Amazones masculam suam prolem statim ab infantia partim ad genua, partim ad coxendices, luxare consuevisse, quo videlicet claudi fierent ac neque mares foeminis insidias tenderent, eisque ad manuarias operas uterentur et coriariam, fabrilem et quodvis aliud sedentarium opus exerce-

[1] ῥύεται τῆς. — [2] οὖν om. — [3] φαίνηται. — [4] τοσοῦτον. — [5] ὅσον. — [6] δ' ἔτι. — [7] αἱ om. — [8] τά om. — [9] γένος.

ἄπεψις sed ἀπεψίη, non ἀκίνησις sed ἀκινησίη; itaque ἀναυξησίης dedi.

τοῖσι — γένηται.] ἡ ὁδοιπ. B. M. N., Littr., vulgo ἡ om.; — γένηται B. M. N., φαίνεται vulg., φαίνηται alii et Marc.; — κακῶς omm. C. H. N., Marc., Dietz.; — κατορθόν λιγωροῦσι B. M. pro καταβλακ., N. illud in marg.; — ἄρθρον N.; — τελειουμένοισι C. Marc.; — ἡ ξ. αὕτη B. M. N.

ὁκόσοι — ἦν.] ὁκόσοισι E., Marc.; — σκίμπωνα nonnulli libri; — μετέωρον — σκέλος om. C.; — ἰσχύῃ vulg., ex M. N. emendavit Littr.

θηλύνονται — πολύ.] δ' ἔτι vulg., δέ τι B. E. H. M. N. Littr.; — ἐπὶ τὸ πολύ C. H., Marc, vulgo τό abest; — post πολύ ferunt πᾶσι Parr. 6., Marc.

101. μυθολογοῦσι — ἔργον.] ὡς B. C. E. H. M. N., Marc., ὅτι vulg.; — ἀμαζόνες prima m. in N.; — τό ante ἄρσεν om. pr. m. in N.; — ἄῤῥεν C. E. H. K.; — κατὰ [τὰ] γούν. Littr., vulgo τά om.; — τά ante ἰσχία omm.

ὅ τι ἑδραῖον ἔργον. Εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστι, ἐγὼ μὲν οὐκ οἶδα· ὅτι δὲ γένοιτο ἂν τοιαῦτα, οἶδα, εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα. Κατὰ μὲν οὖν τὰ ἰσχία μέζον τὸ διάφορόν ἐστι [1] ἢ ἐς τὸ ἔσω ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι· [2] κατὰ δὲ τὰ γούνατα διαφέρει μέν τι, ἔλασσον δέ τι διαφέρει· τρόπος δὲ ἑκατέρου τοῦ χωλώματος ἴδιός ἐστι· [3] κυλλοῦνται μὲν γὰρ μᾶλλον οἷσι ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ· ὀρθοὶ δὲ ἧσσον ἵστανται, οἷσι ἂν ἐς τὸ ἔσω ἐξαρθρήσῃ. Ὡσαύτως δὲ καὶ [4] ἢν παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν ἐς τὸ ἔξω μέρος, κυλλοὶ μὲν γίγνονται, ἑστάναι δὲ δύνανται· ἢν δὲ ἐς τὸ ἔσω [5] μέρος, βλαισοὶ μὲν γίγνονται, ἧσσον δὲ ἑστάναι δύνανται. Ἥ γε μὴν ξυναύξησις τῶν ὀστέων τοιήδε γίγνεται· οἷσι [6] μὲν ἂν τὸ κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι [7] μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται· ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός [8] ἐστι, τὰ δὲ τῆς κνήμης ὀστέα αὔξεται μὲν — οὐ πολὺ δὲ — ἐνδεεστέρως, αἱ μέντοι σάρκες μινύθουσι. Οἷσι δ' ἂν κατὰ [9] μὲν τὸ σφυρὸν μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ [10] τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτερον γίγνεται, τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστι· τοῦ μέντοι ποδὸς τὰ ὀστέα μινύθει μέν, ἀτὰρ οὐχ ὁμοίως, ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ τὸν πόδα σῶόν ἐστι· εἰ δέ οἱ χρέεσθαι ἠδύναντο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθει τὰ τοῦ ποδὸς ὀστέα τούτοισι.

rent. Quae quidem vera necne sint, ignoro. Ista vero accidere quibus statim ab infantia articuli luxantur, certo scio. In coxis igitur multum quidem in interioremne partem an in exteriorem elabatur articulus interest. In genibus vero interest etiam nonnihil, sed minus tamen. Suus autem utrique proprius claudicationis modus inest. Magis incurvis enim sunt membris quibus exteriorem in partem prolapsus articulus fuerit; recti autem minus stant, quibus in interiorem partem exciderit. Eodem quoque modo si ad malleolum luxatio accidat, quibus in exteriorem partem excidit, ii quidem vari fiunt, verum stare possunt; at quibus in interiorem partem articulus prolapsus est, ii valgi quidem efficiuntur, minus vero stare queunt. At vero ossium incrementum ad hunc modum se habet: quibus quidem ad malleolum tibiae os loco motum est, iis certe pedis ossa, quod proxime vulneri iniecta sunt, minimum augentur. Tibiae vero ossa augentur quidem minus, sed non multo minus, verum carnes imminuuntur. At cum articulus ad malleolum sua sede secundum naturam manserit, ad genu vero suo loco motus fuerit, iis tibiae os, quod vulneri sit proximum, non aeque augeri, sed brevius reddi consuevit. Pedis autem ossa imminuuntur quidem, verum non aeque ac paulo ante dictum est, cum pedis articulus integer maneat. Quodsi eo etiam, sicuti cum varus est, uti possent, iis adhuc minus pedis ossa imminuerentur. Quibus vero coxendicis articulus luxatur, iis femoris os, quod proxime

[1] *ἢ ἐς τὸ εἴσω.* — [2] *κατὰ γούνατα δέ.* — [3] *γνοῦνται* (i. e. *γυιοῦνται*) *μὲν γάρ.* — [4] *εἰ.* — [5] *μέρος ἐξαρθρήσῃ, βλ.* — [6] *μὲν οὖν κατά.* — [7] *μέν* om. [8] *εἰσί.* — [9] *μέν* om. — [10] *τό* om.

C. H. N., in H. N. rest. al. m.; — *γίνηται* supra versum sec. m. in H.; — *ἐπιβουλεύειν* B. H. M. N.; — *ἄρσεν* M. N., Littr., *ἄρρεν* vulg.; — *σκυτίης* vulg., *σκυτείης* Littr. cum mss. 13., idem ferunt Marc., Voss.; — *ἄλλο ὅ τι* M. N., Littr., *ἄλλο τι* vulg.

εἰ μὲν — ἐόντα.] *ταῦτ' ἐστι* C. M. N. Marc.; — *ἐγὼ μὲν οὖν* E. H. K.; — *γίνοιτο* Gal., codd. 10., Littr., *γενοίατο* vulg., *γινοίατο* E. H. K., Marc.; de meo *γένοιτο.*

κατὰ — ἐξαρθρήσῃ.] *καὶ μέζον* B. M. N.; — *ἢ ἐς τό ἔσω* Parr. aliquot, Marc., vulgo *ἤ* om.; — *κατὰ δὲ τὰ γούν.* B. M. N., Littr., vulg. e V. notavi; — *γυιοῦνται* vulgo, *κυλλοῦται* B., H. ex emend., M. N., Littr., *κυλλοῦνται* de meo: nempe non *γυιοῦνται*, sed *κυλλοῦνται* veram lectionem esse docet sequens periodus; — *μέν* recepi ex mss. 12. apud Littr. et Marc.

ὡσαύτως — δύνανται.] *ἤν* e mss. 5., Littr.; fert idem Marc., *εἰ* vulg.; — *ἐξαρθρήσει* Parr. 6.; — *πολλοὶ μὲν γὰρ γίν.* C.; — post *μέρος* ferunt *ἐξαρθρήσῃ*, uti V., cod. Serv., Parr. 8., Marc., Gal.

ἥ γε μὴν — μινύθουσι.] *ἄν* M. N., Littr., ubi vulgatum *οὖν* e V. notavi; — *τοῖσι μέν* C.; — *τρώματός ἐστι* Parr. 7., Marc., Littr., vulg. e V. notavi.

οἷσι δ' ἂν — τούτοισι.] *μέν* F. G. I. J.; — *ἐθέλοι* vulg., *ἐθέλει* alia mss. et Marc., Littr.; — *βραχύτερον* B. M. N., *βραχύτατον* cett.; — *μινύθει μὲν γάρ* I. J. O. U.; — *ἠδύναντο* M. N., Gal., Littr., *ἠδύνατο* vulg.; *ὡς* B. M. N. pro

Οἷσι δ' ἂν κατὰ τὸ ἰσχίον [1] ἡ ἐξάρθρησις γένηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει [2] ξυναύξεσθαι ὁμοίως, τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστι, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίγνεται· τὰ μέντοι τῆς κνήμης ὀστέα οὐχ ὁμοίως τούτοισι ἀναυξέα γίγνεται, οὐδὲ τὰ τοῦ ποδὸς, διὰ τοῦτο, ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ [3] παρὰ τὴν κνήμην ἐν τῇ ἑωυτοῦ φύσι μένει, καὶ τὸ τῆς κνήμης τὸ παρὰ τὸν πόδα· σάρκες μέντοι μινύθουσι παντὸς τοῦ σκέλεος τούτοισι· εἰ μέντοι χρέεσθαι τῷ σκέλεϊ ἠδύναντο, ἔτι ἂν μᾶλλον τὰ ὀστέα ξυνηυξάνετο, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, [4] καὶ ἧσσον ἄσαρκα εἴη, ἀσαρκότερα δὲ πολλῷ ἢ [5] εἰ ὑγιέα ἦν. Σημήϊον δὲ ὅτι [6] ταῦτα τοιαῦτά ἐστι· [7] ὁκόσοι γὰρ τοῦ βραχίονος ἐκπεσόντος γαλιάγκωνες ἐγένοντο ἐκ γενεῆς ἢ [8] καὶ ἐν αὐξήσι πρὶν τελειωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἴσχουσι, τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ ὑγιέος διὰ ταύτας [9] τὰς προφάσιας τὰς εἰρημένας, ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω τοῦ ἄρθρου τοῦ τρώματός ἐστι, ὥστε διὰ τοῦτο βραχύτερος γέγονε· ὁ δ' αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐνακούει τῆς ξυμφορῆς, ὅτι τὸ τοῦ βραχίονος ἄρθρον τὸ πρὸς τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσι μένει, ἥ τε αὖ χεὶρ [10] ἄκρη ἔτι τηλοτέρω ἄπεστι ἢ ὁ πῆχυς ἀπὸ τῆς ξυμφορῆς. Διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων τά τε μὴ ξυναυξόμενα οὐ ξυναύξεται, [11] τά τε ξυναυξόμενα ξυναύξεται. Ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς

vulnus attingat, non aeque augeri solet, sed sano brevius redditur. His tamen neque tibiae os, neque pedis ossa eodem modo augeri prohibentur. Quod ideo accidit, quod femoris articulus, qui cum tibia committitur, et tibiae, qui cum pede, sua naturali sede manet; iis tamen totius cruris carnes imminuuntur. Quodsi crure uti possent, etiam magis ossa augerentur, velut prius etiam dictum est, femore excepto minusque carne destituerentur, quamvis id multo magis quam sanis accidit. Cui rei indicio sunt qui a prima origine aut antequam ad perfectum incrementum pervenerint, brachio luxato mustelae cubito praediti evadunt. Hi siquidem os brachii breve, cubitum vero ac summam manum sanis paulo exiliora habent, idque ob antedictas causas, quod brachium, cum laeso articulo proximum sit, idcirco brevius redditur. Cubitus autem non ideo noxae aeque patet, quod brachii articulus, qui ad cubitum est, pristinam naturam retineat. Manusque summa rursus etiam longius a noxa quam cubitus abest. Has igitur ob causas enumeratas ossa quaedam incremento destitui, quaedam etiam incrementum suscipere solent. Ad pleniorem autem manus et brachii habitum multum manus labor proficit. Qui namque mustelae cubito praediti sunt, manuarias operas, quas etiam altera manu praestant, ut plurimum hac manu suscipiunt, idque nihil peius quam altera. Neque enim manibus, ut cruribus, corporis onus fertur, sed sunt levia earum opera. Ob exercitationem autem neque in manu, neque in cubito iis, qui mustelae cubitum habent, car-

1 ἡ om. — 2 ξυναυξάνεσθαι. — 3 κατά. — 4 καὶ ἧσσον. — 5 εἰ abest. — 6 ταῦτα om. — 7 ὁκόσοισι. — 8 καί om. — 9 τὰς εἰρημένας προφ. — 10 ἄκρη om. — 11 τό τε ξυναυξανόμενον.

ὥσπερ; — ἐμινύθει Parr. 5., Marc., Littr., ἐμινύθη vulg.; — τούτων B. M. N. pro τούτοισι.

οἷσι δ' ἂν κατὰ — ὑγιέα ἦν.] διὰ τοῦτο δὲ ὅτι vulg., δέ omm. C. E. H. K. N. (in quo rest.) Marc.; — τὸ κατὰ τὴν κν., uti V., cod. Serv., Parr. plures; — ἠδύναντο B. H. M. N. Littr., ἐδύναντο vulg.; — πλὴν ἢ τὸ τοῦ μηροῦ B. et N., ubi ἢ τό linea traiectum; — κἂν Parr. 6., Marc., κἢν C., ἢν vulg., sequor V.; — ἔῃ codd., εἴη de suo Littr.; — εἰ de suo post ἢ Littr., recte!

σημήϊον — ξυμφορῆς.] ταῦτα ante τοιαῦτα ex H. M. N. Littr., vulgo om.; — ὁκόσοι C. E. K., Littr., vulg. e V. notavi; — γάρ omm. Parr. 7., Voss.; — δ' ἂν pro γάρ E. H. K.; — καί ante ἐν αὐξήσι om. cod. Serv., uti V.; — καὶ πρίν E. N.; — ὀλίγον ἐνδεεστ. J.; — ἐγγυτάτω τῷ ἄρθρῳ B. M. N.; — pro γέγονε B. C. E. H. M. N. Q.' Marc. ἐγένετο; — πρὸς τοῦ πήχ. C., Marc., Littr., πρὸ τοῦ π. vulg.; — χεὶρ ἄκρη Littr. ex B. N., in quibus ἄκρη deletum, vulgo ἄκρη abest.

διὰ — ξυναύξεται.] In hac periodo fluctuatio est in mss. inter ξυναύξεσθαι et ξυναυξάνεσθαι; tum vulgata τό τε ξυναυξόμενον, sed plur. num. dedit Littr. e mss. pluribus.

ἐς δὲ τὸ — αἱ σάρκες.] προσωφελέει B. M. N., Littr.,

μέγα προσωφελέει· ὅσα γὰρ χειρῶν ἔργα ἐστι, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες [1]ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα [2]περ καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τῆς ἀσινέος· οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα [3]αὐτῇσι τὰ ἔργα ἐστί. Διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσι αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα [4]καὶ τὸν πῆχυν τοῖσι γαλιάγκωσι, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην διὰ ταῦτα· ὅταν δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ ἔσω μέρος ἐκ γενεῆς, ἢ καὶ ἔτι νηπίῳ ἐόντι, μινύθουσι αἱ σάρκες διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρὸς, ὅτι οὐ δύνανται χρέεσθαι τῷ σκέλεϊ. Μαρτύριον δέ τι [5]ἐνέσται καὶ ἐν τοῖσι ὀλίγῳ ὕστερον εἰρησομένοισι, ὅτι ταῦτα τοιαῦτά ἐστι.

ρβ′. Ὁκόσοισι δ᾽ ἂν ἐς τὸ ἔξω ἡ τοῦ μηροῦ κεφαλὴ ἐκβῇ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον· οὐ γὰρ ἐπ᾽ ὀστέον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστι, ὡς ὅτε ἔσω [6]ἐκπέπτωκε, ἀλλὰ παρ᾽ ὀστέον παρεγκεκλιμένην τὴν φύσιν ἔχον, ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ· διὰ τοῦτο μὲν βραχύτερον φαίνεται. Ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πλιχάδα καλεομένην κυλλότερος καὶ ἀσαρκότερος [7]φαίνεται· ἔξωθεν δὲ ὁ γλουτὸς [8]ὑποκυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυίης· ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτὸς, ἅτε ὑπειξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα τῇ τοῦ μηροῦ κεφαλῇ· τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἔσω ῥέπον φαίνεται, καὶ ἡ κνήμη, καὶ ὁ πούς·

nes imminuuntur. Quin etiam brachium ad pleniorem habitum inde nonnihil iuvatur. At ubi coxendicis articulus a primo ortu, aut etiam in ipsa infantia sua compage emotus ad interiorem partem inclinarit, carnes eam ob causam magis quam in manu imminuuntur, quod ii crure uti nequeant. Atque haec ita se habere quae paulo post dicentur quodammodo testabuntur.

102. At quibus in exteriorem partem femoris caput excessit, iis crus iuxta alterum extensum brevius quidem apparet. Neque enim femoris caput, velut cum intro luxabatur, ossi insidet, sed iuxta os quod natura inclinatum est, in carne vero humida et tenera firmatur, ideoque brevius apparet. Interiore vero parte ad locum inter crura medium, *πλιχάδα* nominant, femur magis curvum et gracilius apparet. Exteriore autem parte nates in gibbum magis extumescit, extra nimirum femoris capite elapso. Quin et superior nates apparet eo, quod hac parte caro femoris capiti cedit. Extrema vero femoris pars ad genu et tibia et pes introrsum spectare conspiciuntur. Verum neque inflectere perinde ac sanum crus possunt. Atque haec quidem sunt extra prolapsi femoris notae.

[1] ἐργάζεσθαι om. — [2] περ om. — [3] αὐτοῖσι. — [4] καὶ κατὰ τὸν π. — [5] δὲ ἐν ἐνέσται τοῖσιν ὀλίγον. — [6] ἐξέπιπτε. — [7] γίνεται. — [8] κυρτότερος.

προσωφελήσει vulg.; — *προμηθέονται* alia librorum mss. est lectio; — *συνεργάζεσθαι* B. N., sed deleto *συν*; — tum *ὅσα περ* B. M. N., Littr., vulgo *ὅσα* solum.

διὰ — σκέλεϊ.] *καὶ κατὰ τὸν πῆχυν* vulg., *κατά* om. Littr. cum B. M. N.

μαρτύριον — ἐστι.] *δέ τι ἐν ἔσται* vulg., *ἐν δέ τι ἔσται* Parr. aliquot, Marc.; *τι* om. cod. Serv., uti V.; — equidem in vulgata *ἐν ἔσται* latere puto *ἐνέσται*, nam quid huc *ἕν*? — *καί* Littr. e nonnullis Parr., idem fert Marc., vulgo abest; — *ὀλίγον* mss. 12. apud Littr., Marc., *ὀλίγῳ* de meo, vulgo om.; — *εἰρησομένοισι* ex mss., edd. antt., Gal. revocavit Littr., *εἰρημένοισι* vulg.

102. *ὁκόσοισι — φαίνεται.*] *οἷσι* B. M. M.; — *τοῦ μηροῦ ἡ κεφαλή* M. N., *ἡ* brevi post *τούτοισι* om. Dietz. p. 42.; — post *τὸ ἕτερον* ceteri *εἰκότως*, equidem omisi emblema alienum: — *ἐπὶ τὸ ὀστέον* Dietz.; — *ὥστε ἔσω ἐξέπιπτεν* C.; — *ὥσπερ* Dietz.; — *ἐκπέπτωκεν* B. M. N., Littr., vulg. e V. notavi; — *παρὰ τὸ ὀστέον* H. al. m., N., Dietz.; — *παρακεκλιμ.* Dietz., — *ἐνστηρίζεται* pro *δέ στηρίζεται* idem.

ἔσωθεν — δύνανται.] *πλιχάδα* pro vulg. *πληχάδα* Littr. e Parr. 8., idem fert Marc.; — *κυλλότερος* vulgo, *κοιλότερος* ex Parr. 7. bonae notae Littr., idemque fert Marc.; vulgata tamen veram scripturam refert; — *φαίνεται* ex B. N.

ἀτὰρ οὐδὲ ξυγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. Τὰ μὲν οὖν σημήϊα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ.

ργ'. Οἷσι μὲν οὖν [1]ἂν τετελειωμένοισι ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ ξύμπαν σκέλος, ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνέεσθαι ἐπὶ τὴν γῆν, τῷ δὲ στήθεϊ τοῦ ποδὸς βαίνουσι ἐπὶ τῆς γῆς· ὀλίγον δὲ ἐς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισι ἄκροισι. Ὀχέειν δὲ δύναται τὸ σῶμα τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον ἢ οἷσι ἂν ἐς τὸ ἔσω μέρος ἐκπεπτώκῃ, ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσι πεφυκὼς ὑπὸ συχνῷ μέρεϊ τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται, ἅμα δὲ ὅτι ἄκρος ὁ ποὺς οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται [2]ἐκκεκλίνθαι, ἀλλ' ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα καὶ τείνει καὶ ἐσωτέρω. Ὅταν [3]οὖν τρίβον μὲν λάβῃ τὸ ἄρθρον ἐν τῇ σαρκὶ, εἰς ἣν ἐξεκλίθη, ἡ δὲ σάρξ γλισχρανθῇ, ἀνώδυνον τῷ χρόνῳ γίγνεται· ὅταν δὲ ἀνώδυνον γένηται, [4]δύνανται μὲν ὁδοιπορέειν ἄνευ ξύλου, ἢν ἄλλως βούλωνται· δύνανται δὲ ὀχέειν τὸ σῶμα ἐπὶ τὸ σιναρὸν σκέλος. Διὰ οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισι ἐκθηλύνονται αἱ σάρκες ἢ οἷσι ὀλίγον πρόσθεν εἴρηται· ἐκθηλύνονται δὲ ἢ πλεῖον, ἢ ἔλασσον· μᾶλλον δέ τι ἐκθηλύνονται κατὰ τὸ ἔσω μέρος ἢ κατὰ τὸ ἔξω [5]ὡς ἐπὶ τὸ πουλύ. Τὸ μέντοι ὑπόδημα μετεξέτεροι τούτων ὑποδέεσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος, οἱ δέ τινες καὶ δύνανται. Οἷσι [6]δ' ἂν ἐν γαστρὶ ἐοῦσι ἐξαρ-

103. Quibus igitur iam adultis luxatus articulus reconditus non fuerit, iis crus totum brevius conspicitur, neque ingressu terram calce contingere possunt, sed ima planta terrae insistunt paululumque summis digitis interiorem in partem tendunt. Atque in his longe melius crus laesum corpus ferre potest, quam quibus in interiorem partem luxatio facta est, partim quidem quod femoris caput et articuli cervix, quae naturaliter obliqua est, maiori coxae parti subiecta est, partim vero quod summus pes in exteriorem partem inclinari non cogitur, sed prope ad rectitudinem corporis accedit et interiorem in partem etiam convertitur. Quum igitur articulus carnis locum, in quem elapsus est, consuetudine tritum fecerit, et caro lentorem contraxerit, temporis tractu doloris expers evadit. Tuncque, si velint, absque baculo incedere possunt et corpus affecto crure sustentare. Iis igitur, eo, quod crure utuntur, minus quam quibus paulo ante dictum est, carnes emolliuntur, idque plus aut minus accidit. Fere autem magis ad interiorem partem quam exteriorem effoeminantur. Ac eorum quidem nonnulli, quod crus flectere non possint, calceum sibi inducere nequeunt. Quidam etiam id possunt. At quibus in matris utero hic articulus sua sede emotus fuerit, aut, cum adhuc augentur, vi exciderit neque reconditus fuerit, aut etiam morbo elapsus atque sua compage motus fuerit, horum enim pleraque accidunt, eorum

[1] ἂν om. — [2] ἐγκεκλίσθαι. — [3] μὲν οὖν τρ. λάβῃ. — [4] ὁδοιπ. μὲν δύνανται. — [5] ὡς ἐπὶ πολύ. — [6] δ' ἄν.

Littr., γίνεται vulg.; — ὑποκυρτότερος B. M. N., Littr., κυρτότερος vulg.; — vulgo τῆς κεφαλῆς τοῦ μηροῦ, sed τοῦ μηροῦ om. C.; — ὠλισθηκυίης etiam Marc.; — δύναται Parr. 8.

τὰ μὲν — μηροῦ.] μηροῦ εἰσίν vulg.; abiicio illud εἰσίν, quod hoc praesertim loco displicet.

103. οἷσι — ἄκροισι.] ἄν Dietz., Littr., vulgo om.; — δή G., ἤδη om. Dietz.; — μὲν βραχύτερον idem; — καθικνέεσθαι ἐπὶ τῆς γῆς vulg., sed ἐπὶ τὴν γῆν Dietz.; contra vulgo βαίνουσι ἐπὶ τὴν γῆν, ubi ἐπὶ τῆς γῆς de meo dedi; — verum ὀλίγον ἐπὶ τὴν γῆν, εἰς δὲ τὸ ἔσω ῥέπουσιν ἄκροις τοῖς δακτύλοις Dietz.

ὀχέειν δὲ — ἐσωτέρω.] τὸ σ. δυν. B. M. N.; — δύνανται E.; — ἅμα δὲ ἄκρος Parr. 7., Gal.; — ἐκκεκλίσθαι M., Littr., ἐγκεκλίσθαι alia mss., ἐγκεκλεῖσθαι vulg.

ὅταν οὖν — σκέλος.] ὅτε Ald.; — οὖν τρίβον μέν Parr. 7., Q.', Marc., Littr., μὲν οὖν τρ. vulg.; — ἐξεκλείθη vulg., ἐξεκλίθη Parr. 9., Lind., Littr., ἐξεκλείσθη C.; — ἀνώδυνος J.; — δύναται C.

διὰ οὖν — πουλύ.] δι' vulg., διά Parr. 7.; — δ' ἔτι vulg., δέ τι Littr. cum mss. 5.; — αἱ κατὰ τὸ ἔσω B. N.

οἷσι δὲ ἂν — σκέλεος.] δ' e multis mss. dedi, δέ vulg., δὲ ἄν om. M.; — ἐοῦσι ante βίῃ om. C.; — ἤδη omm. B. M. N., καί pro ἤδη C. E. H.; — ἐμπέσῃ Parr. 6., Littr.

θρήσῃ τοῦτο τὸ ἄρθρον, ἢ ἔτι ἐν αὐξήσι ἐοῦσι βίῃ ἐκπεσὸν ἤδη μὴ [1] ἐμπέσῃ, ἢ καὶ ὑπὸ νούσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον καὶ ἐκπαλήσῃ, — πολλὰ γὰρ τοιαῦτα γίγνεται καὶ ἐνίων μὲν τῶν τοιούτων ἢν ἐπισφακελίσῃ ὁ μηρὸς, ἐκπυήματα χρόνια καὶ ἔμμοτα γίγνεται καὶ ὀστέων ψιλώσιες ἐνίοισι, — ὁμοίως δὲ καὶ οἷσι ἐπισφακελίζει καὶ οἷσι μὴ ἐπισφακελίζει, τοῦ μηροῦ τὸ ὀστέον πολλῷ βραχύτερον γίγνεται καὶ οὐκ ἐθέλει ξυναύξεσθαι, ὥσπερ τοῦ ὑγιέος· τὰ μέντοι τῆς κνήμης βραχύτερα [2] μὲν γίγνεται ἢ τὰ τῆς ἑτέρης, ὀλίγῳ δὲ, [3] διὰ τὰς αὐτὰς προφάσιας, [4] αἳ καὶ πρόσθεν εἴρηνται· ὁδοιπορέειν [5] τε δύνανται οἱ τοιοῦτοι, οἱ μέν τινες αὐτῶν τοῦτον τὸν τρόπον, ὥσπερ [6] οἷσι τετελειωμένοισι ἐξέπεσε καὶ μὴ ἐνέπεσε, οἱ δὲ καὶ βαίνουσι μὲν παντὶ τῷ ποδὶ, διαρρέπουσι δὲ ἐν τῇσι ὁδοιπορίῃσι ἀναγκαζόμενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. Ταῦτα δὲ τοιαῦτα γίγνεται, ἢν ἐπιμελέως μὲν παιδαγωγηθῶσι ἐν τοῖσι σχήμασι καὶ ὀρθῶς, ἐν οἷσι δεῖ, πρὶν κρατυνθῆναι ἐς τὴν ὁδοιπορίην, ἐπιμελέως δὲ καὶ ὀρθῶς, ἐπὴν [7] κρατυνθῶσι· πλείστης δὲ ἐπιμελείης δέονται, οἷσι ἂν νηπιωτάτοισι ἐοῦσι αὕτη ἡ ξυμφορὴ γένηται· ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες, ἀχρήϊον παντάπασι καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίγνεται. Αἱ δὲ σάρκες τοῦ ξύμπαντος σκέλεος μινύθουσι μᾶλλον, ἢ τοῦ ὑγιέος· πάνυ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσι, ἢ οἷσι ἂν ἔσω ἐκπεπτώκῃ διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην, ὡς καὶ πρόσθεν [8] ὀλίγῳ ἐπὶ τῶν γαλιαγκώνων εἴρηται.

quidem nonnullis, si sideratum femur fuerit, suppurationes diuturnae et quae curationem per linamenta desiderent, fiunt, quibusdam etiam ossa nudantur. Eodem vero modo tum quibus sideratur os femoris, tum quibus non sideratur, multo brevius redditur, ac neque velut sanum augeri solet. Huius etiam tibiae ossa paulo quidem quam alterius breviora evadunt ob easdem causas, quae etiam antea sunt commemoratae. Atque hi incedere possunt, nonnulli quidem eo modo, quo quibus iam adultis elapsus articulus reconditus non fuit, quidam etiam toto pede insistunt, inter ambulandum tamen ob cruris brevitatem, utramque in partem inclinari coguntur. Haec autem sic accidunt, ubi in his, quae ad corporis habitum spectant, diligenter et in quibus oportet recte fuerint a pueris educati prius quam ad ambulationem confirmentur, ac nihilominus etiam diligenter et recte ubi confirmati fuerint. Summam vero curam postulant quibus in prima infantia hic casus incidit. Si enim ea in infantia negligantur, iis totum crus prorsus inutile et incrementi expers redditur atque universi cruris carnes magis imminuuntur quam sani. At multo sane minus quam quibus interiorem in partem exciderit, idque ob usum et laborem, velut etiam de his, qui mustelae cubito praediti sunt, paulo ante dictum est.

ρδ'. Εἰσὶ δέ τινες ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα, τοῖσι δὲ καὶ ὑπὸ νούσου, ἀμφοτέρων τῶν σκελέων ἐξέστῃ τὰ ἄρθρα ἐς τὸ ἔξω

104. Nonnullis quoque partim quidem statim a prima origine, partim vero sub morbo, amborum crurum articuli exteriorem in partem

[1] διεμπέσῃ. — [2] μέν om. — [3] καὶ διά. — [4] ἀεὶ καί. — [5] δέ. — [6] τοῖσι. — [7] κρατηθῶσι. — [8] ὀλίγον ἐπί.

διεμπέσῃ vulg.; — ἢν μὲν ἐπισφακελίσῃ E.; — ἐκπυήματα Gal., Parr. 6., ἐμπ. vulg.; — ξυναυξάνεσθαι E. Q.'; — βραχύτερα μὲν φαίνεται N., ubi supra versum γίνεται, et in B. φαίνεται, sed deletum; — ὁδοιπορέειν τε ex edd. antt., mss. multis Littr., δέ pro τέ vulg.; — τοῖσι τετελ., uti V. Parr. 5.

ταῦτα δὲ — γίγνεται.] μέν pro δέ B. M. N.; — κρατηθῆναι et mox κρατηθῶσι vulgo, ex mss. verum dedit Littr.

αἱ δὲ — εἴρηται.] αἵ τε vulg., δέ Littr. cum M. N.; — ὀλίγῳ B. M. N., Littr., ὀλίγον vulg.; — περί M. N., Littr., ἐπί vulg. — Iam vero post ταλαιπωρίην legitur in libris οἷον εὐθέως δύνασθαι χρέεσθαι τῷ σκέλει, quae corrupta sunt et legenda videntur ἅτε εὐθέως δύνανται χρέεσθαι τῷ σκέλεϊ; sed etiamsi ita legas, otiosa haec sunt et emblema alienum referunt, quod eieci.

104. εἰσὶ δέ τινες — ἄρθρων.] τοῖσι δὲ ὑπό V. C.; — ταῦτα παθήματα M. N.; — ἐκθηλύνονται τοῖσι τοιούτοισι B. M. N., Littr., ceteri τοῖσι τοιούτ. omm.; — ἅμα γὰρ

μέρος· τούτοισι οὖν τὰ [1] μὲν ὀστέα ταὐτὰ παθήματα πάσχει· αἱ μέντοι σάρκες ἥκιστα ἐκθηλύνονται· εὔσαρκα δὲ τὰ σκέλεα γίγνεται, πλὴν εἴ τι ἄρα κατὰ τὸ εἴσω μέρος ἐλλείποι ὀλίγον· διὰ τοῦτο δὲ εὔσαρκά ἐστι, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσι ὁμοίως ἡ χρῆσις γίγνεται· ὁμοίως γὰρ σαλεύουσι ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα· ἐξεχέγλουτοι δὲ οὗτοι ἰσχυρῶς φαίνονται διὰ τὴν ἔκστασιν τῶν ἄρθρων. Ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μηδὲ κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται, — ἐνίους γὰρ [2] τὰ τοιαῦτα καταλαμβάνει, — ἢν οὖν μὴ τοιοῦτόν τι γένηται, ἱκανῶς ὑγιηροὶ τἄλλα διαφέρονται· ἀναυξέστεροι μέντοι τὸ πᾶν σῶμα οὗτοι γίγνονται, πλὴν τῆς κεφαλῆς.

prolapsi sunt. Iis igitur ossa quidem eadem vitia patiuntur, at carnes minime effoeminantur. Sed et pleniora crura evadunt, nisi si quid interiore parte paulum deficit. Eam vero ob causam pleniora sunt, quod utroque crure pariter utuntur. Eodem enim modo inter ambulandum ab utraque parte iactantur, iique valde prominentibus natibus conspiciuntur, eo quod articuli suo loco excesserunt. Quodsi neque his ossa vitientur, neque gibbosi supra coxendices evadant, — quosdam enim huiusmodi vitia prehendunt, — nisi ergo tale quid accidat, de cetero satis salubriter vitam traducunt. Minus tamen ii reliquo corpore capite excepto incrementi suscipiunt.

ρε'. Ὅσοισι δ' ἂν ἐς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσῃ, — ὀλίγοισι δὲ ἐκπίπτει, — οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν, οὔτε τι κάρτα [3] κατὰ τὴν ἰγνύην· ἀλλ' ἥκιστα τῶν [4] ἐκπαλέων οὗτοι ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. Προσξυνιέναι μὲν οὖν καὶ τόδε χρὴ, — εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστι καὶ τοὺς πλείστους λήθει, — ὅτι [5] οὐδ' οἱ ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκτανύωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν [6] ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα, οὕτω δ' ἂν δύναιντο· οὐ τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον [7] ἢν μὴ ξυγκάμψωσι καὶ τὸ κατὰ τὸν

105. At quibus posteriorem in partem femoris caput elapsum est, quod paucis accidit, ii neque ad articulum luxatum, neque admodum ad poplitem crus extendere possunt. Atque eorum, qui articulum emotum habent, hi minime extendunt et articulum ad inguen et ad poplitem. Praeterea etiam illud animadvertendum, quod et valde utile et magni est momenti ac plerosque latet, neque sanos poplitis articulum extendere posse, nisi una quoque inguinis articulum extendant, praeterquam si pedem valde sustollant: sic enim posse. Hi ergo neque eodem modo poplitis articulum, sed multo aegrius flectere possunt, nisi una quoque inguinis articulum inflexerint. Multa quoque alia in corpore huiusmodi cognationes habent et circa nervorum contractionem et musculorum

[1] μέν om. — [2] καὶ τὰ τ. — [3] κατά om. — [4] ἐκπαλαίων οὗτοι μᾶλλον ἐκταν. — [5] οὔτε ὑγ. — [6] εἰ. — [7] εἰ.

εὔσαρκα τὰ σκελ. B. M. N., εὔσαρκα δὲ καὶ τὰ σκ. vulgo, omisi καί cum Marc. et Voss.; — γίνεται B. M. N., Littr., γίνονται vulg.; — ἐλλείπει M. N., ἐλλίποι C.; — καὶ ῥαιβοὶ οἱ μηροί ante διὰ τὴν ἔκστασιν B. N., sed in utroque deletur. Non recepi, sed non certo mihi constat ab aliena manu esse; — dubius haereo.

ἢν δὲ μὴ — κεφαλῆς.] καταλαμβάνει καὶ τὰ τοιαῦτα C.; — λαμβάνει prima m. in E. H.; — ἢν μὲν οὖν μή K.; — τι τοιοῦτο M. N.; — τὰ ἄλλα iidem.

105. ὅσοισι — ἄρθρον.] οἷσι non pauca mss.; — εἰς τοὐπίσω citat Gal. de locis affectis p. 430.; — ἡ omm. C. E. H. K., Gal. l. l., — τοῦ omm. iidem et Marc.; — ἐκπέσοι vulg., ἐκπέσῃ Littr. cum multis mss., idem fert Marc.; — κατά ubi in V. abest, omittunt cod. Serv. et E.; in quo rest.; — τι κάρτα om. Dietz. p. 44.; — ἀλλ' ἥκιστα (ἀλλ' ἢ μάλιστα Dietz.) τῶν ἐκ παλαιῶν (ἐκπαλέων H. ex emend., ἐκπαλαισίων Gal. l. l.) οὗτοι (οὗτοι om. P.) μᾶλλον vulg. (μᾶλλον omm. P., Gal. l. l., Dietz.); — cum Littréo μᾶλλον omisi, ἐκπαλέων recepi.

προσξυνιέναι — ἄρθρον.] μέν pro μὲν οὖν Gal. l. l.; — καί om. M. ante πολλοῦ, post πολλοῦ addit λόγου Gal. l. l.; — οὐδ' Gal. l. l., Littr., οὗτοι Dietz., οὔτε vulgo; in illo οὗτοι latet οὔτ' οἱ seu potius οὐδ' οἱ, quod recipio; — ξυνεκταννύουσι vulg., cum Littréo sequor G. M. N., συνεκτανύσωσι E. H., Gal. l. l., ξυνεκτανύσουσι Marc.; — πλὴν εἰ μή, uti V., cod. Serv., E. H. K., Gal. l. l.; — οὐ τοίνυν Gal. l. l., Littr.; — οὗτοι νῦν P., οὗτοι τοίνυν vulg.

βουβῶνα ἄρθρον. Πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει καὶ κατὰ νεύρων ξυντάσιας καὶ κατὰ μυῶν σχήματα καὶ πλέονά τε καὶ πλέονος ἄξια γιγνώσκεσθαι, ἢ ὥς τις οἴεται καὶ κατὰ τὴν τοῦ [1]*ἐντέρου φύσιν καὶ τῆς ξυμπάσης κοιλίης καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας τε καὶ ξυντάσιας· ἀλλὰ περὶ μὲν οὖν τούτων ἑτέρωθι λόγος ἔσται ἠδελφισμένος τοῖσι νῦν λεγομένοισι. Περὶ οὗ δὲ ὁ λόγος ἐστὶ, οὔτε ἐκτανύειν δύνανται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος* [2]*φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε πρὸς τὴν σάρκα ὠλίσθηκε τὴν τοῦ πυγαίου· ἡ γὰρ φύσις τοῦ ἰσχίου ταύτη, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίγνεται, ὅταν δὲ ἐξαρθρήσῃ, καταφερὴς πέφυκε ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. Ξυγκάμπτειν μέντοι δύνανται, ὅταν μὴ ἡ ὀδύνη κωλύῃ· καὶ ἡ κνήμη τε καὶ ὁ ποὺς ὀρθὰ ἐπιεικέως* [3]*φαίνεται, καὶ οὔτε τῇ, οὔτε τῇ πολὺ* [4]*ἐκκεκλιμένα· κατὰ δὲ τὸν βουβῶνα δοκέει τι ἡ σὰρξ λαπαρωτέρη εἶναι, ποτὶ καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου ἐς τὰ ἐπὶ θάτερα μέρη ὠλισθηκότος· κατὰ δὲ αὐτὸ τὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ* [5]*δοκέει τι ἐξογκέειν μᾶλλον. Τὰ μὲν σημήϊα ταῦτα,* [6]*ὧν ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός.*

habitum plura et cognitu digniora quam quis existimet conspiciuntur. Quod etiam in intestinorum natura totiusque ventris atque in uteri erroribus et contractionibus cernere licet. De quibus alias cum his quae nunc dicuntur consentiens sermo habebitur. Quod ad sermonem praesentem attinet, neque crus extendi, velut iam dictum est, potest, breviusque duabus de causis apparet, tum quod non extenditur, tum quia ad natis carnem prolapsum est. Etenim coxendicis natura est qua parte et femoris cervix et caput est; cum vero e sede sua elapsum fuerit, declive in exteriorem partem natis deferri solet. Inflectere tamen crus, si modo dolor non prohibeat, possunt, tibiaque et pes fere recta conspiciuntur, neque in hanc illamve partem admodum inclinata. Ad inguen vero, praecipue etiam si quis locum attingat, caro aliquanto melius sentitur, praesertim cum articulus alteram in partem prolapsus sit. Ad nates autem, si quis attrectet, femoris caput aliquanto etiam magis protuberare videtur. Atque hae quidem notae sunt eorum, quibus in posteriorem partem femur elapsum est.

ρς'. [7]*Ὁτέῳ μὲν ἂν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ, ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται καὶ ἡ ὀδύνη παύσηται καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ*

106. Cui ergo iam adulto prolapsum reconditum non fuerit, is quidem, ubi tempus aliquod intercesserit et dolor quieverit, articulusque in carne volvi assueverit, ambulare potest: inter

[1] *ἑτέρου.* — [2] *φαίνηται.* — [3] *φαίνονται.* — [4] *ἐγκεκλ.* — [5] *δοκέει τι ἐξογκέειν καὶ μᾶλλον.* — [6] *ὡς ἄν.* — [7] *οὕτω.*

πολλὰ — λεγομένοισι.] *κατὰ τὰς τῶν νεύρων* Gal. l. l.; — *πλεῖστά τε καὶ πλείστου* cett.; — *καὶ τὴν τῆς ξυμπ. κοιλ.* vulgo, *τήν* omm. B. M. N.; — *καὶ κατὰ τῆς* E.; — *κατά* ante *τάς* om Gal. ibid.; — *πλάνας τε καὶ ξυντ.* cum Gal. lego, vulgo *τε* om.; — *μὲν οὖν* B. M. N., vulgo *οὖν* om.

περὶ οὗ — μέρος.] *νῦν ὁ λόγος* K.; — *οὔτ' ἐκτ.* M. N.; — *δύνανται* cum Gal. et multis mss. Littr., idem fert Marc.; — *δύναται* vulg.; — *βραχύτερον δέ* C. M. N.; — *εἰ γὰρ ἡ φύσις τοῦ ὀστέου* C. sine *τοῦ ἰσχίου*, quod vulgata ante *τοῦ ὀστέου* fert, sed mihi non cum C. *τοῦ ἰσχίου*, sed contra *τοῦ ὀστέου* delendum est visum; — omnes *ὅταν δὲ ἐξαρθρήσῃ*, Littréus hîc *δέ* pro *δή* poni opinatur; pernego; — *καταφερὲς* (ἢ) H., *καταφερές* K.; — *καταφερής τε* vulg., *τε* om. P., quem sequor cum Littréo; — *πρὸς τὸ ἔξω μέρος* P.

ξυγκάμπτειν — μᾶλλον.] *μὴ ἡ ὀδύνη* Littr. ex N. solo, ubi tamen *ἡ* oblit.; cett. *ἡ* omm.; — *φαίνονται* vulg., *φαίνεται* B. E. H. K. Q.', Littr., item Marc.; — *καί* ante *οὕτω* et paulo post *πολύ* om. Dietz. p. 44.; — *ἐκκεκλιμ.* e pluribus libris Littr., fert etiam Marc., *ἐγκεκλιμ.* vulg.; — *τε* om. C.; — *οὔτε* pro *ἅτε* C.; — *ἐπὶ τὰ ἕτερα* pro *ἐς τὰ ἐπὶ θάτερα* Dietz.; — *ὠλισθηκότος μέρη* Parr. 5., Marc.; — *αὐτὸ τό* e multis codd. Littr., idem fert Marc., *τὸ αὐτό* vulg.; — *τι* post *δοκέει* om. Littr. cum N. solo, in quo rest.: — *καί* om. idem cum eodem ante *μᾶλλον*. cf. lectt. Voss.

τὰ μὲν — μηρός.] *μὲν οὖν* vulg., *οὖν* omm. Parr. 11., Marc.; — *τοῦτ' ἐστιν* M. N., *ταῦτά ἐστιν* C. H., sed in H. *ἐστιν* al. m.; — *ὧν ἄν* H. al. m., M. N., *ᾧ ἄν* vulg.; — *τοὔπισθεν* B. M. N.

106. *ὁτέῳ — ἐπιξυγκάμψῃ.*] *ὅτῳ* vulg., *ὁτέῳ* Dietz.,

ἐνστρωφᾶσθαι· ἀναγκάζεται μέντοι ἰσχυρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας ὁδοιπορέων διὰ δισσὰς προφάσιας, ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίγνεται διὰ τὰ προειρημένα καὶ τῇ μὲν πτέρνῃ καὶ πάνυ [1]πολλοῦ δέεται ψαύειν τῆς γῆς· [2]μόλις δὲ τῷ στήθεϊ τοῦ ποδὸς καθικνέεται καὶ οὐδὲ οὕτως, ἢν μὴ κάμψῃ αὐτὸς ἑωυτὸν κατὰ τοὺς βουβῶνας καὶ τῷ ἑτέρῳ σκέλεϊ κατὰ τὴν ἰγνύην [3]ἐπιξυγκάμψῃ. Ἐπὶ δὲ τούτοισι ἀναγκάζεται, ὥστε τῇ χειρὶ τῇ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι ἐς τὸ ἄνω τοῦ μηροῦ ἐφ' ἑκάστῃ ξυμβάσι· ἀναγκάζει οὖν τι [4]καὶ τοῦτο αὐτὸν, ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας· ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοιπορίῃ οὐ δύναται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ προσκατερείδεται τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρὸς, ἅτε οὐχ ὑφεστεῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ' ἐς τὸ ὄπισθεν [5]ἐκστεῶτος κατὰ τὸ ἰσχίον· [6]εἰ γὰρ πειρήσαιτο καὶ ἐπ' ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος, ἐς τὸ ὀπίσω ἂν πέσοι· ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη, τῶν ἰσχίων ἐπὶ πουλὺ ἐς τοὐπίσω ὑπερεχόντων ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος καὶ τῆς ῥάχιος ἐς τὰ ἰσχία ῥεπούσης. Ἄνευ [7]μὲν οὖν ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθέωσι· διὰ τοῦτο, ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ τὴν ἀρχαίην ἰθυωρίην ἐστὶ, ἀλλ' οὐκ ἐς τὸ ἔξω ἐκκεκλιμένη, διὰ τοῦτο [8]οὖν οὐδὲ δέονται τῆς ἀντικοντώσιος. Ὅσοι μέντοι βούλονται ἀντὶ

ambulandum tamen vehementer ad inguina eum inflecti necesse est, idque duabus de causis, tum quod ob ante dicta crus multo brevius efficitur, tum etiam quia longe abest ut calce terram attingat. Vix autem ima pedis planta consistit, ac ne sic quidem nisi se ipse ad inguina incurvarit praetereaque alterius cruris poplitem inflectat. Quandoquidem ita necesse est, ut manu, quae est a parte affecti cruris, superiori femoris parti obiecta ad quemlibet ingressum firmetur. Quae res certe efficit, ut ad inguina aliquantulum incurvari cogatur. In alterna enim crurum inter ambulandum vicissitudine super crure affecto corpus ferri nequit, nisi admota manu crus illud terrae obfirmetur, praesertim cum articulus corpori non substet, sed ad coxendicem posteriorem in partem promineat. Si namque vel paululum conetur hoc pede ferri, nulli alteri rei innixus, is utique in posteriorem partem decidet, cum coxendices plurimum praeter pedis ingressum in posteriorem partem eminentes et spina in coxendices incumbens magno momento illuc ferantur. Ii tamen absque baculo incedere, si alias assueverint, possunt, propterea quod pedis gressus pristinam directionem servet, neque exteriorem in partem inclinet. Quocirca conto, cui innitantur, nihil indigent. Atqui si femoris apprehensi loco, alae quae ad crus affectum est subiecto scipioni inniti velint, ii longiore quidem supposito scipione erectiores incedent, pede tamen humi non innituntur. Quodsi pede inniti

[1] πολλά. — [2] h. l. legis: ἢν γὰρ πειρῷτο καὶ ἐπ' ὀλίγον τοῦ ποδὸς — ῥεπούσης, quae infra occurrunt, vid. adnn. — [3] ἐπικάμψῃ. — [4] καί om. [5] ἐξενεστεῶτος. — [6] ἢν γὰρ πειρῷτο. — [7] μέντοι τοῦ ξ. — [8] οὖν οὐδὲν δέονται.

Littr.; — οὖν solum vulgo, οὖν ἄν C. M. N., ἂν οὖν E. K. Marc.; — ἐκπεσόν Parr. 10.; — δύνανται J.; — ἐν om. C.; — ἐνστρωφᾶσθαι B. N., vulgo per ο scribitur; — εἰρημένα B. M. E.; — πολλῷ δέεται vulg., πολλοῦ δέεται Littr. cum Parr. 6., idem fert Marc.; — post τῆς γῆς in vulgata (cf. lectt. Voss.) leguntur verba, quae infra intulit de suo Littr., quod mihi recte fecisse visus est; — καθικνέεσθαι E.; — εἰ — κάμψει C., item εἰ E. H. K., sed κάμψῃ; — ἐπιξυγκάμψει C., ἐπικάμψῃ J., uti V.

ἐπὶ δὲ — ῥεπούσης.] ἐπειδή vulg., ἐπὶ δέ Parr. 5., Marc., Littr., ἐπειδάν Lind., Kühn.; — καί ante τοῦτο Littr. e mss. 8., idem fert Marc., vulgo om.; — αὐτό cett.; — ἢν μή Parr. 7. et Marc., qui προσκατερείδαναι, sed προσκατερείδηται cum illo ἤν Parr. illi plerique; κατερείδεται πρότερον πρὸς τὴν γῆν C.; — ὑφεστεῶτος Parr. 10., Littr., ὑφεστῶτος vulg.; — ἀλλά E. H. K.; — τὰ ὄπισθεν C., τοὔπισθεν B. M. N.; — ἐξεστεῶτος Littr. ex mss. 13., ἐξεστῶτος vulg.; — εἰ C. N., ἤ vulg.; — πειριᾶτο vulgo, πειρῶτο cod. Serv., uti V., πειρήσαιτο Littr. cum Parr. 7.; — καί ante ἐπ' ὀλίγον omm. nonnulla mss., ἐπὶ ὀλ. Parr. 5.; — τοὐπίσω B. M. N.; — ἐς τοὐπίσω ἐπὶ πολύ B. M. N.

ἄνευ μὲν οὖν — ἀντικοντώσιος.] μὲν οὖν B. M. N., Littr., μέντοι vulg.; — τοῦ ξύλου vulg., τοῦ omm. M. N., Littr.; — οὐ δύναται K.; — ἐθισθέωσι Ionice B. M. N., Littr.; hic adnotat: „on serait tenté de lire ἐθέλωσι à cause de la phrase correspondante, du Mochlique § 22., où il y a ἐθέλωσιν." — Porro ἐς τὸ ἔξω ἐκκεκλιμένη etiam Marc.; — οὖν omm. M. N., Littr.; — οὐδέν vulgo, οὐδέ M. N. Littr.

ὅσοι — αὐτούς.] εἰ μέν de meo, ἢν μέν cett.; — ἢν — βούλωνται M. N.; — ἢν δὲ αὖ B.; — ἐρηρεῖσθαι J.; — ποιη-

τῆς τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι εἰ μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν ὁδοιπορήσουσι, τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται· εἰ δ' αὖ βούλονται ἐρείδεσθαι τῷ ποδὶ, βραχύτερον μὲν τὸ ξύλον [1]φορητέον κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς. Τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίγνονται καὶ τούτοισι, [2]ὥσπερ καὶ πρόσθεν εἴρηται· τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος [3]καὶ μηδὲν ταλαιπωρέουσι, τούτοισι καὶ μάλιστα μινύθουσι· οἳ δ' ἂν πλεῖστα χρέωνται τῇ ἐπιβάσι, τούτοισι ἥκιστα μινύθουσι. Τὸ μέντοι ὑγιὲς σκέλος οὐκ ὠφελέεται, ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίγνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλεϊ ἐπὶ τὴν γῆν· [4]ξυνυπουργέει γὰρ ἐκείνῳ ἐξίσχιόν τε ἀπαναγκάζεται εἶναι [5]καὶ κατὰ τὴν ἰγνύην ξυγκάμπτειν· ἢν δὲ μὴ προσχρέηται τῷ σιναρῷ ἐπὶ τὴν γῆν, ἀλλὰ μετέωρον ἔχων σκίπωνι ἀντερείδηται, οὕτω [6]δὴ καρτερὸν γίγνεται τὸ ὑγιὲς σκέλος· ἔν τε γὰρ τῇ φύσι διαιτᾶται καὶ τὰ γυμνάσια προσκρατύνει αὐτό. Φαίη μὲν οὖν ἄν τις ἔξω ἰητρικῆς τὰ τοιαῦτα εἶναι· τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν· τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα ξυνιέναι· οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. Δεῖ μὲν γὰρ ἐς τὰ ἀκεστὰ μηχανάασθαι, ὅκως μὴ ἀνήκεστα ἔσται, ξυνιέντα ὅκη ἂν μάλιστα κωλυτέα ἐς τὸ ἀνήκεστον ἐλθεῖν· δεῖ δὲ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ [7]μάτην λυμαίνη-

velint, breviorem esse baculum oportet eosque insuper ad inguina inflecti necesse est. At carnium imminutiones iis etiam pro ratione, velut ante dictum est, accidunt. Quibus enim crus suspensum est, et nihil laborant, iis vel maxime imminuuntur, minimum vero, ubi plurimum ingressu utuntur. Crus tamen integrum non modo nihil utilitatis consequitur, verum potius etiam deformius redditur, si affecto crure ad terram innixi utantur. Illi enim dum subservit, tum in exteriorem partem coxendicem prominere, tum poplitem inflecti necesse est. Quodsi affecto crure terram non contingat, sed eo suspenso scipioni innitatur, eo sane pacto crus integrum robustius evadet, cum et naturaliter habeat, et exercitatione magis corroboretur. Ceterum haec ad artem medicam nihil pertinere dixerit fortasse quispiam. Nimirum quid attinet de his, quae nullam amplius curationem admittunt, copiosiorem adhuc doctrinae sermonem facere? Illud vero plurimum refert. Eadem enim notione, cum ista inter se separari nequeant, comprehenduntur. Dare si quidem operam oportet, ne quae curationem admittere possunt, incurabilia evadant, prospicientes quanam potissimum ratione prohibeamus, quo minus eo deveniant, ut incurabilia reddantur. Quae vero nullam curationem admittunt prospicere etiam oportet ne frustra noxa afficiantur. Praedictiones autem splendidae et laude dignae ex eo exsistunt, quod dignoscimus quonam et quanam ratione aut quando res quaeque exitum habitura sit, sive eo tendat ut curationem recipiat, sive curationis spem adimat. At quibus vel a

[1] *ποιητέον.* — [2] *ὥσπερ καὶ πρ.* — [3] *καὶ — ὑγιὲς σκέλος* om. — [4] *συνυπουργέον.* — [5] *καί* om. — [6] *δέ.* — [7] *μάλιστα.*

τέον vulg.; — *φορητέον* Littr. ex B. M. N., ubi hoc in marg., illud in textu, vel contra.

τῶν δὲ σαρκῶν — μινύθουσι.] *ὥσπερ πρόσθεν* sine *καί* M. N., Littr.; — *μινύθει. εἰ δ' ἂν* vulg., *μινύθει. οἳ δ' ἂν* C. E. H. K. Marc.; — *μινύθουσι δ' ἂν* in marg., *μινύθη· οἳ δ' ἂν* B. M. N.; — *χρέονται* vulg., *χρέωνται* Parr. 7., Marc., Littr.

τὸ μέντοι — αὐτό.] *ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον* vulgo, *μᾶλλον* omm. C. H. N. Marc., sed in H. N. rest.; — *ἀπαναγκάζεται* ex edd. antt., mss. revocavit Littr., *ἀναγκάζεται* vulg., *ἐπαναγκάζεται* Gal.; — *ἐπὶ τὴν γῆν τῷ σιναρῷ σκέλει* B. M. N.; — *σκίμπωνι* alii libri, et ubivis fere alii *σκίπων*, alii *σκίμπων*, quod non amplius noto; — *οὕτω δέ* vulgo, *οὕτω δή* de meo; — *καρτερὸν γίνεται* e Parr. 12. Littr., idem fert Marc., *γένηται* vulg.; — *τά τε γυμν.* Parr. 7.

Φαίη — ἀλλήλων.] *μὲν ἂν οὖν τις* C. H. Marc.; — *οὖν* omm. Ald., Parr. 6.; — *ἔτι* om. Dietz. p. 38.; — *προξυνιέναι* E. H. K.

δεῖ μὲν γὰρ — ἀνήκεστον.] *ἐς* ante *τὰ ἀνήκεστα* ex C. solo Littr.; — *μηχανᾶσθαι* B. E. M. N., Dietz., *μηχανάεσθαι* Ald., Gal.; — *ἔσται* e multis mss. Littr., idem fert Marc.; *ἐστί* vulg.; — *κωλύση* Dietz.; — *δεῖ δή* Parr. 8. et Marc.; — *μάτην* ex Dietzio Littr., *μάλιστα* cett.; — *διαγωνιστικά* F. G.; — *γινώσκειν* Dietz.

ται· τὰ δὲ προρρήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ διαγιγνώσκειν [1]ὅπῃ ἕκαστον καὶ οἵως καὶ ὁκότε τελευτήσει, ἤν τε ἐς τὸ ἀκεστὸν τράπηται, ἤντε ἐς τὸ ἀνήκεστον. Ὁκόσοισι δ' ἂν ἐκ γενεῆς, [2]ἢ καὶ ἄλλως πως ἐν αὐξήσι ἐοῦσι, οὕτως ὀλίσθῃ τὸ ἄρθρον ὀπίσω καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλίσθῃ, ἤν τε [3]καὶ ὑπὸ νούσου, — πολλὰ γὰρ [4]τὰ τοιαῦτα ἐξαρθρήματα γίγνεται ἐν τούτοισι· οἷαι δέ τινες εἰσὶ αἱ νοῦσοι ἐν ᾗσι ἐξαρθρέεται τὰ τοιαῦτα, ὕστερον [5]γεγράψεται, — ἣν [6]οὖν ἐκστὰν μὴ ἐμπέσῃ, τοῦ [7]μὲν μηροῦ τὸ ὀστέον βραχὺ γίγνεται, κακοῦται δὲ [8]καὶ πᾶν τὸ σκέλος καὶ ἀναυξέστερον γίγνεται καὶ ἀσαρκότερον πολλῷ διὰ τὸ μηδὲν προσχρέεσθαι αὐτῷ· κακοῦται γὰρ τούτοισι καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον· τὰ γὰρ νεῦρα ἐντεταμένα γίγνεται διὰ τὰ πρόσθεν εἰρημένα· διὸ οὐ δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ἐκτανύειν, οἷσι ἂν οὕτως ἰσχίον ἐκπέσῃ. Ὡς γὰρ ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντα τὰ ἐν τῷ σώματι ὁκόσα ἐπὶ χρήσι γέγονε, χρεομένοισι μὲν μέτρια καὶ γυμναζομένοισι ἐν τῇσι ταλαιπωρίῃσι, ἐν ᾗσι ἕκαστα εἴθισται, οὕτω μὲν ὑγιηρὰ καὶ αὔξιμα καὶ εὔγηρα γίγνεται· μὴ χρεομένοισι δὲ, ἀλλ' ἐλινύουσι, νοσηρότερα [9]γίγνεται καὶ ἀναυξέα καὶ ταχύγηρα. Ἐν δὲ τούτοισι οὐχ ἥκιστα τὰ ἄρθρα τοῦτο πέπονθε καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι χρέηται· [10]κακοῦνται μὲν οὖν διὰ ταύτας τὰς προφάσιας μᾶλλόν τι ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος, ἢ ἐν τοῖσι ἄλλοισι· ὅλον γὰρ τὸ σκέλος ἀναυξὲς γίγνεται καὶ τῇ ἀπὸ τῶν ὀστέων φύσι καὶ τῇ ἀπὸ τῶν σαρκῶν· οἱ οὖν τοιοῦτοι ὁκόταν ἀνδρωθῶσι, μετέωρον καὶ [11]ξυγκεκαμμένον τὸ σκέλος ἴσχουσι, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται

primo ortu, vel alioqui dum adhuc augentur, articulus hoc modo in posteriorem partem prolapsus, ac minime reconditus fuerit, sive per vim sive per morbum hic casus inciderit, — multae namque luxationes huiusmodi per morbos fiunt, quibusnam vero in morbis illae accidant paulo post scribetur, — si prolapsus igitur articulus restitutus non fuerit, os femoris breve quidem redditur, crus autem universum eo, quod nulli sit usui, vitiatur et incremento destituitur longeque gracilius evadit, quod nihil ad usum cedat. In iis etiam poplitis articulus vitium sentit. Nervi namque ex praedictis causis intenduntur. Ideo neque poplitis articulum extendere possunt quibus hunc in modum coxa elapsa sit. Quaecumque enim, ut breviter dicam, corpori usum aliquem praestant, ea si quis in eo laboris genere, quod cuique est consuetum, moderate exerceat, hac quidem parte bene valent, augentur et ad maturam senectutem perveniunt: sin contra otientur neque in usum veniant, morbis patent, incremento privantur celeriterque consenescunt. Inter quae maxime id articuli et nervi sentiunt, si in usum non veniant. His igitur de causis hoc in luxationis genere maiorem quam in ceteris noxam accipiunt. Crus namque totum, tum quod ad ossium tum quod ad carnium naturam spectat, incremento destituitur. Ii igitur, ubi in viros evaserunt, crus suspensum et inflexum habentes super altero, baculo uno aut etiam altero innixi, feruntur.

[1] ὅποι. — [2] ἢ ἄλλως ἐν αὐξ. — [3] καί om. — [4] τὰ τοιαῦτα. — [5] γράψεται. — [6] γοῦν. — [7] μέν om. — [8] καί om. — [9] γίνονται. — [10] κακοῦται. [11] συγκεκλιμένον.

ὁκόσοισι — ἐκπέσῃ.] οἷσι B. M. N.; — ἣν ἄλλως κως sine καί Parr. plures, cod. Serv., uti V., Gal.; — ἤν τε ὑπὸ νόσου Gal., F. G. J. O. U., cf. lectt. V.; — τὰ τοιαῦτα dedi cum Parr. 7., Marc., Voss., vulgo τά om.; — ἣν οὖν Parr. 7., Marc., Littr., ἣν γοῦν vulg.; — κακοῦται δὲ καί B. M. N., Littr., vulgo καί om.; — μὴ δὲ προσχρέεσθαι E. J.; — post αὐτῷ H. al. m. in marg. κατὰ δὲ τὸν βουβῶνα δοκέει τι ἡ σὰρξ λαπαρωτέρη; — tum οὐ δύναται Parr. 7.

ὡς γὰρ — ταχύγηρα.] εἰπεῖν vulg., εἰρῆσθαι B. M. N., εἰρέεσθαι C. E. H. K. Q.', Marc.; — μὲν γὰρ μέτρια E. H. K. Q.; — ὑγιηρά Parr. 7., Marc., ὑγιεινά vulg.; — αὔξημα vulg., αὔξιμα Parr. 10., Marc., Littr. alii; — νοσηλότερα M. N.

ἐν δὲ τούτοισι — δυσί.] οὐκ Bas., Merc.; — τά ante νεῦρα omm. C. H., in quo rest. al. m., Marc.; — κακοῦν-

καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι, οἱ μὲν ἑνὶ, οἱ δὲ δυσί.

ρζ'. Οἷσι δ' ἂν ἐς τοὔμπροσθεν [1]ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσῃ, — ὀλίγοισι δὲ τοῦτο γίγνεται, — οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος δύνανται τελέως, ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται κατὰ τὸν βουβῶνα· πονέουσι δὲ καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται ξυγκάμπτειν. Μῆκος δὲ τοῦ σκέλεος παραπλήσιον φαίνεται κατὰ μὲν τὴν πτέρνην καὶ πάνυ· ἄκρος δὲ ὁ ποὺς ἧσσόν τι προκύπτειν ἐθέλει ἐς τοὔμπροσθεν· ὅλον δὲ τὸ σκέλος ἔχει τὴν ἰθυωρίην [2]τὴν κατὰ φύσιν καὶ οὔτε τῇ, οὔτε τῇ ῥέπει. Ὀδυνῶνται δὲ αὐτίκα οὗτοι μάλιστα καὶ οὖρον ἴσχεται τὸ πρῶτον [3]τούτοισι μᾶλλόν τι ἢ τοῖσι ἄλλοισι ἐξαρθρήμασι· ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοισι τῶν τόνων τῶν ἐπικαίρων. Καὶ κατὰ μὲν τὸν βουβῶνα [4]ἐξογκέον τε καὶ κατατεταμένον τὸ χωρίον φαίνεται κατὰ δὲ τὸ πυγαῖον στολιδωδέστερον καὶ ἀσαρκότερον. Ταῦτα μὲν οὖν τὰ εἰρημένα σημήϊά ἐστι, ὧν ἂν οὕτως ἐκπεπτώκῃ ὁ μηρός.

107. At quibus priorem in partem femoris caput prolapsum est, quod paucis accidit, ii perfecte quidem crus extendere possunt incurvare vero ad inguen minime. Quin et laborant si poplitem inflectere cogantur. Crus vero longitudine aequale conspicitur, idque ad calcem maxime, sed pes summus minus aliquanto in anteriorem partem propendere potest. Crus autem universum naturalem rectitudinem servat neque in hanc illamve partem tendit. Dolore quoque ii statim praecipue afficiuntur, urinaque inprimis potius quam aliis in luxationibus supprimitur. In his enim femoris caput proxime ad insignes nervos incumbit et ad inguen quidem tumidus et contentus locus conspicitur, ad nates autem in rugas magis contractus et summe gracilis. Ac dictae quidem notae sunt eorum, quibus hunc in modum femur prolapsum est.

ρη'. Ὁκόσοισι μὲν οὖν ἂν ἤδη ἠνδρωμένοισι τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι, ὁκόταν αὐτοῖσι ἡ ὀδύνη παύσηται καὶ τὸ ἄρθρον [5]ἐθισθῇ ἐν τῷ χωρίῳ στρωφᾶσθαι, ἵνα ἐξέπεσε, δύνανται σχεδὸν ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου καὶ πάνυ μέντοι εὐθέες, ἐπὶ δὲ τὸ σιναρὸν, ἅτε οὔτε κατὰ τὸν βουβῶνα εὔκαμπτοι ἐόντες, οὔτε κατὰ τὴν ἰγνύην· διὰ [6]οὖν τοῦ βουβῶνος τὴν ἀκαμπίην εὐθυτέρῳ

108. Quibus igitur iam adultis articulus hic elapsus reconditus non fuerit, ii ubi dolor conquieverit, et articulus eo in loco, in quem excidit, verti assueverit, fere erecti absque baculo ingredi possunt, idque admodum erecti, nimirum cum affectum crus neque ad inguen, neque ad poplitem facile incurvare queant. Ideoque quod ad inguen flecti nequeant, toto crure ad ingressum magis erecto quam cum valebant

[1] κεφαλὴ μηροῦ sine ἡ et τοῦ. — [2] κατὰ τὴν φ. — [3] τούτοισι om. — [4] ἐξογκέονται καί. — [5] ἐθισθείη. — [6] οὖν om.

ται B. M. N., Marc., et H. ex emend., Littr., κακοῦται vulg.; — μέν M. N., vulgo om.; — ξυγκεκαμμένον B. H. M. N., Littr., vulgatam e V. notavi.

107. οὐδὲ — ξυγκάμπτειν.] τὸ ἔμπροσθεν E. H.; — ἡ omm. Parr. 11.; — τοῦ B. M. N., Littr., vulgo om.; — ὀλιγάκις pro ὀλίγοισι B. M. N.; — τελέως C., τελείως cett.; — τὰ κατὰ τὸν βουβῶνα vulg., τὸ κατὰ τ. β. Dietz., equidem neque τά, neque τό ferendum arbitror, sed abigendum.

μῆκος — ῥέπει.] τε pro δέ Dietz.; — καὶ κατά N., sed καί linea traiectum; — τι om. Dietz.; — προκάμπτειν C.; — ἐθέλει cum mss. 11. Littr. idemque fert Marc.; ἐθελήσει C., ἐθέλοι vulg., θέλει Dietz.; — τὴν κατὰ φ. M. N., Littr., vulgatam e V. notavi.

ὀδυνῶνται — ἐπικαίρων.] δὲ τὸ αὐτίκα εἶναι οὗτοι Dietz.; — τούτοισι B. H. M. N., Littréus, τούτοισι om. vulg.; — τι om. Dietz.; — πόνων pro τόνων edd. antt., multa mss., τόνων etiam Marc.

καὶ — ἀσαρκότερον.] ἐξογκέονται vulg., unde ἐξογκέον τε dedit Littr., ἐξογκέον sine τε Dietz.; — ἀσαρκότατον vulg., ἀσαρκότερον B. C. E. L. M., Littr.

ταῦτα — μηρός.] Vulgo: σημήϊά ἐστι τὰ εἰρημένα; inverti verborum ordinem.

108. ὁκόσοισι — ὑγίαινον.] ἐθισθῇ B. M. N., Littr., fortasse ἐθισθέη latet in vulgato ἐθισθείη; — vulgo ἐν τῷ χωρίῳ τούτῳ, sed τούτῳ omm. Parr. 10., Gal. in comm. p. 652; Dietz.; — στρωφᾶσθαι B. M. N., Marc., per ō vulg.; — post ἐξέπεσε rursus οὗτοι infertur in vulgata, sed abigo otiosum pronomen; — εὐθὺς ὀρθοί vulgo, sed εὐθύς omm. H. N., ubi in marg. rest., Dietz., cum τι addito; ὀρθοί om.

ὅλῳ τῷ σκέλεϊ ἐν τῇ ὁδοιπορίῃ χρέονται ἢ ὅτε ὑγίαινον. Καὶ σύρουσι δὲ ἐνίοτε πρὸς τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηϊδίως ξυγκάμπτοντες τὰ ἄνω ἄρθρα, καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδί· οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσι ἢ τῷ ἔμπροσθεν· εἰ δέ γε ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ πτερνοβάται ἦσαν· καὶ γὰρ [1]οἱ ὑγιαίνοντες ὅσῳ ἂν μέζον προβαίνοντες ὁδοιπορέῳσι, [2]τοσούτῳ μᾶλλον πτερνοβάται εἰσὶ, τιθέντες τὸν πόδα, αἴροντες δὲ τὸν ἐναντίον. Ὁκόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκε, [3]καὶ ἔτι μᾶλλον τῇ πτέρνῃ προσεγχρίμπτουσι ἢ τῷ ἔμπροσθεν· τὸ γὰρ ἔμπροσθεν τοῦ ποδὸς, ὅταν ἐκτεταμένον ἔῃ τὸ ἄλλο σκέλος, οὐχ ὁμοίως δύναται ἐς τὸ πρόσω καμπύλλεσθαι, ὥσπερ ὁκόταν ξυγκεκαμμένον ἔῃ τὸ σκέλος· οὔτ' αὖ σιμοῦσθαι δύναται ὁ πούς, ξυγκεκαμμένου τοῦ σκέλεος, ὡς ὅταν ἐκτεταμένον ἔῃ τὸ σκέλος. Ὑγιαίνουσά τε οὖν ἡ φύσις οὕτω πέφυκε, ὥσπερ εἴρηται· ὅταν δὲ ἐκπεσὸν μὴ ἐμπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσι, ὡς εἴρηται, διὰ τὰς προφάσιας ταύτας τὰς εἰρημένας· ἀσαρκότερον μέντοι τὸ σκέλος τοῦ ἑτέρου γίγνεται κατά τε τὸ πυγαῖον, κατά τε τὴν γαστροκνημίην καὶ κατὰ τὴν ὄπισθεν ἴξιν. Οἷσι δ' ἂν νηπίοισι ἔτι ἐοῦσι τὸ ἄρθρον οὕτως ὀλίσθανον μὴ ἐμπέσῃ, ἢ καὶ ἐκ γενεῆς οὕτω γένηται, καὶ τούτοισι τὸ τοῦ μηροῦ ὀστέον μᾶλλόν τι μινύθει ἢ τὰ τῆς κνήμης καὶ τὰ τοῦ ποδός· ἥκιστα μὴν ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ὁ μηρὸς μειοῦται. Μινύθουσι μέντοι αἱ σάρκες πάντῃ, μάλιστα δὲ κατὰ τὴν ὄπισθεν ἴξιν, ὥσπερ ἤδη καὶ πρόσθεν εἴρηται. Ὁκόσοι μὲν οὖν [4]ἂν τιθηνηθῶσι

utuntur. Interdumque pedem per terram trahunt, ut qui superiores articulos non facile inflectant et toto pede inambulent. Neque enim minus hi calce quam anteriore pedis parte incedunt. Quodsi magno gressu procedere possent, vel plane calci insisterent. Nam et bene valentes, quo maiore gressu procedunt, eo magis calci insistunt, pede uno defixo alterum attollentes. Quibus igitur hoc modo luxatio accidit, ii magis adhuc calce quam pedis parte anteriore impingunt. Pedis enim pars anterior, cum crus reliquum extentum est, non aeque ac si inflexum fuerit, in priorem partem flecti potest. Neque contra pes simus reddi potest crure flexo, velut intento. At crus quidem cum bene valet, quomodo diximus a natura constitutum est. Cum vero prolapsus articulus repositus non fuerit, ob commemoratas causas velut dictum est inambulant. Ad nates autem et carnosam tibiae partem posteriorem atque e regione posterioris partis crus altero gracilius redditur. At quibus tenella adhuc aetate sic luxatus articulus reconditus non fuerit, vel a prima origine id acciderit, iis quoque femoris os aliquanto magis quam tibiae aut pedis imminuitur. Et minimum quidem in hoc luxationis genere femur imminuitur. Carnes tamen omni ex parte praesertimque ex posteriore regione imminuuntur, velut iam supra dictum est. Qui ergo recte educati fuerint, ii dum augentur crure quidem, etsi altero aliquantum breviore, uti possunt, baculo tamen qua parte crus laesum est innitentes. Neque enim absque calce imam plantam ad usum demittere admodum queant; quod in aliis claudicationi-

[1] οἱ om. — [2] τοσοῦτον. — [3] καί om. — [4] ἄν om.

C.; — Marc.: δύνανται σχεδὸν ὀρθοί fert et m. pr. in marg. γεγρ. καὶ εὐθύς. Me iudice εὐθύς scriptum non fuit, sed ὀρθοί, nisi forte εὐθέες auctor dederit, recentiores vero ὀρθοί substituerint; εὐθύς *statim* non congruit. Porro οὐ κατά C.; — εὔκαμπτοι recte scriptum etiam Marc.; — οὖν M. N. Littr., γοῦν vulg.

καὶ σύρουσι — ἐναντίον.] ξυγκάμπτοντες recte etiam Marc.; — καί pro κἄν K.; — μέζω προβαίνοντες B. M. N.; — τοσοῦτον, uti V., Parr. 4.; — τἀναντία B. M. N. in marg.

ὁκόσοισι — σκέλος.] ἤδη οὕτως C.; — προσεγχρίμπτουσι B. E. M. N., ἐγχρίπτουσι vulg.; — τὸ ἔμπροσθεν vulg., cum Littréo sequor C., Lind.; — ὁκόταν M., ὅταν cett.; — καμπυλέεσθαι vulg., καμπύλλεσθαι Littr. e codd., idemque fert Marc.; — οὔτε αὖ M. N.; — ξυγκεκλιμένου vulg., pauci codd. verum praebuerunt Littréo; — ἕως vulg., ὡς Parr. plures, Littr., Marc.

ὑγιαίνουσι — ἴξιν.] καὶ κατὰ τὴν γαστροκνημίην C. E. H. K., Marc.

οἷσι δ' ἂν — μειοῦται.] καὶ τοῦ ποδός M. N.; — ἥκιστα μέν vulg., ἥκιστα μήν Littr. cum multis Parr., fert idem Marc.

μινύθουσι — εἴρηται.] δὲ καὶ κατά C.

ὁκόσοι — ξύλον.] ὅσοι vulg., sequor B. M. N.

ὀρθῶς, οὗτοι μὲν δύνανται προσχρέεσθαι τῷ σκέλεϊ αὐξανόμενοι, βραχυτέρῳ μέν τινι τοῦ ἑτέρου ἐόντι, ὅμως δὲ ἐρειδόμενοι ξύλῳ ἐπὶ ταῦτα, ἢ τὸ σιναρὸν σκέλος· οὐ γὰρ κάρτα δύνανται ἄνευ τῆς πτέρνης τῷ στήθεϊ τοῦ ποδὸς χρέεσθαι ἐπικαθιέντες, ὥσπερ ἐν ἑτέροισι χωλεύμασι ἔνιοι δύνανται· αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὸ ὀλίγῳ πρόσθεν εἰρημένον· διὰ οὖν τοῦτο προσδέονται ξύλου. Ὅσοι δ' ἂν καταμεληθέωσι καὶ μηδὲν χρέωνται ἐπὶ τὴν γῆν τῷ σκέλεϊ, ἀλλὰ μετέωρον ἔχωσι, τούτοισι [1] μινύθει μὲν τὰ ὀστέα ἐς αὔξησιν μᾶλλον ἢ τοῖσι χρεομένοισι· μινύθουσι δὲ καὶ αἱ σάρκες πολὺ μᾶλλον ἢ τοῖσι χρεομένοισι· κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ ἰθὺ πηροῦνται τούτοισι τὸ σκέλος μᾶλλόν τι ἢ οἷσι ἂν ἄλλως ἐκπεπτώκῃ.

ρθ'. Ὡς μὲν οὖν ἐν κεφαλαίῳ [2] εἰρῆσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθάνοντα ἀνίσως αὐτὰ ἑωυτοῖσι ἐκπίπτει καὶ ὀλισθάνει, ἄλλοτε μὲν πουλὺ [3] πλεῖον, ἄλλοτε δὲ πουλὺ [4] ἔλασσον· καὶ οἷσι μὲν ἂν πολὺ πλέον ὀλίσθῃ ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστὶ, καὶ ἢν μὴ ἐμβιβασθῇ, μέζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα καὶ ὀστέων, καὶ σαρκῶν, καὶ σχημάτων· ὅταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλίσθῃ, [5] ῥηΐδιον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν ἑτέρων γίγνεται, ἢν δὲ καταπορηθῇ ἢ καὶ ἀμεληθῇ ἐμβαλεῖν, μείους καὶ ἀσινέστεραι αἱ πηρώσιες γίγνονται τούτοισι ἢ οἷσι ὀλίγῳ πρόσθεν εἴρηται. Τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ ὁτὲ μὲν μεῖον, ὁτὲ δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι· μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώτατα ὀλισθάνουσι αὐτὴ ἑωυτῇ ἑκατέρῃ·

bus quibusdam licet. Cuius rei ea causa est, quam paulo ante retulimus. Idcirco igitur baculo insuper indigent. At qui neglecti fuerint, neque crus in terram demittunt, sed suspensum habent, iis ossa quidem, quod ad incrementum attinet, potius quam iis, qui eo utuntur, imminuuntur, carnes vero multo etiam magis. Circa articulos autem, quod ad directionem spectat, crure ii aliquanto magis capti sunt quam quibus aliter luxatio acciderit.

109. In summa igitur articuli, qui prolabuntur et luxantur, non eodem semper modo excidunt et luxantur, sed interdum quidem longe amplius, interdum vero multo minus. Et qui quidem longe amplius luxantur, aut excidunt, maiore molestia in totum reconduntur, ac nisi reponantur, in his ossa, carnes, corporis habitus, et magis et manifestius debilitantur et depravantur. At ubi minus prolabuntur et luxantur, haec quidem aliis facilius reconduntur, cumque frustra tentata aut neglecta repositio fuerit, iis minores magisque innoxiae quam quibus paulo ante dictum est, debilitates accidunt. Atque in reliquis quidem articulis per sane multum interest maiorne interdum an minor luxatio fiat. Verum tum femoris tum brachii capita quam simillimas inter se utraque luxationes patiuntur. Cum namque rotunda sunt, simplicem ac laevem

[1] μινύθουσι. — [2] εἰρέεσθαι. — [3] πλείονα. — [4] ἐλάσσονα. — [5] ῥηΐδιον — καταπορηθῇ om.

ὅσοι — ἐκπεπτώκῃ.] μινύθει μὲν τὰ ὀστέα Parr. 6., Marc., vulg. e V. notavi; — ἐς τὸ ἰθύ B. M. N., ἐς τὸ εὐθύ vulg.; — τὸ σκ. τούτοισι B. M. N.

109. ὡς μὲν — εἴρηται.] εἰρῆσθαι B. M. N., Littr., vulgatam e V. notavi; — ὁτὲ μὲν — ὁτὲ δέ Dietz.; — πλέον — ἔλασσον M. N., vulgatam e V. notavi; — ἂν μέν vulg., μὲν ἄν codd., Gal., Littr.; — χαλεπώτερον M. N.; — πωρώσιας iidem; — ἔχει C.; — τῶν ἑτέρων Ald., C. H., Marc., Gal. Bas. in marg., Littr., ὀστέων pro ἑτέρων vulg.; — ἢ ἀμεληθῇ vulg., καὶ ἀμ. C., ἢ καὶ ἀμ. B. M. N.; — ἐμβαλεῖν de meo, ἐμπεσεῖν ceteri, quod incongruum; — πωρώσιες multa mss.

τὰ μὲν οὖν ἄλλα — ἔσω.] πάμπολυ B. M. N. pro πάνυ πολύ; — παραπλησιώταται E. M, N., Dietz. p. 39., et ita corrigitur in H.; — tum αἱ κεφαλαὶ ἐοῦσαι vulg., ἐοῦσαι αἱ κεφαλαί C., equidem αἱ κεφαλαί abigo; — ἁρμόζουσαι vulg., ἁρμόζουσι H., Littr., quod item recepi, sed simul pro vulgato δέ, quod sequebatur, scripsi δή. Dein manifestum

ἅτε γὰρ στρογγύλαι μὲν ἐοῦσαι, ἁπλῆν τὴν στρογγύλωσιν καὶ φαλακρὴν ἔχουσι, κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι, αἱ δεχόμεναι τὰς κεφαλὰς, ἁρμόζουσι δὴ τῇσι κεφαλῇσι· διὰ τοῦτο οὐκ ἔστι αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου· ὀλισθάνει γὰρ διὰ τὴν περιφέρειαν ἢ ἐς τὸ ἔξω, ἢ ἐς τὸ ἔσω. Περὶ οὗ [1] οὖν ὁ λόγος, ἐκπίπτουσι τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσι· ὅμως δὲ καὶ ταῦτα ὁτὲ μὲν πλεῖον ἀποπηδᾷ ἀπὸ τῆς φύσιος, ὁτὲ δὲ ἔλασσον· μᾶλλον δέ τι μηρὸς [2] τοῦτο βραχίονος πέπονθε.

ρι'. Ἐπεὶ ἔνια καὶ τῶν ἐκ γενεῆς [3] γενομένων ὀλισθημάτων, ἢν μικρὸν ὀλίσθῃ, οἷά τε ἐς τὴν φύσιν ἄγεσθαι, καὶ μάλιστα [4] τὰ παρὰ τοῦ ποδὸς ἄρθρα, ὁκόσοι ἐκ γενεῆς [5] κυλλοὶ γίγνονται, τὰ πλεῖστα τούτων [6] ἰήσιμά ἐστι, ἢν μὴ πάνυ μεγάλη ἡ ἔκκλισις ἔῃ, ἢ καὶ προσαυξέων γεγονότων ἤδη [7] τῶν παιδίων ξυμβῇ. Ἄριστον μὲν οὖν ὡς τάχιστα ἰητρεύειν τὰ τοιαῦτα, πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν ὀστέων τῶν ἐν τῷ ποδὶ γενέσθαι, πρίν τε πάνυ μεγάλην τὴν ἔνδειαν τῶν σαρκῶν τῶν κατὰ τὴν κνήμην εἶναι. Τρόπος μὲν οὖν κυλλώσιος οὐχ εἷς, ἀλλὰ πλείονες, τὰ πλεῖστα [8] μέντοι οὐκ ἐξηρθρηκότα παντάπασι, ἀλλὰ δι' ἔθος σχήματος ἔν τινι ἀπολήψι τοῦ ποδὸς κεκυλλωμένα. Προσέχειν [9] δὲ καὶ ἐν τῇ ἰητρείῃ τοισίδε χρή· ἀπωθέειν μὲν καὶ κατορθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον, τὸ ἔξωθεν, ἐς τὸ ἔσω μέρος, ἀντωθέειν δὲ ἐς τὸ [10] ἔξω μέρος τὸ τῆς πτέρνης, τὸ κατὰ τὴν ἴξιν, ὅκως ἀλ-

rotunditatem habent. Sinus autem ea recipientes rotundiores sunt, iisque adaptantur. Quo fit ut articuli dimidium in his suo loco excidere non possit; ob rotunditatem enim aut exteriorem in partem aut interiorem luxatur. Ergo quod ad praesentem sermonem attinet, in totum iam prolabuntur, alioqui minime excidunt. Interdum tamen ii magis quidem, interdum minus e naturali sede exsiliunt, magisque id femori quam brachio usu venit.

110. Nonnulla si quidem ex luxatis, quod a primo ortu acciderunt, si parva luxatio fuerit, in naturalem statum redire possunt, praesertim ad pedis articulum, quibus a primo ortu crus varum efficitur, eorum plerique curari possunt, nisi magna admodum emotio exstiterit, aut etiam pueris aetate paulo amplius provectis ista evenerint. Quam celerrime his igitur curationem adhibere optimum est, prius quam et pedis ossium et carnis in tibia perquam magnus defectus accidat. Vari igitur non uno modo sed pluribus fiunt. Plerumque si quidem non ex toto sede sua elapso articulo, sed quod re aliqua detentus eo habitu assueverit, pes varus efficitur. In eorum autem curatione haec advertenda sunt: ut tibiae quidem os ad malleolum, quod extra spectat, interiorem in partem propellatur et dirigatur, contra vero os calcis e directo exteriorem in partem repellatur, quo ossa quae exstant tum circa medium, tum circa transversum pedem inter se concurrant. Digiti

[1] νῦν. — [2] τοῦ βραχίονος. — [3] γινομένων. — [4] παρὰ τά. — [5] καλοί. — [6] ἰάσιμα. — [7] παίδων sine τῶν. — [8] μήν. — [9] δὲ τῇ ἰητρείῃ. — [10] εἴσω.

est in seqq. fuisse duplicem lectionem ὀλισθάνοι γὰρ ἄν et ὀλισθάνει γάρ; huius vestigia supersunt in indicativo, quem nonnulli codd. ferunt, licet ἄν habeant, et in Vossiani lectione, ubi ἄν omittitur, licet optativum habeat. Tum περιφέρειαν rectissime M. N., περιφερίην vulg., περιφερείην alii libri et Littr.; — ἢ ἐς τὸ ἔσω, ἢ ἐς τὸ ἔξω C.

περὶ οὗ — πέπονθε.] οὖν Parr. 7., Marc., Littr., νῦν vulgo; — ὁ λόγος ἐστιν vulgo, ἐστιν omm. B. M. N.. Littr.; — πλεῖον Parr. 6., Littr., πλείω vulg.; — μᾶλλον δ' ὅτι Dietz. p. 39.; — τοῦτο Parr. 8., Marc., Littr., vulgatam e V. notavi.

110. ἐπεὶ — ἄρθρα.] γενομένων Parr. 7., Marc., Littr., γινομ. vulg.; — τὰ παρά Ald., E. F. G. M. N., Littr., vulgatam e V. notavi. Post ἄρθρα puncto distinguitur; mihi commate distinguendum videtur.

ὁκόσοι — ξυμβῇ.] ἰάσιμα Parr. 6., uti V.; — προσαυξέων lego cum C. E. K., Marc., προαυξέων vulg.; — τῶν ex B. M. N. Littréus, vulgo om.

ἄριστον — εἶναι.] τὰ τοιαῦτα πρίν τε cod. Voss. et Serv.; — τῶν ὀστέων — ἔνδεια om. E., in quo rest. al. m., G.

τρόπος — κεκυλλωμένα.] μήν Parr. 7., Marc., Littr., μέν vulg.; — διά plene B. M. N.

προσέχειν δὲ — φαίνηται.] καὶ ἐν τῇ ἰητρ. B. M. N., Littr., vulgo καὶ ἐν om.; — ante τῆς κνήμης addit τό N., sed oblit.; — ἀντωθέειν δὲ ἐν τῷ ἔσω Merc. in marg.; — ἐς τὸ εἴσω, uti V., Parr. 6.; — τό ante τῆς πτέρνης omm. C. E. H. K., Marc.; — πτέρνης Littr. ex mss. 5., idem fert Marc., περόνης vulg. — Ante τὸ κατὰ τὴν ἴξιν ferunt

λήλοις ἀπαντήσει τὰ ὀστέα τὰ ἐξίσχοντα κατὰ μέσον τε καὶ πλάγιον τὸν πόδα· τοὺς δ' αὖ δακτύλους ἀθρόους ξὺν τῷ μεγάλῳ δακτύλῳ ἐς τὸ εἴσω μέρος [1]ἐγκλίνειν καὶ περιαναγκάζειν οὕτως· ἐπιδεῖν δὲ κηρωτῇ ἐρρητινωμένῃ εὖ, καὶ σπλήνεσι, καὶ ὀθονίοισι μαλθακοῖσι, μὴ ὀλίγοισι, μηδὲ ἄγαν πιέζοντα· οὕτω δὲ τὰς περιαγωγὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὥσπερ καὶ τῇσι χερσὶ ἡ κατόρθωσις ἦν τοῦ ποδὸς, ὅκως ὁ ποὺς ὀλίγῳ μᾶλλον ἐς τὸ βλαισὸν ῥέπων φαίνηται. Ἴχνος δέ τι [2]χρὴ ποιέεσθαι ἢ δέρματος μὴ ἄγαν σκληροῦ, ἢ μολίβδινον, προσεπιδεῖν δὲ μὴ πρὸς τὸν χρῶτα τιθέντα, ἀλλ' ὅταν ἤδη τοῖσι ὑστάτοισι ὀθονίοισι μέλλῃς [3]ἐπιδέειν· ὅταν δὲ ἤδη ἐπιδεδεμένος ἔῃ, ἑνὸς [4]τινὸς τῶν ὀθονίων χρὴ, οἷσι ἐπιδέεται, τὴν ἀρχὴν προσράψαι πρὸς τὰ κάτω τοῦ ποδὸς ἐπιδέσματα κατὰ τὴν ἴξιν τοῦ μικροῦ δακτύλου· ἔπειτα ἐς τὸ ἄνω τείνοντα, ὅκως ἂν δοκέῃ μετρίως ἔχειν, περιβάλλειν ἄνωθεν τῆς γαστροκνημίης, ὡς μόνιμον ἔῃ, [5]κατατεταμένον οὕτως. Ἁπλῷ δὲ λόγῳ, ὥσπερ κηροπλαστέοντα, χρὴ ἐς τὴν φύσιν [6]τὴν δικαίην ἄγειν [7]καὶ τὰ ἐκκεκλιμένα καὶ τὰ ξυντεταμένα παρὰ τὴν φύσιν, καὶ τῇσι χερσὶ οὕτω διορθοῦντα καὶ τῇ ἐπιδέσι ὡσαύτως· προσάγειν δὲ οὐ βιαίως, ἀλλὰ παρηγορικῶς· προσράπτειν δὲ τὰ ὀθόνια, ὅκως ἂν ξυμφέρῃ τὰς ἀναλήψιας ποιέεσθαι, [8]ἄλλα γὰρ ἄλλης τῶν χωλωμάτων δέεται ἀναλήψιος. Ὑποδημάτιον δὲ ποιέεσθαι μολίβδινον, ἔξωθεν τῆς ἐπιδέσιος ἐπιδεδεμένον, οἷον αἱ Χῖαι [9]κρηπῖδες ῥυθμὸν ἔχον· ἀλλ' οὐδὲν αὐτοῦ δεῖ, ἤν τις ὀρθῶς μὲν τῇσι χερσὶ

vero una cum pollice interiorem in partem repente inclinentur atque hunc in modum cogantur. Adhibito autem cerato quod copiosam resinam recipiat et spleniis et fasciis mollibus, neque paucis, neque admodum appressis deligatio instituenda, neque aliter fasciae circumducendae quam pes per manus componebatur, quo pes paulo magis ad valgum spectare videatur. Tum solea quaedam ex corio non admodum duro, aut plumbo paranda, eaque non ad cutem posita alliganda, sed cum iam postremas fascias appositurus es. Ubi iam devinctus fuerit, unius cuiusdam lintei, ex quibus deligatio constat, caput ad fascias quae in inferiore parte pedis exsistunt, e regione parvi digiti, assuendum, deinde sursum intendendum ut dum moderate habere videatur, supra carnosam tibiae partem posteriorem prominentem circumducatur, atque ita intentum firmiter haereat. Ad summum quasi quis ceram fingat, ea ad iustam naturam adducenda, ut et quae inclinant et quae praeter naturam distenduntur, manibus nec non deligatione in naturalem statum reponantur, neque magna vi, sed leniter cogantur. Ita vero fasciae assuendae, ut quemadmodum opus est membrum excipiatur. Nam aliae claudicationes alium excipiendi modum postulant. Tum calceus plumbeus parandus, supra vinculum inducendus eo modulo qualem Chiae crepulae habent. Verum neque eo opus est, si quis recte manibus componat, tum rectam fasciarum deligationem adhibeat, tum recte excipiat. Atque haec quidem curatio, quae neque sectionem, neque ustionem, neque aliam

[1] ἐκκλίνειν. — [2] χρή om. — [3] ἐπιδέειν. — [4] τινός om. — [5] κατατεταμένον. — [6] τὴν δικαίην om. — [7] καὶ — τὴν φύσιν om. — [8] ἀλλὰ γάρ. — [9] κρηπῖδες om.

τὸ ἔσωθεν μέρος M., τὸ εἴσωθεν ἐς C. E. H. K., Marc., εἰς τὸ εἴσωθεν μέρος B. N.; — τὸ κατὰ τὴν ἴξιν Parr. 6., Marc., Littr., κατ' αὐτὴν τὴν ἴξιν vulg. — Dein ὠθέειν δὲ ἐς τὸ ἔσω μέρος pro ὅκως ἀλλήλων ἀπαντήσῃ nonnulli Parr. et Marc.; — ἀπαντήσει Foës. Choëtii; — κατὰ μέσον δέ vulg., τέ pro δέ B. C. M. N., Littr.; — τ' αὖ Parr. 11., Marc., δ' αὖ vulg.; — ἐκκλίνειν Parr. 10., Marc.; — ἐρητιν. B. M. N.; — ἢ τοῦ ποδός Marc., C., ἦν τ. π. J.; — ὀλίγῳ Parr. 6., Marc., Littr., ὀλίγον vulg.; — βλαισόν M. N., Littr., βλαισσόν vulg., βλεσσόν nonnulli Parr. et Marc.

ἴχνος — οὕτως.] χρή Parr. 7., Marc., Littr., vulgo om.; — μολυβδίνου vulg., μολυβδίου C. H., μολιβδίνου E. J., μολύβδινον Littr.; — δ' ἤδη C. E. H. K.; — ἑνός solum sine τινος Parr. 9., Marc.; — οἷσιν δ' ἐπιδέεται C.; — προσάψαι H., et N., sed mutatum in προσράψαι; — τείναντα M. N.; — ἂν E. M. N., Littr., ἦν vulg.; — κατατεταγμένον vulg., κατατεταμένον Parr. 13., Marc., Voss., Lind.

ἁπλῷ — ἀναλήψιος.] παρὰ τῆς φύσεως C.; — προσάπτειν M.; — ξυμφέρει B. M. N., ξυμφέρῃ vulg.; — ἀναλήψιος omm. F. G. J.

ὑποδημάτιον — ποιέηται.] ποιέειν C. E. H. K., N., in

διορθώσῃ, ὀρθῶς δὲ τοῖσι ὀθονίοισι ἐπιδέῃ, ὀρθῶς δὲ καὶ τὰς ἀναλήψιας ποιέηται. Ἡ μὲν οὖν ἴησις αὕτη, καὶ οὔτε τομῆς, οὔτε καύσιος οὐδὲν δεῖ, οὔτ' ἄλλης ποικιλίης· θᾶσσον γὰρ ἐνακούει τὰ τοιαῦτα τῆς ἰητρείης ἢ ὡς ἄν τις οἴοιτο. Προσνικᾶν μέντοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ τὸ σῶμα ἐν τοῖσι δικαίοισι σχήμασι. Ὅταν δὲ ἐς ὑποδήματος λόγον [1]ἴῃ, ἀρβύλαι ἐπιτηδειόταται αἱ πηλοπατίδες καλεόμεναι· τοῦτο γὰρ ὑποδημάτων ἥκιστα [2]κρατέεται ὑπὸ τοῦ ποδὸς, ἀλλὰ κρατέει μᾶλλον· ἐπιτήδειος δὲ καὶ ὁ Κρητικὸς τρόπος τῶν ὑποδημάτων.

varietatem ullo modo postulat. Ista namque opinione celerius curationi cedunt. Tempore tamen superanda sunt, quoad iusto habitu corpus incrementum acceperit. Cum vero calcei ratio ineunda erit, accommodatissimi erunt calcei *arbylae* dictae, quibus lutum calcatur. Hoc namque calceamenti genus minime a pede superatur, sed ipsum potius continet. Maxime quoque accommodata est Cretensis calceamenti ratio.

ρια'. Ὁκόσοισι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα καὶ ἕλκος ποιήσαντα τελέως ἐξίσχῃ [3]κατὰ τὰ παρὰ τὸν πόδα ἄρθρα, εἴτε ἔσω ῥέψαντα, εἴτε μέντοι καὶ ἔξω, τὰ τοιαῦτα μὴ ἐμβάλλειν, ἀλλ' ἐᾷν τὸν βουλόμενον τῶν ἰητρῶν [4]ἐμβάλλειν. Σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ἀποθανεῖται, [5]ᾧ ἂν ἐμβληθέντα ἐμμείνῃ καὶ ἡ ζωὴ δὲ ὀλιγήμερος τούτοισι γενήσεται· ὀλίγοι [6]γὰρ ἂν αὐτῶν τὰς ἑπτὰ ἡμέρας ὑπερβάλλοιεν· σπασμὸς γὰρ ὁ κτείνων ἐστί· ἀτὰρ καὶ γαγγραινοῦσθαι ἱκνέεται τὴν κνήμην καὶ τὸν πόδα. Ταῦτα βεβαίως εἰδέναι χρὴ οὕτως ἐσόμενα· καὶ οὐκ ἄν μοι [7]δοκέει οὐδὲ ἐλλέβορος ὠφελήσειν αὐθημερόν τε δοθεὶς καὶ [8]αὖθις πινόμενος, ἄγχιστα δὲ, εἴπερ τι τοιοῦτο· οὐ μέντοι [9]γε οὐδὲ τοῦτο [10]δοκέω. Ἢν δὲ μὴ ἐμβληθῇ, μηδ' ἀπ' ἀρχῆς μηδεὶς πειρηθῇ ἐμβάλλειν, περιγίγνονται οἱ πλεῖστοι αὐτῶν. Χρὴ δὲ [11]ἡρμάσθαι

111. At vero quibus tibiae ossa luxata, accedente vulnere, ad commissuram quae est ad pedem penitus eminent, ea sive intro sive extra vergant, minime reponenda sunt, sed sinenda ut qui velit reponat medicus. Id enim manifesto nosse oportet, eos, quibus illa reposita permanserint, interituros paucisque diebus duraturos. Convulsione namque sublati pauci diem septimum superant. Sed et pes et tibia ad gangraenam deveniunt, eaque sic affore certo nosse convenit. Ac neque veratrum eodem die exhibitum iterumque epotum mihi videtur auxilio futurum, maxime tamen, si quid aliud, valere, licet nihil posse opiner. Quod si neque reposita fuerint, neque quis omnino ea reponere tentaverit, plerique supersunt. Tibia vero et pes eo quo aeger velit modo obfirmanda, tantum ne dependeant, neve moveantur. Curatio vero cerato, quod picem habeat, et spleniis vino

[1] εἴῃ. — [2] κρατεῖσαι. — [3] κατά abest. — [4] ἐμβαλλεῖν. — [5] ἐάν sine ᾧ. — [6] γὰρ αὐτῶν. — [7] δοκέῃ οὔτ' ἐλεβ. — [8] αὖ πινόμενος. — [9] γε om. [10] δοκέω. — [11] ἡρμόσθαι.

quo mutatur in ποιέεσθαι, Marc.; — μολιβδίνου C. E. J., per ῡ vulgo; — κρηπῖδες abest in codd. 14. apud Littr., Voss., Marc.; — post ῥυθμόν ferunt τῇσι χερσί Ald., codd. 14. apud Littr., Voss., Marc.; — εἶχον vulgo, ἔχον Ald. codd. 12. apud Littr., Marc., Voss.; — ποιοῖτο K.

ἡ μὲν οὖν — οἴοιτο.] οὔτε plene C. M. N.

ὅταν — ὑποδημάτων.] εἴη vulg., unde ἴῃ dedit Littr. — πηλοπάτιδες vulgo; Gal. in comm. loquitur de lectione πηλοβατίδες et πηλοπατίδες p. 680.

111. ὁκόσοισι — ἐμβάλλειν.] ὁκόσοισι edd. antt., mss. 12. apud Littr., Marc., ὅσοισι vulg.; — τελέως C. E. H., Marc., τελείως vulg.; — κατά Parr. nonnulli, Littr., vulgo abest; — κατά sine τά C.; — pro παρά Q.' κατά fert; — ῥέψαντα recte scriptum etiam Marc.; — τὰ τοιαῦτα οὐ χρὴ ἐμβάλλειν M. N.; — in fine periodi vulgo ἐμβαλεῖν, praesens vero C. H. M. N., Marc., Littr.

σαφέως — πόδα.] ᾧ ἄν mss. 7., Littr., ὧν ἄν Q.', vulgatam e V. notavi; — γίνεται pro γενήσεται B. M. N.; — γὰρ ἄν C. K. Q.', ἄν om. vulg., sed B. M. N. ἄν post ἡμέρας inferunt; — τὰς ἑπτά vulgo, τάς omm. Parr. 7., Marc.; — ὑπερβάλοιεν pauci Parr., Marc.; — τήν ante κνήμην ferunt B., H. al. m., M. N., Littr., vulgo om.

ἢν — αὐτῶν.] δέ om. C.; — μηδέ plene edd. antt., multi codd.; — μηδ' εἰσπειρηθῇ vulgo, quod recte μηδεὶς πειρηθῇ scripsit Littr.; libri scripti plurimi et edd. antt. ferunt μὴ δὲ εἰσπειρηθῇ.

χρὴ δὲ — ἐστι.] μή pro χρή J.; post δέ addit καί C.; — vulgo ἡρμόσθαι, cod. Marc. ὁρμῆσθαι, sed in marg. γεγρ.

μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει, μοῦνον δὲ μὴ [1] ἀπαιωρεόμενα, μηδὲ κινεόμενα ἔστω· [2] ἰητρεύειν δὲ πισσηρῇ καὶ σπλήνεσι οἰνηροῖσι, ὀλίγοισι, μὴ ἄγαν ψυχροῖσι, ψῦχος γὰρ ἐν τοῖσι τοιούτοισι σπασμὸν ἐπικαλέεται· ἐπιτήδεια [3] δὲ καὶ φύλλα σεύτλων, ἢ βηχίου, ἢ ἄλλου τινὸς τῶν τοιούτων ἐν οἴνῳ μελανὶ αὐστηρῷ ἡμίεφθα ἐπιτεθέντα ἐπί τε τὸ ἕλκος, ἐπί τε τὰ περιέχοντα, κηρωτῇ δὲ χλιερῇ ἐπιχρίειν αὐτὸ τὸ ἕλκος· ἢν δὲ ἡ ὥρη χειμερινὴ ἔῃ, καὶ ἔρια ῥυπαρὰ [4] οἴνῳ καὶ ἐλαίῳ καταρραίνοντα χλιεροῖσι ἄνωθεν ἐπιτέγγειν· καταδεῖν δὲ μηδὲν μηδενὶ, μηδὲ περιπλάσσειν· εὖ γὰρ εἰδέναι χρὴ, ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖσι τοιούτοισί ἐστι. Ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῶν ἐναίμων μετεξέτερα, ὅσοισι αὐτῶν ξυμφέρει· ἔρια δὲ ἐπιτιθέντα, οἴνῳ ἐπιτέγγοντα, πουλὺν χρόνον ἐᾶν· τὰ δὲ ὀλιγημερώτατα τῶν ἐναίμων καὶ [5] ὅσα ῥητίνῃ προσκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοισί ἐστι· χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκέων γίγνεται τούτων· πουλὺν γὰρ χρόνον πλαδαρὰ γίγνεται· τινὰς δὲ τούτων ἀγαθὸν ἐπιδέειν. Εἰδέναι μὲν δή που σάφα χρὴ, ὅτι ἀνάγκη τὸν ἄνθρωπον χωλὸν αἰσχρῶς γενέσθαι· καὶ γὰρ ὁ ποὺς ἐπὶ τὸ ἄνω ἀνέσπασται τῶν τοιούτων καὶ τὰ ὀστέα τὰ [6] διολισθόντα ἔξω ἐξέχοντα φαίνεται· οὔτε γὰρ ψιλοῦται τῶν τοιούτων ὀστέων οὐδὲν ὡς ἐπὶ τὸ πουλὺ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται, ἀλλὰ περιωτειλοῦται λεπτῇσι ὠτειλῇσι καὶ ἀσθενέσι καὶ ταῦτα, ἢν ἀτρεμίζωσι

madentibus, paucis, non admodum frigido instituenda. Frigus namque in huiusmodi affectibus convulsionem accersit. Valent quoque betae folia aut tussilaginis aut alius huiusmodi plantae semicocta in vino nigro austero ulceri adiectisque partibus imposita. Ulcus autem ipsum cerato tepido illinendum. Quodsi tempus hibernum sit, lana quoque sordida, vino et oleo tepido madens imponenda ac desuper irriganda. Neque omnino quidquam deligandum aut circumponendum. Probe enim nosse convenit, huiusmodi affectibus appressionem et pondus omnem afferre noxam. Accommodata autem ad ea nonnulla sunt ex medicamentis, quae cruentis vulneribus imponuntur, ea nimirum, quibus convenit ut lana imposita vino madens diutius permaneat. Ex iis vero medicamentis, quae cruentis vulneribus admoventur, quaecumque intra paucos dies solvuntur et quae resinam recipiunt, non aeque ut illa accommodata sunt. Horum enim ulcerum purgatio, cum multo tempore madeant, in longius tempus protrahitur, atque ex iis nonnulli utiliter deligantur. Nosse tamen certo convenit necesse esse hominem turpiter claudicare, cum pes superiorem in partem retrahatur, luxataque ossa extra eminere conspiciuntur. Neque enim ullum ex his ossibus fere, nisi paululum quid, nudatur, neque abscedit, verum tenuibus imbecillisque cicatricibus obducitur, idque si longo tempore quieverint, alioqui periculum est ne aliquod ulcusculum, quod curationem non recipiat, relinquatur. Verum quod ad praesens institutum

[1] ἀπαιρεόμενα. — [2] καὶ ἰητρ. δέ. — [3] δέ om. — [4] ἐν οἴνῳ. — [5] πόσα. — [6] διολισθήσαντα.

καὶ ἡρμόσθαι; noster autem hic usus est eodem verbo, quod in libro de fractis saepius illi restituimus, ἡρμάσθαι, quod revocavi. Porro ἐθέλοι K.; — ἀπαιωρεύμενα vulg., ἀπηωρημένα ex emend. alia manu H., Littr., ἀπαιωρημένα B. M. N., ἀπαιωρεόμενα Marc.; — κεκινευμένα vulg., κινεύμενα B. M. N., Littr., κινεόμενα Parr. 10., Marc.; — καὶ ἰητρεύειν δέ vulg., καί omm. Parr. 6., Marc., Littr.; — ὀλίγοισι omm. B. M. N.; — μὴ δὲ ἄγαν M.; — τεύτλων vulg., σεύτλων φύλλα B. M. N. P.; — ἡμιέφθῳ P. — Tum ἐπιτεθέντα ἰητρεύειν vulgo, ἐπιτιθέντα ἰητρεύειν Parr. 6., Marc., Littr.; verum autem est, quod Littr. in adn. monuit, faciliorem esse lectionem si ἐπιτεθέντα serves, sed ἰητρεύειν abiicias; quin mihi omnino ἰητρεύειν emblema alienum esse videtur, quo illato demum ἐπιτιθέντα scribi coeptum esse. — Porro κηρωτῇ τε M. N.; — ὑποχρίειν C. H. N., Marc.; — ἐν οἴνῳ vulg., ἐν omm. B. M. N., Littr.; — καταδεῖν δὲ μηδὲν (μηδέν omm. C. E. K., Marc.) μηδενὶ (μηδενί omm. Parr. 8), μηδὲ περιπλάσσειν (μηδενί addunt Parr. 10.).

ἐπιτήδεια — ἐπιδέειν.] πρὸς ταῦτα B. M. N. P.; — προσφέρειν pro ξυμφέρει P.; — ἐπιτεθέντα C.; — πουλύν Ionice etiam Marc.; — ὀλιγημερώτερα E., — τούτων γίνεται B. M. N.; — πουλύν C., Marc., Littr., πολύν vulg., — χρηστόν pro ἀγαθόν Parr. 6., Q.', Marc.

εἰδέναι — ἀναλθές.] δέ που Gal.; — ante χωλόν addit χρή M.; — ἐς τὸ ἄνω B. M. N., ἐπὶ τὸ ἄνω vulgo; non praefero illud cum Littréo; — διολισθήσαντα omnes libri, repono διολισθόντα, quia recentior illa aoristi forma nostro

πουλὺν χρόνον· εἰ δὲ μὴ, ἑλκύδριον ἐγκαταλειφθῆναι κίνδυνος ἀναλθές. Ὅμως δὲ περὶ οὗ ὁ λόγος, οὕτω μὲν ἰητρευόμενοι σώζονται, ἐμβληθέντος δὲ τοῦ ἄρθρου καὶ ἐμμείναντος, ἀποθνήσκουσι.

attinet, qui hac ratione quidem curantur servantur. At ubi repositus articulus remanserit, intereunt.

ριβʹ. Ωὑτὸς δὲ λόγος οὗτος, ἢν καὶ [1]τὰ τοῦ πήχεος ὀστέα τὰ παρὰ τὸν καρπὸν τῆς χειρὸς ἕλκος ποιήσαντα ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔσω μέρος τῆς χειρὸς, ἤν τε ἐς τὸ ἔξω. Σάφα γὰρ ἐπίστασθαι χρὴ, ὅτι ἀποθανεῖται ἐν ὀλίγῃσι ἡμέρῃσι τοιούτῳ θανάτῳ, οἵῳπερ [2]καὶ πρόσθεν εἴρηται, ὅτῳ ἂν ἐμβληθέντα τὰ ὀστέα ἐμμείνῃ. Οἷσι δ' ἂν μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβάλλεσθαι, οὗτοι πολὺ πλείονες περιγίγνονται· ἰητρείη δὲ τοιαύτη τοῖσι τοιούτοισι ἐπιτηδείη, οἵηπερ εἴρηται· τὸ δὲ σχῆμα αἰσχρὸν τοῦ χωλώματος ἀνάγκη εἶναι, καὶ τοὺς δακτύλους τῆς χειρὸς ἀσθενέας καὶ ἀχρηΐους· ἢν μὲν γὰρ ἐς τὸ ἔσω μέρος ὀλίσθῃ τὰ ὀστέα, [3]ξυγκάμπτειν οὐ δύνανται τοὺς δακτύλους· ἢν δὲ ἐς τὸ ἔξω μέρος, ἐκτανύειν οὐ δύνανται.

112. Eadem quoque ratio est ubi cubiti ossa ad manus articulum facto vulnere vel interiorem in partem vel exteriorem emineant. Certo enim tenendum est, eum, cui recondita ossa permanserint, supra posito mortis genere intra paucos dies interiturum. Quibus vero neque reposita sunt, neque repositio tentata, eos longe plures superesse. His autem quae dicta est curatio idonea exsistit. Claudicationis quoque habitum deformem manusque digitos imbecillos et inutiles reddi necesse est. Ubi namque interiorem in partem ossa luxantur, digiti inflecti, sin in exteriorem, extendi nequeunt.

ριγʹ. Ὅσοισι δ' ἂν κνήμης ὀστέον, ἕλκος ποιησάμενον παρὰ τὸ γόνυ, ἔξω ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔσω μέρος, ἤν τε ἐς τὸ ἔξω, τούτοισι ἢν μέν τις ἐμβάλῃ, ἔτι ἑτοιμότερος ὁ θάνατός ἐστι ἤπερ τοῖσι ἑτέροισι, καίπερ κἀκείνοισι ἑτοῖμος ἐών. Ἢν δὲ μὴ ἐμβαλὼν ἰητρεύῃς, ἐλπίδες μὲν σωτηρίης οὕτω μόνως εἰσί. Κινδυνωδέστερα δὲ ταῦτα τῶν [4]ἑτέρων γίγνεται, ὅσῳ ἂν ἀνωτέρω καὶ ὅσῳ ἂν [5]ἰσχυρότερα ἔῃ, καὶ ἀπὸ ἰσχυροτέρων ὠλισθήκῃ. Ἢν δὲ τὸ ὀστέον τὸ τοῦ [6]μηροῦ, τὸ πρὸς τοῦ

113. At quibus tibiae os ad genu accedente vulnere vel ad interiorem, vel ad exteriorem partem foras eminet, id si recondatur magis quidem os adhuc praecipitat, quam ceteros, licet etiam his periculum intendatur. Verum si non reposito osse curationem adhibueris, hac sola quidem ratione spes salutis superest. Eo magis autem quam cetera haec periculosa sunt, quo magis versus superiora prolapsa fuerint et quo sint robustiora et a robustioribus. Quodsi os femoris ad genu cum ulcere luxetur, id si re-

[1] τά om. — [2] καί om. — [3] κάμπτειν. — [4] ὀστέων. — [5] ἰσχυρότατα. — [6] μηροῦ πρὸ τοῦ γόνατος.

insueta. Tum ἔξω ἔχοντα Marc.; — πολλὸν χρόνον B. N.; — εἰ δὲ μή Parr. 6., Marc., ἢν δὲ μή vulg.

ὅμως δὲ — ἀποθνήσκουσι.] οἱ ἰητρεύμενοι (sic) vulgo, sed id omm. Parr. 10., Marc., Littr., qui etiam fere omnes ἰητρευόμενοι legunt. Puto duplicem fuisse lectionem, alteram ἰητρευόμενοι sine οἱ, alteram οἱ ἰητρευμένοι.

112. ὡὑτὸς — ἔξω.] ὁ αὐτός vulg., Ionismum dedit Littr. ex Parr. 6., fert ὡὑτός etiam Marc.; — κατά pro καὶ τά C.; — περί ex παρά factum alia manu in H.

σάφα — ἐμμείνῃ.] ὥσπερ πρόσθεν sine καί Gal., Parr. 6.

οἷσι — δύνανται.] πειραθῇ G.; — ἐμβαλέσθαι edd. antt., Gal., F. G.; — ἡ ἐπιτηδείη C., Marc.; — ᾗ περ C.; — κάμπτειν Parr. 6., Gal.; — δύναται vulg. utroque loco, δύνανται Parr. 5., Marc., Littr.

113. ὅσοισι — ἐών.] οἷσι B. M. N.; — ἤν τε ἐς τὸ εἴσω ἤν τε ἐς τὸ ἔξω M. N., vulgo ἤν τε ἐς τὸ ἔξω. ἤν τε ἐς τὸ ἔσω; — ἐμβάλλῃ Parr. nonnulli; — καίπερ καὶ ἐκείνοισι K., Marc.

ἢν δὲ μὴ — εἰσί.] ἐμβληθέν G. L.; — ἰητρεύῃ C. E. H. K., Marc.

κινδυνωδέστερα — ὠλισθήκῃ.] ἑτέρων Littr. e mss. 8., idem fert Marc., vulgatam e V. notavi; — καὶ ὅσῳ ἂν ἀνωτέρω M. N.; — καὶ ὅσα ἂν ἰσχυρ. C.; — ὀλισθήκῃ vulg., ὠλισθήκῃ Littr. cum mss. 7.

ἢν δὲ — σωτηρίης.] πρό pro πρός nonnulli codd.; — καὶ θᾶσσον Parr. 7., Marc., Littr., vulgo καί om.; — ποιέει B. M. N. pro ποιήσει; — tum ἢ τὰ πρ. εἰρημένα iidem; — κινδυνωδέστερον prima m. in N., sed mutatum in ἀκινδυν.

γούνατος ἕλκος ποιησάμενον ἐξολίσθῃ, ἐμβληθὲν μὲν καὶ ἐμμεῖναν ἔτι βιαιότερον [1] καὶ θᾶσσον τὸν θάνατον ποιήσει τῶν πρόσθεν εἰρημένων· μὴ ἐμβληθὲν δὲ, πουλὺ [2] κινδυνωδέστερον ἢ τὸ πρόσθεν· ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης.

positum quidem permanserit, maiore adhuc vi et celerius quam supra dicta hominem praecipitat, non repositum vero multo magis periculosum quam superiora; una tamen haec salutis spes est.

ριδ'. [3] Ὡυτὸς δὲ λόγος καὶ περὶ τῶν κατὰ τὸν ἀγκῶνα ἄρθρων καὶ περὶ τῶν τοῦ πήχεος [4] καὶ βραχίονος· ὅσα γὰρ ἂν τούτων ἐξαρθρήσαντα ἐξίσχῃ ἕλκος ποιησάμενα, πάντα, ἢν ἐμβληθῇ, θάνατον φέρει, μὴ ἐμβληθέντα δὲ, ἐλπίδα σωτηρίης· χώλωσις δὲ ἑτοίμη τοῖσι [5] περιγενομένοισι. Θανατωδέστερα δὲ τοῖσι ἐμβαλλομένοισί ἐστι τὰ ἀνωτέρω τῶν ἄρθρων, ἀτὰρ καὶ τοῖσι [6] μὴ ἐμβαλλομένοισι κινδυνωδέστερα αὐτὰ ταῦτα. Εἰ δέ τινι [7] τὰ ἀνωτέρω ἄρθρα ἐξαρθρήσαντα, ἕλκος ποιήσαντα ἐξίσχοι, ταῦτα [8] ἂν ἔτι καὶ ἐμβαλλόμενα ταχυθανατώτερα εἴη καὶ μὴ ἐμβαλλόμενα [9] κινδυνωδέστερα· ἰητρείη [10] δὲ ἤδη εἴρηται, οἵη τις ἐμοὶ δοκέει ἐπιτηδειοτάτη εἶναι.

114. Eadem est ratio in articulis ad cubiti gibbum et in cubito et in brachio. Ex his enim, ubi luxata cum ulcere eminent, ea omnia, si recondantur, mortem, non reposita, spem salutis afferunt. At iis, qui evadunt, claudicatio parata est. Articuli autem superiores, si recondantur, mortem magis afferunt; sed et iidem non repositi periculum maius habent. At si cui superiores articuli luxati cum ulcere foras emineant, ii cum recondantur mortem magis afferunt, non repositi quoque maiori periculo sunt expositi. Sed et quaenam curatio mihi maxime accommodata esse videatur, iam exposui.

ριε'. Ὅσοισι δὲ ἄρθρα δακτύλων ἢ ποδὸς ἢ χειρὸς, ἐξαρθρήσαντα, ἕλκος ποιήσαντα ἐξέσχε, μὴ κατεηγότος τοῦ ὀστέου, ἀλλὰ κατ' αὐτὴν τὴν ξύμφυσιν ἀποσπασθέντος, τούτοισι [11] ἢν ἐμβληθέντα ἐμμείνῃ, ἔνι μέν τις κίνδυνος σπασμοῦ, ἢν μὴ χρηστῶς ἰητρεύωνται· ὅμως δ' ἐστὶ ἄξιον ἐμβάλλειν, προειπόντα ὅτι φυλακῆς πολλῆς καὶ μελέτης δέεται. Ἐμβάλλειν μέντοι ῥήϊστον καὶ δυνατώτατον καὶ τεχνικώτατόν ἐστι τῷ μοχλίσκῳ, ὥσπερ καὶ πρόσθεν εἴρηται ἐν τοῖσι

115. Iam vero quibus digitorum aut pedis aut manus articuli luxati cute vulnerata excesserint osse non fracto, sed ab ipsa connexione avulso, iis, si repositi permanserint, convulsionis quidem periculum, nisi recta curatio adhibeatur, impendet. Operae pretium tamen est, ubi praedixeris multa cautione et diligentia opus esse, ad repositionem aggredi. Facillima autem maximeque efficax et artificiosa repositio est, quae per vectis molitionem fit, velut supra in ossibus fractis et eminentibus dictum est. De-

[1] καί om. — [2] ἀκινδυνωδέστερον ἢ τὰ πρ. — [3] ὁ αὐτός. — [4] καὶ τοῦ βρ. — [5] περιγινομένοισι. — [6] μή om. — [7] τὰ ἀνώτερα. — [8] δ' ἔτι καί. — [9] κινδυνωδέστερα. — [10] δὲ εἴρηται. — [11] εἰ.

vulgatae; recepi cum Littréo; — ἢ τὰ ἔμπροσθεν F. G. J.; — ἡ ἐλπίς F. G.

114. ὡυτὸς — περιγενομένοισι.] ὡυτός Parr. 7., Marc.,, Littr., ὁ ὡυτός vulg., ὁ αὐτός alii codd.; — τοῦ βραχ. vulg., τοῦ omm. Ald., Parr. 11., Marc., Gal., Littr.; — ὅσα B. M. N., ἃ vulg.; — post χώλωσις δέ Littr. recepit ἑτοίμη ex B. M. N. et H., ubi alia m. legitur; — περιγινομένοισι Parr. 8., Marc.

θανατωδέστερα — ταῦτα.] μή B. M. N., Littr., vulgo om.

εἰ δὲ — εἶναι.] εἰ δέ τινα C.; — ἀνωτέρω vulg., ἀνώτατα Parr. 8., Marc., Littr., ἀνώτερα O. U.; — ἄνω ταῦτα pro ἀν. ἄρθρα C.; — ἐξίσχῃ vulg., ἐξίσχοι Parr. 9., Littr.. ἐξίσχει B. M. N.; — ἂν ἔτι N., Littr., δ' ἂν ἔτι B., δ' ἔτι C. K. M., δέ τι vulg.; — εἴη C. E. H. K., Marc., Littr., ἔῃ vulg., ἂν εἴη B. M. N.; — κινδυνωδέστατα ex B. M. N. Littréus, ego autem hîc servavi vulgatam, supra vero de meo ταχυθανατώτερα scripsi pro superlativo vulgatae; — ἡ ἰητρείη pauci Parr.; — ἤδη omm. C. H., Marc.; — δοκέει Parr. 12., Marc., Littr., δοκέῃ vulg.; — post εἶναι ferunt τῶν τοιούτων Parr. 7., Marc., quod Littr. recepit, mihi vero recens emblema videtur esse.

115. ὅσοισι — δέεται.] οἷσι M. N.; — δ' B.; — ἐξέσχε ἕλκος ποιησάμενα Parr. 7., Marc.; — ἢν ἐμβλ. ἐμμείνῃ Parr. 4., Marc., Littr., εἰ ἐμβλ. ἐμμείνει vulg.; — μέν τις Littr. cum multis mss., idemque ferunt Voss., Marc., μέντοι vulg.; — δέ τι vulg.; δ' ἔτι K., τι omm. B. M. N., δ' ἐστί de meo.

ἐμβάλλειν — προσφέρειν.] ἐστι infertur post δυνατώτατον in B. M. N.; — κατεαγνυμένοισι vulg., κατηγμένοισι B.

καταγνυμένοισι καὶ ἐξίσχουσι ὀστέοισι· ἔπειτα ἀτρεμέειν ὡς μάλιστα χρὴ καὶ κατακεῖσθαι καὶ ὀλιγοσιτέειν· ἄμεινον δὲ καὶ φαρμακεῦσαι ἄνω κούφῳ τινὶ φαρμάκῳ· τὸ δὲ ἕλκος ἰητρεύειν μὲν ἢ [1] *ἐναίμοισι τοῖσι ἐπιτέγκτοισι ἢ οἷσι* [2] *κεφαλῆς ὀστέα κατεηγότα ἰητρεύεται,* [3] *κάρτα ψυχρὸν δὲ μηδὲν προσφέρειν. Ἥκιστα μὲν οὖν τὰ πρῶτα ἄρθρα κινδυνώδεά ἐστι, τὰ δέ τι* [4] *ἀνωτέρω κινδυνωδέστερα. Ἐμβάλλειν δὲ χρὴ αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, τριταίῳ δὲ ἢ τεταρταίῳ ἥκιστα· τεταρταῖα γὰρ ἐόντα ἐπισημαίνει τῇσι παλιγκοτίῃσι μάλιστα. Οἷσι ἂν οὖν μὴ αὐτίκα γένηται ἐμβάλλειν, ὑπερβαίνειν χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας· ὅ τι γὰρ ἂν ἔσω δέκα ἡμερέων* [5] *ἐμβάλλῃς, σπᾶν καταληπτέον. Ἢν δ' ἄρα ἐμβεβλημένῳ σπασμὸς ἐπιγένηται,* [6] *ἐκβάλλειν τὸ ἄρθρον δεῖ ταχὺ καὶ θερμῷ τέγγειν ὡς πλειστάκις* [7] *καὶ τὸ ὅλον σῶμα θερμῶς καὶ λιπαρῶς καὶ μαλθακῶς ἔχειν, καὶ μάλιστα κατὰ τὰ ἄρθρα· κεκάμφθαι δὲ μᾶλλον ἢ ἐκτετάσθαι πᾶν τὸ σῶμα χρή. Προσδέχεσθαι μέντοι κατὰ τοὺς δακτύλους τὰ ἄρθρα τὰ ἐμβαλλόμενα ἀποστατικὰ ἔσεσθαι· τὰ γὰρ πλεῖστα οὕτω γίγνεται, ἢν καὶ ὁτιοῦν φλεγμονῆς ὑπογένηται, ὡς, εἰ μὴ δι' ἀμαθίην τῶν δημοτέων ἐν αἰτίῃ ἔμελλε ὁ ἰητρὸς ἔσεσθαι, οὐδὲν ἂν πάντως οὐδ' ἐμβάλλειν ἔδει. Τὰ μὲν οὖν κατὰ τὰ ἄρθρα ὀστέα ἐξίσχοντα ἐμβαλλόμενα οὕτω κινδυνώδεά ἐστι, ὡς εἴρηται.*

inde quam maxime quiescere convenit ac decumbere modicoque cibo uti. Praestat quoque et levi aliquo medicamento sursum purgare. Ulcus autem aut medicamentis, quae cruentis vulneribus protinus imponuntur et perfusioni sunt idonea, curandum est, aut iis, quae fractis calvariae ossibus subveniunt, nihilque quod valde sit frigidum admovendum. At primi quidem articuli minimum periculo sunt obnoxii; superiores maius periculum habent. Eodem autem vel certe postero die recondendi sunt, tertio aut quarto minime. Quarto enim die recrudescentis mali notae maxime eduntur. Quibus ergo non protinus repositio contigit, hi dies transmittendi sunt. Quidquid enim intra decem dies reconditum fuerit, convulsionem facere existimandum est. Quodsi recondito articulo convulsio accedat, is protinus expellendus est et calida subinde perfundendus totumque corpus tum praecipue circa articulos calide, blande et molliter continendum. Verum inclinatum magis quam intentum totum corpus esse convenit. Exspectandum tamen est ut reconditi digitorum articuli abscedere debeant. Plerumque enim id accidit, si vel levis inflammatio subsit. Adeo ut nisi in imperitiae culpam apud vulgum medicus incurreret, nihil omnino reponi oporteret. Atque ossa quidem ad articulos foras eminentia ubi reconduntur, hunc in modum, velut dictum est, periculum adferunt.

[1] ἐναίμοσι. — [2] ἐν κεφαλῇ. — [3] κατάψυχρον δὲ κάρτα. — [4] ἄνω. — [5] ἐμβάλλῃ σπᾶν καταληπτόν. — [6] ἐμβάλλειν. — [7] καὶ τὸ ὅλον σῶμα χρὴ προσδέχεσθαι μέντοι κατὰ κ. τ. λ. omissis intermediis.

M. N.; — κούφῳ φαρμάκῳ sine τινί C., prima m. in H. N., Marc.; — ἰητρεύειν μέν B. M. N. Littr., μέν om. vulg. Dein vulgo ἐπιτέγκτοισι ἢ πολυοφθάλμοισι, sed ἢ πολυοφθ. omm. mss. 12. apud Littr., Voss., Marc.; Galenum id legisse constat e comm. p. 712., ubi: τῆς βοτάνης δέ, inquit, τῆς πολυοφθάλμου καλουμένης, ἢ τις καὶ βοὸς ὀφθαλμὸς ὀνομάζεται, τῷ φύλλῳ χρῆσθαι κελεύει παραπλησίως ὡς ἔμπροσθεν ἐχρῆτο τῷ τοῦ βηχίου. Mihi tamen insiticium videtur: primum miror ἢ πολυοφθάλμοισι plurale, sed fortasse ἢ πολυοφθάλμῳ scriptum fuit, plurale natum est ex vicina terminatione plurali; verum praeterea miro modo unum medicamen speciatim enumeratur inter duo genera medicaminum: itaque reieci emblema alienum. — Porro ἐν κεφαλῇ vulgo, sed κεφαλῆς B. M. N. Littr.; tandem κατάψυχρον δὲ κάρτα μηδὲν προσφέρειν, sed κατάψυχρον ortum est ex κάρτα ψυχρόν, duplexque fuit lectio, κάρτα ψυχρὸν δὲ μηδέν et ψυχρὸν δὲ κάρτα μηδέν.

ἥκιστα — κινδυνωδέστερα.] δὲ ἔτι ἄνω vulgo, ἀνωτέρω vero B. G. M. N., Littr.; δέ τι de meo scripsi, nam ἔτι incongruum est.

ἐμβάλλειν — μάλιστα.] καὶ τεταρτ. Parr. 7., Marc.

οἷσι ἂν — καταληπτέον.] ἡμερέων δέκα E. H. K.; — ἐμβάλλῃς mss., Littr., ἐμβάλλῃ vulg., ἐμβάλῃ Parr. 5., Marc.; — πᾶν vulg., σπᾶν Parr. 10., Marc., Littr.; quomodo σπᾶν in πᾶν abierit, unusquisque intelligit; — καταληπτέον N. prima manu, Littr., καταληπτόν vulg.

ἢν — χρή.] δὲ ἄρα vulg., δ' ἄρα edd. antt., plurimi codd., ἐκβάλλειν cum mss. 4. Littr., ἐμβ. vulg.; — καὶ τὸ ὅλον σῶμα — ἄρθρα om. Gal.; — τὰ κατὰ τὰ ἄρθρα B. M. N.; — κεκάμφθαι τε μᾶλλον C. E. H. K., Marc., δέ pro τε vulgo.

προσδέχεσθαι — ἔδει.] μέντοι χρή B. M. N., Littr., vulgo χρή om.; — ὑπογένηται ex edd. antt. et codd. revoca-

ρις'. Ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ κατὰ τοὺς δακτύλους ἀποκόπτεται τελείως, ταῦτα ἀσινέα τὰ πλεῖστά ἐστι, εἰ μή τις ἐν αὐτῇ τῇ τρώσι λιποθυμήσας βλαβείη· καὶ ἰητρείη φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων. Ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ κατ' ἄλλην τινὰ ἴξιν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστὶ καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων· καὶ ὅσα κατὰ τοὺς δακτύλους ὀστέα [1] κατεηγότα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον, καὶ ταῦτα ἀσινέα ἐστὶ ἐμβαλλόμενα. Ἀποκόψιες δὲ τέλειαι ὀστέων καὶ κατὰ τὰ ἄρθρα καὶ ἐν ποδὶ καὶ ἐν χειρὶ καὶ ἐν κνήμῃ, τοῖσι παρὰ τὰ σφυρὰ καὶ ἐν πήχεϊ, τοῖσι παρὰ τοὺς καρποὺς, τοῖσι πλείστοισι ἀποκοπτομένοισι ἀσινέα γίγνεται, ὅσα ἂν μὴ αὐτίκα λιποθυμίη ἀνατρέψῃ ἢ τεταρταίοισι ἐοῦσι πυρετὸς ξυνεχὴς ἐπιγένηται.

116. At quaecumque ad digitorum articulos ex toto praeciduntur, ea plerumque sunt innoxia, nisi quis sub ipso vulnere in animi deliquium incurrat, iisque ulceribus quaevis curatio satis erit. Sed et quae non ad articulos, verum ad aliam quamdam ossium rectitudinem praeciduntur, etiam haec innoxia sunt et adhuc ceteris promptiorem sanationem recipiunt. Quae item in digitis ossa fracta cute eminent, non ad articulos, haec etiam innoxie reconduntur. Praecisiones autem ossium ex toto et ad articulos et in pede et manu et in tibia, nonnullis ad malleolos et in cubito; quibusdam ad primam palmae partem, plerumque citra noxam fiunt, si non protinus animi defectus oppresserit, aut quarto die febris assidua accesserit.

ριζ'. [2] Ἀποσφακελίξιες μέντοι σαρκῶν καὶ ἐν τρώμασι αἱμορρόοισι, γενομένων ἀποσφιγξίων ἰσχυρῶν, καὶ ἐν ὀστέων κατήγμασι πιεχθεῖσι μᾶλλόν τι τοῦ καιροῦ καὶ ἐν ἄλλοισι δεσμοῖσι βιαίοισι ἀποληφθέντα ἀποπίπτει πολλοῖσι, καὶ οἱ πολλοὶ περιγίγνονται τῶν τοιούτων καὶ οἷσι μηροῦ μέρος τι ἀποπίπτει καὶ τῶν σαρκῶν καὶ τοῦ ὀστέου καὶ οἷσι βραχίονος· ἧσσον δὲ πήχεός τε καὶ κνήμης ἀποπεσούσης ἔτι εὐφόρως περιγίγνονται. Οἷσι μὲν οὖν καταγέντων τῶν ὀστέων ἀποσφίγξιες αὐτίκα ἐγένοντο καὶ μελασμοὶ, τούτοισι μὲν ταχεῖαι [3] αἱ περιρρήξιες γίγνονται καὶ

117. Carnium tamen siderationes cum in vulneribus sanguinem fundentibus, validis factis constrictionibus, tum in ossium fracturis supra modum pressis et quae aliis devinctionibus vehementibus intercepta sunt multis decidunt et horum plerique supersunt et quibus pars aliqua femoris et brachii tum carnium, tum ossis decidit; ulna vero et tibia decidente minus facile ferunt et supersunt. Quibus igitur fractis ossibus constrictiones et denigrationes confestim accidunt, iis quidem, quum iam antea ossa cesserint, celeres fiunt abruptiones et quae casura sunt, cito decidunt. At quibus integris

[1] κατεαγότα. — [2] ἀποσφακελίξιες αὐτίκα h. l. legitur, nempe cetera ab initio capitis usque ad istud vocabulum omittuntur. — [3] αἱ om.

vit Littr. pro vulgato ἐπιγ.; — denique οὐδὲ ἐμβάλλειν M. N.

116. ὅσα — ἑλκέων.] τά ante ἄρθρα om. E.; — εἰ μή τις Littr. cum mss. 7., idem fert Marc., ἢν μή τις vulg.; — ἡ ἰητρείη J.; — ἀρκέει M. N.

ἀτὰρ — ἐμβαλλόμενα.] τά ante ἄρθρα omm. M. N.; — κατακέντα B. M. N.; — μέν pro μή E.; — κατὰ ἄρθρον M. N.; — ἐμβ. ἐστίν B. M. N.

ἀποκόψιες — ἐπιγένηται.] ὀστέων κατὰ τὰ ἄρθρα G. J.; κατ' ἄρθρα B. M. N.; — ἐν τῇ κνήμῃ M. N.; — περὶ τὰ σφύρα H., sed περί al. m.; — πήχεσι C. et H. al. m.; — τοῖσι κατὰ τοὺς καρπούς vulgo, παρά C. E. H., Littr.

117. ἀποσφακελίξιες — περιγίγνονται.] ἀποσφακελίσιες vulgata, per ξ Parr. 7., Marc.; — eadem in cod. Serv. omittuntur, quae in V.; — ἐν τρώμασιν αἱμορρόοισι γενομένοισι, ἢ ἀποσφίγξεσιν ἰσχυραῖς vulg., sed Littr. de suo ad ductum Mochlici scripsit ἐν τρωμ. αἱμ. γενομένοισιν ἀποσφιγθεῖσιν ἰσχυρῶς; tum dein vulgo: καὶ ἐν ὀστέων κατήγμασι γενομένοισι πιεχθεῖσι, ubi Littr. cum B. M. N. γενομένοισι omittit; recte sane! sed quid sibi vult priore loco γενομένοισι, quum plane sufficiat ἐν τρώμασι αἱμορρόοισι? Nempe illud γενομένοισι non spectat ad antecedens τρώμασι, sed referendum est ad ἀποσφίγξεσι, quod ipsum errore natum est; nam quum auctor dedisset καὶ ἐν τρώμασι αἱμορρόοισι γενομένων ἀποσφιγξίων ἰσχυρῶν, librarii γενομένοισι ἢ ἀποσφίγξεσι ἰσχυραῖς dederunt. Itaque ad eum, quo dixi, modum locum refeci. Dein μᾶλλόν τι B. M. N., vulgo τι om.; — ἀπομελανθέντα B. in marg., H. al. m., M. N.; — ἧσσον ὡς δὲ ἐπὶ πήχεός τε καὶ κνήμης ἀποπεσόντος N.; — καὶ ἔτι εὐφόρως vulg., sed N. εὐφορωτέρως mutatum in vulgatam lectionem; καί ante ἔτι delendum est.

οἷσι μὲν — ὀστέου.] κατεαγέντων vulg., κατεηγέντων F. G., κατηαγὲν τῶν ὀστ. Marc.; — ἀποσφίγξιες vulgo, ἀποσφακελίξιες Parr. 7. et Marc.; — αἱ ante περιρρήξιες

τὰ ἀποπίπτοντα ταχέως ἀποπίπτει, ἤδη τῶν ὀστέων προενδεδωκότων· οἷσι δὲ ὑγιέων ἐόντων τῶν ὀστέων οἱ μελασμοὶ γίγνονται, αἱ μὲν σάρκες ταχέως θνήσκουσι καὶ τούτοισι, τὰ δὲ ὀστέα βραδέως [1] ἀφίσταται, ᾗ ἂν τὰ ὅρια τοῦ μελασμοῦ γένηται καὶ ἡ ψίλωσις τοῦ ὀστέου. Χρὴ δὲ ὅσα ἂν κατωτέρω τῶν ὁρίων τοῦ μελασμοῦ ἔῃ, ταῦτα, ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ ἀναλγέα ἔῃ, ἀφαιρέειν κατὰ τὸ ἄρθρον, προμηθεόμενον ὅκως μὴ [2] τιτρώσκῃς· ἢν γὰρ ὀδυνηθῇ ἀποταμνόμενος καὶ μήπω κυρήσῃ τεθνεὸς ταύτῃ, ᾗ ἀποτέμνεται, κάρτα κίνδυνος ὑπὸ τῆς ὀδύνης λιποθυμῆσαι· αἱ δὲ τοιαῦται λιποθυμίαι πολλοὺς παραχρῆμα ἤδη ἀπώλεσαν. Μηροῦ μὲν [3] οὖν ὀστέον ψιλωθὲν ἐκ τοιούτου τρόπου ὀγδοηκοσταῖον εἶδον ἐγὼ ἀποστάν· ἡ μέντοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοσταίη, ἐδόκεε δέ μοι καὶ ἐγγυτέρω· οὐ γὰρ ἀλλ' ἐπὶ τὸ προμηθέστερον ἔδοξέ μοι τι ποιέειν. Κνήμης δὲ ὀστέα ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην τὴν κνήμην ἐόντα, ἑξηκοσταῖά μοι ἀπέπεσε ὅσα ἐψιλώθη αὐτῶν. Διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη ἰητρείης ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα ψιλούμενα ἀποπίπτειν· διενέγκοι δ' ἄν τι καὶ πίεξις πιέξιος καὶ ἐπὶ τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστερον καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον μελανθέντα ἀποθανεῖν τὰ νεῦρα καὶ τὰς σάρκας καὶ τὰς ἀρτηρίας καὶ τὰς φλέβας· ἐπεὶ ὅσα μὴ ἰσχυρῶς ἀποληφθέντων θνήσκει, ἔνια τῶν τοιούτων οὐκ ἀφικνέεται ἐς ὀστέων ψιλώματα, ἀλλ' ἐπιπολαιότερα ἐκπίπτει· ἔνια δὲ οὐδὲ ἐς νεύρων ψιλώματα

ἐς τὸ ἔμπροσθεν· κλίμακα χρὴ κατορύξαντα ἐπικαθίσαι τὸν ἄνθρωπον, ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα προσδῆσαι, ὅκου ἂν ἁρμόσῃ, ἐκ δὲ τοῦ σιναροῦ ἐς κεράμιον ὕδωρ [1] ἐγχέαντα ἐκκρεμάσαι ἢ ἐς σπυρίδα λίθους [2] ἐμβαλόντα. [3] Ἢν δ' ἐς τὸ ἔσω [4] ὀλίσθῃ, στρωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων, ὕψος ἔχοντα [5] ξύμμετρον· προεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος [6] ὁκόσον πηχυαῖον· περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱμάτιον, ἐπικαθίσαι τὸν ἄνθρωπον ἐπὶ τὸ [7] προέχον τοῦ στρωτῆρος· εἶτα προσλαβεῖν τὸ στῆθος πρὸς τὸν στύλον πλατέῃ ταινίῃ· ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται· ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος, ὅσον ἂν ἁρμόζῃ, ὡς καὶ πρόσθεν [8] ἤδη εἴρηται.

ρκζ'. Πρῶτον μὲν οὖν δεῖ εἰδέναι, ὅτι πάντων τῶν ὀστέων αἱ ξυμβολαί εἰσι ὡς ἐπὶ πουλὺ ἡ κεφαλὴ καὶ ἡ κοτύλη· ἐφ' ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς καὶ ἐπίμακρος· ἔνιαι δὲ τῶν χωρέων γληνοειδέες εἰσί. Ἀεὶ δὲ ἐμβάλλειν δεῖ πάντα τὰ ἐκπίπτοντα ἄρθρα, μάλιστα μὲν παραχρῆμα ἔτι θερμῶν ἐόντων· εἰ δὲ μή, ὡς τάχιστα· καὶ γὰρ τῷ ἐμβάλλοντι ῥηΐτερον καὶ θᾶσσόν ἐστι ἐμβαλέειν, καὶ τῷ ἀσθενέοντι πουλὺ ἀπονωτέρη ἡ ἐμβολή, ἢ πρὶν διοιδεῖν, ἐστι. Δεῖ δὲ ἀεὶ πάντα τὰ ἄρθρα, ὁκόταν μέλλῃς ἐμβάλλειν, προαναμαλάξαι καὶ διακιγκλίσαι· ῥᾷον γὰρ ἐθέλει ἐμβάλλεσθαι. Παρὰ πάσας δὲ τὰς τῶν ἄρ-

lapides fuerint. Quodsi in interiorem partem luxatio acciderit, trabes iusta altitudine inter duas columnas defigatur, cui ab una parte, quae ad cubiti longitudinem exstet, aeger se applicet, obvolutoque pectori stragulo, homo contiguae trabis parti insideat, tum pectore ad columnam lata quadam habena adducto, demum crus integrum ne circumoberret, ab aliquo quidem contineatur, laeso vero pondus, quantum convenire videbitur, ut etiam supra dictum est, appendatur.

127. In primis igitur nosse convenit ossium omnium iuncturas ut plurimum ex capite et acetabulo constare, ac in quibusdam cavum acetabuli formam referre, in nonnullis vero sinus leviter esse depressos. Prolapsi autem omnes articuli maxime quidem protinus, dum adhuc sunt calidi, vel certe quam citissime recondendi. Nam et qui reponit facilius ac citius reponet aegroque longe minorem molestiam affert, si priusquam locus intumuerit, articulus recondatur. Omnes item recondendi articuli ante emolliri et dimoveri debent; sic enim facilius reverti solent. In omnibus autem articulorum repositionibus imperanda abstinentia est, praecipue

[1] ἐγχέαντας. — [2] ἐμβάλλονται. — [3] ἢν δ' ἐς. — [4] ὀλισθῇ. — [5] συμμέτρως. προσεχέτω. — [6] ὁ νοσέων ὁκόσον. — [7] προσεχές. — [8] ἤδη om.

ὀλισθήκῃ B., ὀλισθῇ vulg.; — ἢ καὶ ἐς τὸ ἔμπρ. Dietz. p. 31.; — ἐπικαθίσαι recte scriptum etiam Marc., tum h. l., tum paulo post; — εἶτα τὸ μὲν ὑγιές Dietz.; — ἐγχέαντας vulg., ἐγχέαντα Littr. de suo; — σπυρίδα B. M. N., σφυρίδα vulg., eadem in his ratio, quae in σπόνδυλος et σφόνδυλος; — ἐμβάλλοντας vulg., ἐμβαλόντας Dietz., unde ἐμβαλόντα Littr.

ἢν δ' ἐς — εἴρηται.] Vulgo ἕτερος τρόπος ἐμβολῆς, ἢν ἐς κ. τ. λ., sed Voss. in his ἢν δ' ες, recte! nempe ἕτερος τρόπος ἐμβολῆς inscriptio est, ut sunt multae aliae in codd. in hoc capite, quin hoc loco ipso; itaque programma abegi; — ὀλισθήκῃ B. M. N., ὠλισθήκῃ Littr.; — σύμμετρον B. M. N., Littr., vulg. e V. notavi; — προσεχέτω vulg., emendavit Littr.; — ὁ νοσέων ὁκόσον vulg., ὁ νοσέων om. Dietz., Littr.; — ὁκόσον τὸ πυγαῖον vulg.; Littr. animadvertit Vidum Vidium legisse πηχυαῖον, quod num recipere oporteat, dubitat; ego recepi; — προέχον N., Littr., προσέχον M., Dietz., προσεχέες vulg.; — πλατέϊ τινί ceteri, in quo latere puto id, quod exhibui; — περισφάληται B. C. M. N.; — ὅσον ἂν ἁρμόζῃ C. E. H. et B. M. N. in marg., ὅσον ἁρμόζει vulg.; — ὥσπερ E. H.; — ἤδη B. M. N., Littr., vulgo om.

127. πρῶτον — εἰσί.] ἐπὶ πουλύ Ionice etiam Marc.; — ὑπόμακρος B. M. N.; — χωρέων om. C.

ἀεὶ — ἐστί.] pro δεῖ unus alterque liber δή fert; — sitne in εὐθὺς παραχρῆμα glossa necne εὐθύς, primum dubitavi; sed vide Cobetum in Mnemos. vol. VII. p. 323.; — ἐμβαλεῖν vulgo, ἐμβαλέειν Marc., eiusdemque Ionismi vestigia apparent in paucis Parr.; — πουλύ Ionice etiam Marc.

δεῖ — ἐμβάλλεσθαι.] προσαναμαλάξαι vulg., προαναμαλάξαι ex edd. antt. et mss revocavit Littr.; — διεγκικλίσαι E., διακιγκλ. H., sed mutatum in διεγκιγκλίσαι.

παρὰ — ῥηΐδια.] παρὰ πάσας δέ Parr. 11., Marc., Littr., παρὰ δὲ πάσας vulg.; — τοὺς ἀνθρώπους C. E. H., Marc.

θρων ἐμβολὰς ἰσχναίνειν δεῖ τὸν ἄνθρωπον, μάλιστα μὲν περὶ τὰ μέγιστα ἄρθρα καὶ χαλεπώτατα ἐμβάλλεσθαι, ἥκιστα δὲ περὶ τὰ ἐλάχιστα καὶ ῥηΐδια.

ρκη'. Δακτύλων δὲ ἢν ἐκπέσῃ [1] ἄρθρον τι τῶν τῆς χειρὸς, ἤν τε τὸ πρῶτον, ἤν τε τὸ δεύτερον, ἤν τε τὸ τρίτον, [2] ωὑτὸς καὶ ἴσος τρόπος τῆς ἐμβολῆς· χαλεπώτερα [3] μέντοι αἰεὶ τὰ μέγιστα τῶν ἄρθρων ἐμβάλλειν. Ἐκπίπτει δὲ τέσσαρας τρόπους, ἢ ἄνω, ἢ κάτω, ἢ ἐς τὸ πλάγιον ἑκατέρωθεν, μάλιστα μὲν ἐς τὸ ἄνω, ἥκιστα δὲ ἐς τὰ πλάγια, ἐν τῷ σφόδρα κινέεσθαι. Ἑκατέρωθεν δὲ τῆς χώρης, οὗ ἐκβέβηκε, ὥσπερ ἄμβη ἐστί. Ἢν μὲν οὖν ἐς τὸ ἄνω ἐκπέσῃ, ἢ ἐς τὸ κάτω, διὰ τὸ λειοτέρην εἶναι ταύτην τὴν χώρην ἢ ἐκ τῶν πλαγίων, καὶ ἅμα μικρῆς ἐούσης τῆς ὑπερβάσιος, ἢν μεταστῇ τὸ ἄρθρον, ῥηΐδιόν ἐστι ἐμβάλλειν. Τρόπος δὲ τῆς ἐμβολῆς ὅδε· περιελίξαι τὸν δάκτυλον ἄκρον ἢ ἐπιδέσματί τινι ἢ ἄλλῳ τρόπῳ τοιούτῳ τινὶ, ὅκως, ὁκόταν κατατείνῃς ἄκρου λαβόμενος, μὴ ἀπολισθάνῃ· ὅταν δὲ περιελίξῃς, τὸν μέν τινα διαλαβέσθαι ἄνωθεν τοῦ καρποῦ τῆς χειρὸς, τὸν δὲ τοῦ [4] κατειλημμένου· ἔπειτα κατατείνειν πρὸς ἑωυτὸν ἀμφοτέρους εὖ μάλα, καὶ ἅμα ἀπῶσαι τὸ ἐξεστηκὸς ἄρθρον ἐς τὴν χώρην. Ἢν δὲ ἐς τὰ πλάγια ἐκπέσῃ, τῆς μὲν κατατάσιος [5] ωὑτὸς τρόπος· ὅταν δὲ δὴ δοκέῃ σοι ὑπερβεβηκέναι τὴν γραμμὴν, ἅμα χρὴ κατατείναντα ἀπῶσαι ἐς τὴν χώρην εὐθὺς, ἕτερον δέ τινα ἐκ τοῦ ἑτέρου μέρεος τοῦ δακτύλου φυλάσσειν καὶ ἀνωθέειν, ὅκως μὴ πάλιν ἐκεῖθεν ἀπολίσθῃ. Ἐμβάλλουσι δὲ ἐπιεικέως καὶ αἱ σαῦραι αἱ

quidem ubi maximi sunt et repositu difficillimi articuli, minimum vero ubi minimi et qui facile reconduntur.

128. At vero ubi digitorum articulus exciderit, sive primus, qui ad manum est, sive secundus, sive tertius, eadem et aequalis est reponendi ratio. Maximi tamen articuli aegrius semper restitui solent. Prolabuntur autem quatuor in partes, aut sursum, aut deorsum aut utrinque ad latus, sed sursum maxime, minime in latus, idque dum vehementer moventur. Ex utraque vero parte, in quam excesserunt, velut superciliosa quaedam eminentia in extrema ora labro similis apparet. Si quidem igitur in superiorem aut inferiorem partem exciderit, cum hic locus levior quam qui ad latera sit, simulque prolapsus articulus parum excesserit, facilis repositio est. Reponendi autem ratio haec est: digito extremo vel fascia, vel alia quapiam huiusmodi ratione obvoluto, ne ea parte prehensus, dum intenditur, elabatur, unus quidem manum supra primam iuncturam, alter digiti partem obvolutam prehendat, tum ad sese probe uterque extendat, simulque prolapsum articulum in suam sedem impellere oportet. Quodsi in latus excidit, eadem quidem extendendi ratio adhibetur. Ubi namque lineam tibi excessisse videbitur, simul dum extenditur statim propellendus in locum suum. Alius vero quidam ab altera parte digitum repellat, id observans ne rursum in eam partem elabatur. Idoneam quoque repositionem praestant lacertae vimineae ex palmis contextae, σαῦραι Graecis dictae, ubi in diversa digitum contendendo altera manu

[1] ἄρθρον ἤν τε τὸ πρῶτον τῆς χειρὸς ἤν τε τὸ δ. — [2] ὁ αὐτός. — [3] μὲν ἀεί. — [4] κατειλημμένου. — [5] ὁ αὐτός.

128. δακτύλων — ἐμβάλλειν.] Principio periodi cum Littréo sequor B. C. E. H. M. N., quam lect. fert item Marc.; vulgatam e V. notavi; — ωὑτός C. E. H., Marc., Littr., ὁ αὐτός vulg.; — ὥυτος (s. ὁ αὐτός) καὶ ἴσος vulg., καὶ ἴσος omm. C. H., Marc.; — μέντοι B. M. N., Littr., vulgatam e V. notavi.

ἐκπίπτει — κινέεσθαι.] κατὰ τέσσαρας τρ. vulg., κατά omm. C. H., ubi rest. al. m., Marc.; — ἐκ τοῦ σφόδρα κιν. Q.'

ἑκατέρωθεν — ἐστί.] τε pro δέ B. C. E. H. M. N.; — ἐμβέβηκεν B. et pr. m. in N.

ἢν μὲν — ἐμβάλλειν.] μέν om. pr. m. in E.

τρόπον — χώρην.] ὅδε C. M. N., Littr., ὧδε vulg.; — περιελίξαι Littr. cum Parr. 10., idem fert Marc., περιελίξας vulg.; — ἀμφοτέρους om. pr. m. in E.; — ἄρθρον om. N., sed rest.

ἢν — ἀπολίσθῃ.] ἐκπέσῃ om. C., pr. m. in H., Marc.; — ωὑτός C. E. H. M. N., Marc., Littr., ὁ αὐτός vulg.; — κατατείναντας ceteri, sing. num. de meo dedi; — μέρεος Ionice B. M. N., Littr.

ἐμβάλλουσι — χειρός.] αἱ ante ἐκ τῶν φοιν. om. C.; — τῇ δ' ἑτέρῃ idem. — Non notavit Foës. in Oecon. voce

ἐκ τῶν φοινίκων πλεκόμεναι, ἣν κατατείνῃς ἔνθεν καὶ ἔνθεν τὸν δάκτυλον, λαβόμενος τῇ μὲν ἑτέρῃ τῆς σαύρης τῇ δὲ ἑτέρῃ τοῦ καρποῦ τῆς χειρός. Ὁκόταν δὲ ἐμβάλῃς, ἐπιδεῖν δεῖ ὀθονίοισι ὡς τάχιστα λεπτοτάτοισι, κεκηρωμένοισι κηρωτῇ μήτε λίην μαλακῇ, μήτε λίην σκληρῇ, ἀλλὰ μετρίως ἐχούσῃ· ἡ μὲν γὰρ σκληρὴ ἀφέστηκε ἀπὸ τοῦ δακτύλου, ἡ δὲ ἁπαλὴ καὶ ὑγρὴ διατήκεται καὶ ἀπόλλυται, θερμαινομένου τοῦ δακτύλου· λύειν δὲ ἄρθρον δακτύλου τριταῖον ἢ τεταρταῖον· τὸ δὲ ὅλον [1] *ἢν μὲν φλεγμήνῃ, πυκνότερον λύειν, ἢν δὲ μὴ, ἀραιότερον· κατὰ πάντων δὲ τῶν ἄρθρων ταῦτα λέγω. Καθίσταται δὲ τοῦ δακτύλου τὸ ἄρθρον τεσσαρεσκαιδεκαταῖον. Ὁ αὐτὸς δέ ἐστι θεραπείης τρόπος δακτύλων χειρός τε καὶ ποδός.*

lacertam, altera primam manus iuncturam prehendas. Repositus autem articulus linteis tenuissimis, cerato neque nimis liquido, neque nimis duro, sed mediocri consistentia illitis, quam celerrime deligari debet. Quod enim durum est a digito abscedit, quod liquidum et molle, digiti calore diffluit et evanescit. Digiti autem articulus tertio aut quarto quoque die solvendus, ac, ut in totum dicam, si quidem inflammatio occupavit, crebrius, sin minus, rarius. Atque haec communiter de omnibus articulis dicta sunto. Restituitur autem digiti articulus decimo quarto die. Ac digitorum manus et pedis eadem est curandi ratio.

ρκθʹ. Παρὰ πάσας δὲ τὰς τῶν ἄρθρων ἐμβολὰς δεῖ ἰσχναίνειν καὶ λιμαγχονέειν ἄχρι ἑβδόμης· καὶ εἰ μὲν φλεγμαίνοι, πυκνότερον λύειν, εἰ δὲ μὴ, ἀραιότερον· ἡσυχίην δὲ δεῖ ἔχειν ἀεὶ τὸ πονέον ἄρθρον, καὶ ὡς κάλλιστα ἐσχηματισμένον κέεσθαι.

129. In omni vero articulorum repositione victu tenui et inedia etiam ad septimum diem usque utendum, ac si quidem inflammatio subsit, crebrius, sin minus, rarius resolvendum. Semper autem afflictum articulum quietem agere et quam optimo habitu collocatum esse oportet.

ρλʹ. Γόνυ δὲ εὐηθέστερον ἀγκῶνος [2] *διὰ τὴν εὐστάλειαν καὶ τὴν εὐφυΐην, διὸ καὶ ἐκπίπτει* [3] *καὶ ἐμπίπτει ῥᾷον· ἐκπίπτει δὲ πλειστάκις ἔσω, ἀτὰρ καὶ ἔξω καὶ ὄπισθεν. Ἐμβολαὶ δὲ ἐκ τοῦ ξυγκεκάμφθαι καὶ ἐκλακτίσαι ὀξέως· ἢ ξυνελίξας ταινίης ὄγκον, ἐν τῇ ἰγνύῃ* [4] *θεὶς, ἀμφὶ τοῦτον ἐξαίφνης ἐς ὄκλασιν ἀφιέναι τὸ σῶμα. Δύναται δὲ καὶ κατατεινόμενον μετρίως, ὥσπερ ἀγκὼν,* [5] *ἐμπίπτειν, τὰ*

130. Genu cubiti gibbo ob succinctam et commodam eius naturam benignius est, ideoque facilius excidit et incidit; excidit autem saepissime interiorem in partem, sed et in exteriorem et posteriorem prolabitur. Hoc autem reponit conflexio et subito dein facta excalcitratio, aut si ad convolutum fasciae globum in poplitem immissum ut derepente genibus flexis corpus in suras et talos subsidat, permiseris. Potest quoque

[1] *εἰ μὴ φλ.* — [2] *δὲ διά.* — [3] *καὶ ἐμπίπτει* om. — [4] *καὶ θεὶς ἀμφί.* — [5] *ἐκπίπτειν.*

σαῦραι locum Aristotelis de part. anim. IV. 9. ubi: *ὅσοις δὲ κοτυληδόνες ἐν τοῖς ποσὶ καὶ πλεκτάναι πρόσεισι, δύναμιν ἔχουσι καὶ σύνθεσιν τοιαύτην, οἵανπερ τὰ πλεγμάτια, οἷς οἱ ἰατροὶ οἱ ἀρχαῖοι τοὺς δακτύλους ἐνέβαλλον. κ. τ. λ.*

ὁκόταν — λέγω.] *ἐμβάλλῃς* vulg., *ἐμβάλῃς* Littr.; — *ἣν δὲ ὑγρὴ ἔνι θερμαινομένου τοῦ δακτύλου διατήκεται καὶ ἀπόλλυται* Marc., C. E. H.; — *λύει* N.; — *ἢν μὴ φλεγμ.* K., cf. lect. V.; — *εἰ δὲ μή* C. E. H. K. L. M. N.

ὁ αὐτὸς — ποδός.] *θερ.* ponitur post *ποδός* in Parr. 6. et Marc.; — *χειρὸς δακτύλων* C. H., Marc.; — *τε* omm. C. E. H., Marc.; — *ποδῶν* B. M. N.

129. *παρὰ πάσας — κέεσθαι.*] *καὶ ἄχρι* Gal., Parr. 6., *ἄχρις* E.; — *ἑβδομαίου* B. E. C. H. M. N., Marc.; — *φλεγμαίνει* vulg., *φλεγμαίνοι* Littr. cum Gal., mss. 11.; idem fert Marc.; — *ἢν δὲ μή* vulg.; — *εἰ δὲ μή* Littr., cum mss. 7.; idem ferunt Voss., Marc.; — *μάλιστα* pro *κάλλιστα* C.

130. *γόνυ — ὄπισθεν.*] *εὐηθέστερον* vulg., *εὐανθέστερον* Ald., Gal., Parr. 7., Marc., et B. C. M. in marg. *ἴσως εὐαλθέστερον*, sed quid ab auctore sit datum *εὐηθέστερον*, an *εὐαλθέστερον* non discerno. Tum *ἐστὶ διά* Dietz. p. 47.; — *εὐσταλίην* ceteri; — *καὶ ἐμπίπτει* ex B. M. N. dedit Littr., vulgo om.

ἐμβολαὶ — σῶμα.] *ἐμβολή* J.; — *δὲ καὶ ἐκ* E.; — *ἢ ἐκλακτ.* vulg., dedi *καί* cum Mochl. — *ἰγνύη* Parr. 6.; — *καὶ θείς* vulg., *καθείς* K., *θείς* sine *καί* C. E. H. Marc., Dietz., Littr.; — *τούτου τόν* pro *τοῦτον* C. E. H., Marc.

δύναται — κοινή.] *καὶ ἔνθα* vulg., *ἢ ἔνθα* codd. 7. apud Littr., Voss., Marc.; — *ἢ ἐκλακτ.* vulgo, *καί* cum Mochl. — *ἀτὰρ καὶ ἐκ* E. M. N., Littr., vulgo *καί* om. Mihi additum videtur ob pravam distinctionem.

ὄπισθεν· τὰ δὲ ἔνθα ἢ ἔνθα ἐκ τοῦ ξυγκεκάμφθαι καὶ ἐκλακτίσαι. Ἀτὰρ ἐκ κατατάσιος μετρίης ἡ διόρθωσις ἅπασι κοινή. Ἢν δὲ μὴ ἐμπέσῃ, τοῖσι μὲν ὄπισθεν, ξυγκάμπτειν οὐ δύνανται, ἀτὰρ οὐδὲ τοῖσι ἄλλοισι πάνυ· μινύθει δὲ μηροῦ καὶ κνήμης τοὔμπροσθεν· ἢν δὲ ἐς τὸ ἔσω, βλαισότεροι, μινύθει δὲ τὰ ἔξω· ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον, κατὰ [1]γὰρ τὸ παχύτερον ὀστέον ὀχέει, μινύθει δὲ τὸ ἔσω. Ἐκ γενεῆς δὲ καὶ ἐν αὐξήσι κατὰ λόγον τῶν πρόσθεν.

moderata extensione, non secus ac cubiti gibbus, cum posteriorem in partem prolapsum est, suum in locum reverti. Ubi vero in hanc vel illam partem excidit, conflexione et dein facta excalcitratione reconditur. Sed restitutio, quae fit extensione modica, omnibus communis est. Quodsi non revertit, neque cum posteriorem in partem, neque cum alias in partes excessit, flecti admodum queat. Femoris vero et tibiae pars anterior imminuitur. At quibus interiorem in partem excidit, ii valgi magis evadunt, exterioribus autem partibus imminuuntur. Quibus autem exteriorem in partem excidit, ii vari magis, claudi vero minus efficiuntur. Crassiore autem ossis parte gestantur et interioribus partibus imminuuntur. At quibus a primo ortu aut dum adhuc corpus augetur, luxatio facta est, ii quo modo prius dictum est se habent.

ρλα'. Τὰ *δὲ κατὰ τὰ σφυρὰ, κατατάσιος ἰσχυρῆς δέεται, ἢ τῇσι χερσὶ, ἢ ἄλλοισι τοιούτοισι, κατορθώσιος δὲ ἅμα ἀμφότερα ποιεούσης· κοινὸν δὲ τοῦτο ἅπασι.*

131. Articuli circa malleolos luxati valida intensione, quae per manus, aut alia huiusmodi adhibetur, opus habent, ac directione, quae simul utrumque efficiat. Hoc vero omnibus commune est.

ρλβ'. Τὰ *δὲ ἐν ποδὶ, ὡς [2]καὶ τὰ ἐν χειρί.*

132. At quae in pede accidunt velut ea quae in manu curationem recipiunt.

ρλγ'. Τὰ *δὲ τῆς κνήμης ξυγκοινωνέοντα καὶ ἐκπεσόντα ἐκ γενεῆς, ἢ καὶ ἐν αὐξήσι ἐξαρθρήσαντα, ταὐτὰ ἃ καὶ ἐν χειρί.*

133. Quae vero cum tibia consensionem habent et a primo ortu excidunt, aut etiam dum corpus adhuc augetur luxantur, eandem quam in manu repositionem habent.

ρλδ'. Ὁ*κόσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα καὶ φλέβας ἐκχυμωθῆναι καὶ νεῦρα ἀμφιφλασθῆναι, ὁκόταν γένηται οἷα τὰ δεινὰ, κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρασχεῖν· ῥοιώδη μὲν γὰρ τὰ ὀστέα,*

134. At quibus ex alto desilientibus et in calcem innixis ossa dissident, venae subter cutem offenduntur ac nervi contunduntur, ubi haec gravia facta fuerint, periculum quidem est ne ex sideratione iis per totam vitam negotium exhibeatur. Fluxa si quidem iis ossa

[1] *δέ.* — [2] *κατὰ ἐν τῇ χ.*

ἢν — ἔσω.] *κνήμης ἔμπροσθεν* C., pr. m. in H., Marc.; — in *βλαισότερον* solita in mss. varietas per *ε̄*, per *σσ̄*, cett.; — *κατὰ γάρ* Dietz., Littr., *κατὰ δέ* vulg.; — *παχύτατον* Dietz.

ἐκ γενεῆς — πρόσθεν.] *ἢ ἐν αὐξ.* C. H. M. N., Marc., in H. supra versum *καί*; — *τῶν πρόσθεν* M. et N., in quo *τόν* supra versum.

131. *τὰ — ἅπασι.]* *ἄλλοισι τοῖσι κατορθ.* C. H., in quo mutatur in *τοιούτοισι*, Marc., *τούτοισι* E.; — *κοινῇ* C.; — *πᾶσιν* Dietz.

132. *τὰ δὲ — χειρί.]* *ἐν τῇ χ.* vulg., *ἐν χ.* Parr. 5., Marc., Littr. — Post *χειρί* omnes *ὑγιέες*, quod quomodo quis explicet non video; emblema alienum est.

133. *τὰ — χειρί.]* *καὶ μὴ ἐκπεσόντα* E. H. N., Marc., in E. vero in margine *γεγρ. καὶ ἄνευ τοῦ μή.* — Tum *ἢ ἐν αὐξ.* sine *καί* C. E. H.

134. *ὁκόσοι — κοινωνέοντα.]* *ἐγχυμωθῆναι* Gal., J. M., N.; — *ἀμφιθλασθῆναι* J. M. N., Gal.; — *οἷα τὰ δεινότατα* legitur in Mochlico § 29.; — *ῥοικώδη* E. al. m., ed. Bas.; in Mochl. *ῥοικώδη* legitur, *ῥοώδεα ὀστέα* exponit Erot., quem cf.; — Marc., Voss. vulgatam ferunt.

τὰ δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα. [1]Ἐπεὶ καὶ οἷσι ἂν μάλιστα καταγεῖσι, ἢ ὑπὸ τρώματος ἢ ἐν κνήμῃ, ἢ ἐν μηρῷ, ἢ νεύρων [2]ἀπολυθέντων, ἃ κοινωνέει τούτων, ἢ ἐκ κατακλίσιος ἀμελέος ἐμελάνθη πτέρνη, καὶ τούτοισι τὰ παλιγκοτέοντα [3]ἐκ τῶν τοιούτων. Ἔστι [4]δ' ὅτε καὶ πρὸς τῷ σφακελισμῷ γίγνονται πυρετοὶ ὀξέες, [5]λυγμώδεες, γνώμης ἁπτόμενοι, ταχυθάνατοι [6]καὶ ἔτι φλεβῶν αἱμορρόων [7]πελιώσιες. Σημήϊα δὲ τῶν παλιγκοτησάντων, ἢν τὰ ἐκχυμώματα καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα καὶ ὑπέρυθρα ᾖ· ἢν γὰρ ξὺν σκληρύσματι πελιδνωθῇ, κίνδυνος μελανθῆναι· ἢν δὲ ὑποπέλια ᾖ, ἢ καὶ πέλια καὶ μαλθακὰ καὶ κεχυμένα, ἢ ὑπόχλωρα καὶ μαλθακά, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισι ἀγαθά. [8]Ἴησις, ἢν μὲν ἀπύρετος ἔῃ, ἐλλέβορος· ἢν δὲ μή, [9]μή, ἀλλὰ ποτὸν ὀξύγλυκυ, εἰ δέοι. Ἐπίδεσις, — ἐπιδέειν μὲν πάντα, μᾶλλον δ' ἐφ' οἷσι φλάσματα, ὀθονίοισι πλείοσι καὶ μαλθακωτέροισι· πίεξις ἧσσον· προσπεριβάλλειν δὲ τὰ πλεῖστα τῇ πτέρνῃ. Τὸ σχῆμα, ὥσπερ ἡ ἐπίδεσις, ὡς μὴ ἐς τὴν πτέρνην ἀποπιέζηται. Νάρθηξι δὲ μὴ χρέεσθαι.

evadunt; nervi autem inter se consensionem habent. Quum etiam iis, quibus maxime fracta sunt, sive ex vulnere in tibia, vel in femore, aut nervis dissolutis, qui cum his consensionem habent, aut ex decubitu neglecto calx denigrata fuit, ex talibus mala recrudescere consueverint. Interdum vero ad siderationem accedunt febres acutae, singultuosae, mentem attentantes et quae citissimam mortem afferant, idque cum venarum sanguinem fundentium livoribus. Recrudescentis morbi indicia sunt, ubi sanguis a venis in cutem effusus et quae his vicina sunt, duritiem et ruborem aliquem contraxerunt. Quippe si cum duritie livescunt, ne nigrescant periclitantur. Sin sublivida, aut etiam livida et mollia et diffusa fuerint, aut aliquantulum ex virore pallida et mollia, haec in huiusmodi omnibus bono sunt. Ad horum curationem, si quidem febris absit, veratrum adhibendum, alioqui non, sed in potu mulsa acida, si opus sit. Deligatio haec sit: omnia quidem, maxime vero quibus collisiones accedunt, deliganda pluribus linteis et mollioribus; compressione minore utendum, plurima fasciae parte ad calcem circumiecta. Figuratio sicuti deligatio ea sit, qua ne in calcem expressio fiat. Ferulis autem non utendum.

ρλε'. Οἷσι δ' ἂν ἐκβῇ ὁ πούς ἢ αὐτὸς, ἢ ξὺν τῇ ἐπιφύσι, ἐκπίπτει μὲν μᾶλλον ἐς τὸ ἔσω. Ἢν δὲ μὴ ἐμπέσῃ, λεπτύνεται ἀνὰ

135. At quibus pes solus, aut cum adnato osse excessit, interiorem quidem in partem magis excidit ac nisi recondatur, et coxa et femur

[1] ἔπειτα. — [2] ἀπολισθέντων. — [3] δὲ ἐκ. — [4] δ' ὅτε. — [5] λοιμώδεες. — [6] καὶ ἐν φλεβέων. — [7] πελιώσεσι. — [8] ἡ ἴησις. — [9] μή om.

ἐπεὶ — τοιούτων.] ἐπεί C. E. H., Littr., ἔπειτα vulg., fortasse ex ἐπεί τοι natum; — καὶ ὅσοι ἂν C.; — ἀπὸ τρωμ. E. H., sed mutatum in ὑπὸ τρωμ.; — ἀπολισθέντων pro ἀπολυθέντων haud ita pauci Parr., Marc., e quo μηρῶν ἀπολισθέντων excerptum lego, Ald. Gal.; — δὲ ἐκ τῶν τοιούτων, uti V., edd. antt., mss. nonnulla.

ἔστι — πελιώσιες.] δ' ὅτε cod. Serv., Voss., cett. δ' omm.; — λυγμώδεες in λυμώδεες, λοιμώδεες abiit in multis mss.; — ad ἔτι φλεβῶν adnotant lectt.: ἐμφλεβῶν, ἐν φλέβων et ἐν φλεβῶν; — porro αἱμορροιέων vulg., αἱμορροίων F. J., αἱμορρόων de meo, — πελιώσεσι Parr. 10., Marc., Ald., Gal.

σημήϊα — ἀγαθά.] σημήϊα δὲ τῶν παλιγκοτησάντων. ἢν τὰ ἐκχυμώματα καὶ τὰ μελάσματα καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα καὶ ὑπέρυθρα· ἤν τε ξὺν σκληρύσματι (σκληρύσμασι alii codd.) πελιδνωθῇ, κίνδυνος μελανθῆναι· ἢν δὲ ὑποπέλια ᾖ (ᾖ omm. libri non pauci) ἢ (ἢ omm. C. et pr. m. in E.) καὶ (καί om. K.) μάλα (μάλα πελιά C) (μαλακά pro μάλα M. N.) καὶ ἐκκεχυμωμένα ἢ ὑπόχλωρα καὶ μαλακὰ, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισι ἀγαθά vulgata; equidem locum refeci ad ductum § 29. Mochlici, ubi nonnulla melius descripta habentur.

ἴησις — δέοι.] ἡ ἴησις vulg., ἡ omm. C. H. M. N., Marc., Littr., in H. ἡ rest.; — ἀπύρεκτος nonnulla mss.; — ἐλεβ. C., Ald.; — εἰ δὲ μή C. E. H. N., Marc. — De meo ἐλλέβορος, ceteri ἐλλέβορον.

ἐπίδεσις — πτέρνῃ.] ἐπίδεσις ἄρθρων vulgo, ἐπιδέσιος ἄρθρων M., ego e vulgata ἄρθρων abegi; — ἐπὶ δὲ πάντα ceteri, in quo vestigium deprehendere mihi visus sum eius, quod exhibui; — μᾶλλον τοῖσι φλάσμασι (θλάσμασι C. E. H. M. N., Marc.) vulgata, quam de coniectura mutavi; — μαλακωτέροισι H.

τὸ σχῆμα — ἀποπιέζηται.] τὸ σχῆμα, ὅπερ (ὅπερ om. H., sed rest. al. m.) ἡ (ᾗ Ald., ᾗ Gal., ἡ om. Chart.) ἐπίδεσις ceteri, ego illud ὅπερ in ὥσπερ mutavi de meo.

135. οἷσι — ἔσω.] ὅσοις ἐκβαίνει ὁ πούς E.; — οἷς ἂν ἐκβῇ ὁ πούς H.; — ἐκβῇ omm. Ald., Gal.

ἢν δὲ μὴ — ὀλισθήματος.] τότε omm. C. H., Marc., in

χρόνον τό τε ἰσχίον καὶ ὁ μηρὸς καὶ κνήμης τὸ ἀντίον τοῦ ὀλισθήματος. Ἐμβολὴ [1] δὲ, ὥσπερ καρποῦ, κατάτασις δὲ ἰσχυρή. Ἴησις δὲ νόμος ἄρθρων. Παλιγκοτέει, ἧσσον δὲ καρποῦ, ἢν ἡσυχάσωσι. Δίαιτα μείων ἐλινύουσι. Τὰ δὲ ἐκ γενεῆς ἢ ἐν αὐξήσι, κατὰ λόγον τῶν πρότερον.

et tibiae pars luxationi ex adverso respondens temporis successu extenuatur. Repositio autem quae primae iuncturae manus, contentio vero valida. Curatio vero pro lege articulorum adhibeatur. Quodsi quiescant, minus quam in prima manus iunctura morbus recrudescit. Et quietem agentibus victus ratio tenuior imperanda. Quae vero a primo ortu, aut cum adhuc corpus augetur accidunt, eam, quae supra comprehensa est, tractationem habent.

[1] δὲ καὶ ἄλλη.

H. rest. al. m.; — ὁ ante μηρός omm. C. H., Marc., in H. rest. al. m.; — τοῦ om. J.
ἐμβολὴ — ἰσχυρή.] δὲ καὶ ἄλλη vulg.; καί om. Littr. cum Ald., mss. 11., om. etiam Marc.; equidem otiosum καὶ ἄλλη abegi.
τὰ — πρότερον.] τὸν πρότερον ceteri, cf. finem § 82. cum varr. lect.

ΜΟΧΛΙΚΟΝ.

ΤΑ ΠΛΕΙΣΤΑ ΕΠΙΤΟΜΗ ΕΣΤΙ ΒΙΒΛΙΩΝ ΤΩΝ ΠΕΡΙ ΑΓΜΩΝ ΚΑΙ ΠΕΡΙ ΑΡΘΡΩΝ.

VECTIARIUS.

SUMMATIM EPITOME EST LIBRORUM DE FRACTIS ET DE ARTICULIS.

ΜΟΧΛΙΚΟΝ.

VECTIARIUS.

αʹ. Ῥὶς δὲ καταγεῖσα [1] ἀναπλάσσεσθαι οἵη τε αὐθήμερος. Κὴν μὲν [2] οὖν ὁ χόνδρος, [3] ἐντιθέναι ἄχνην ὀθονίου ἐναποδέοντα λοπῷ Καρχηδονίῳ, [4] ἢ ἄλλῳ, ὃ μὴ ἐρεθιεῖ· τῷ λοπῷ δὲ τὰς παραλλάξιας παρακολλᾶν καὶ ἀναλαμβάνειν. Ταῦτα δὲ ἐπίδεσις [5] κακοποιέει. Ἴησις, ἀλήτῳ ξὺν μάννῃ, ἢ θείῳ ξὺν κηρωτῇ. Αὐτίκα [6] ἀναπλάσσειν ἀνακωχήσας τοῖσι δακτύλοισι [7] ἐσμασάμενος καὶ παραστρέφων καὶ τὸ Καρχηδόνιον. Πωροῖτο δ' ἂν καὶ ἢν ἕλκος ἐνῇ καὶ ἢν ὀστέα ἀπιέναι μέλλῃ, — οὐ γὰρ παλιγκοτώτατα, — οὕτω ποιητέα.

1. Nasus autem confractus eodem die conformari potest. Si quidem igitur cartilago desidit, derasam lintei lanuginem Carthaginiensis corii cortice, aut aliqua alia re, quae non irritet, convolutam in nares immittere oportet. Ad lorum autem deviationes agglutinare eoque illas excipere oportet. Deligatio vero his nocet. Sanatio obtinetur farina cum manna thuris, vel sulphure cum cerato. Statim autem nasus componatur dum sustentatur digitis immissis, dum corium Carthaginiense circumvolvis. Callo autem obducetur etiam, ubi ulcus inest et ossa abscedere exspectandum est; — neque enim recrudescere haec solent. Ita faciendum est.

βʹ. Οὖς καταγὲν μὴ ἐπιδεῖν, μηδὲ καταπλάσσειν· ἢν δέ τι δέῃ, ὡς κουφότατον, ἢ κηρωτῇ καὶ θείῳ κατακολλᾶν. Ὧν δὲ ἔμ-

2. Auri fractae neque vinculum, neque cataplasma adhibendum; sin oporteat, quam levissimum, aut cerato et sulphure agglutinandum.

[1] ἀναπλάσσεται οἷον αὐθωρός. — [2] οὖν om. — [3] ἐκτιθέναι. — [4] ἢ ἐν ἄλλω. — [5] καταποιέει ἴησις ἅμα δὲ τῷ ξυμβαλεῖν τῇ θείῳ. — [6] ἀναπλάσσεις ἔπειτα ἀνακωχίσης. — [7] ἐσμαντευόμενον καὶ παραστρέφοντα.

1. ῥὶς — αὐθήμερος.] κατεαγεῖσα vulg., καταγεῖσα Marc.; — ἀναπλάσσεται J. L., Littr.; — οἷον sine τε Parr. nonnulli, οἵ τε Marc., εἰ οἷόν τε Littr., εἰ de suo addens; — αὐθωρόν vulg., αὐθωρός Voss., αὐθηρόν Marc., in quo latet αὐθήμερον s. αὐθήμερος. Littréus minus recte ἀναπλάσσεται εἰ οἷον τε: nempe locus ductus est e § 85. libri de articulis, cum qua prorsus congruit.

κὴν μὲν — ἀναλαμβάνειν.] τοῦτο κοινόν· ἢν μὲν οὖν Marc.; — ἐντίθεται vulg., ἐντιθῆναι J.; — ἀποδέοντα K.; — ἢ ἐν ἄλλῳ vulg., ἐν om. Marc.; — ὃ μή J. M. N., Littr., ᾧ μή vulg.; — αἱ παραλλάξιες mihi esse videntur deflexiones partium laesarum de situ solito.

ταῦτα — κακοποιέει.] vulgo καταποιέει, sed Marc. γέγραπται καὶ κακοποιέει. Littr. e vulg. κακὰ ποιέει, recte, sed malo tamen Marcianum sequi; cave autem ne ταῦτα subiectum esse credas; est obiectum.

ἴησις — κηρωτῇ.] ἴησις ἄλλη (ἄλλη om. D., ubi rest. al. m., G. H. J. U.) ἅμα δὲ τῷ ξυμβαλεῖν (ξυμμάννῃ H.) ἢ (τῇ pro ἢ B. D., et ἢ supra versum al. m., F. G. I. J. K. M. N. U.) θείῳ ξὺν κηρωτῇ vulg.; — ἴησις ἄλλη τῶι ξυμμάννηι ἢ θείωι ξὺν κηρωτῆι Marc. — Textum recte descripsit Littr.

αὐτίκα — Καρχηδόνιον.] ἀναπλάσσεις Ald., Parr. 9., Marc., ἀναπλάσεις H., Littr., ἀναπλάσσειν vulg.; — post ἀναπλάσσειν vulgo ἔπειτα, quod insiticium est, ita ut reiiciam; — ἀνακωχίσης L., ἀνακωχήσας Parr. 4., ἀνακωχήσεις alii 6., Littr., Marc., ἀνακοχήσας Ald., ἀνακογχύζειν vulg.; — ἐσμαντευόμενον Ald., Parr. 7., ἐσματτευόμενον vulg., ἐσματτευόμενος Littr., ἐσμασάμενος de meo dedi; — παραστρέφοντα vulg., παραστρέφων Littr.

πωροῖτο — ποιητέα.] πώροιτο δ' ἂν Marc., unde δ' recepi, quod ceteri non habent; — pro παλιγκοτώτατα Littr. fortasse παλίγκοτα ταῦτα legendum esse opinatur. Miro modo extremo capitulo adhaeret illud οὕτω ποιητέα, pro quo saltem malim οὕτω ποιητέον.

2. οὖς — κατακολλᾶν.] Cf. de articulis § 88.; — κουφότατον H. al. m., Marc., Lind., Littr., κυφότατον vulg. Ceteri ἡ κηρωτή· καὶ θείῳ perinepte; ἢ κηρωτῇ καὶ θείῳ legendum esse docent verba § 1. ἢ θείῳ ξὺν κηρωτῇ. — Littréus monet collato loco e lib. de artic. se fere σταιτί pro θείῳ legere velle. Equidem proxime ad mss. lectionem locum restituere studui. — Tum κατακολλᾶν edd. antt., Parr. 9., Marc., Littr., παρακολλᾶν vulg.

ὧν δὲ — πλέα.] δ' ἔμπυα Marc.; — τῷ ὦτε (sic) J.,

πυα τὰ ὦτα, διὰ παχέος εὑρίσκεται· πάντα δὲ τὰ ὑπόμυξα καὶ τὰ [1]ὑγρῇ σαρκὶ πλήρεα [2]ἐξαπατᾷ· οὐ μὴν βλάβη στομωθὲν τὸ τοιοῦτον· ἐστὶ γὰρ ἄσαρκα καὶ ὑδατώδεα, μύξης πλέα· ὅκου δὲ καὶ οἷα ἐόντα θανατώδεα ἐστι * παρεθέντα. [3]Ὤτων καῦσις πέρην τάχιστα ὑγιάζει· κυλλὸν δὲ καὶ μεῖον γίγνεται τὸ οὖς ἢν πέρην καυθῇ. Ἢν δὲ στομωθῇ κούφῳ ἐναίμῳ [4]δεήσει χρῆσθαι.

At quibus aures ad suppurationem tendunt, iis pus sub crassiore parte reperitur. Omnia vero quaecumque submucosa et humida carne plena sunt, in errorem inducunt. Neque tamen metuendum ne ex talium sectione detrimentum accipiatur; non enim habent carnem et humore plena sunt. . . . . Aures cito sanescunt, si in utramque partem ferramentum candens adigatur; mutila tamen et minor candenti ferro praeter traiecta auris redditur. Quodsi aperta fuerit, levi aliquo medicamento, quod cruentis vulneribus adhibetur, imposito opus erit.

γ'. Γνάθοι δὲ κατασπῶνται μὲν πολλάκις καὶ καθίστανται· ἐκπίπτουσι δὲ ὀλιγάκις, μάλιστα [5]δὲ χασμωμένοισι· οὐ γὰρ ἐκπίπτει, εἰ μή τις χανὼν [6]μέγα παραγάγοι· ἐκπίπτει δὲ μᾶλλον, [7]ὅτι τὰ νεῦρα ἐν πλαγίῳ καὶ λελυγισμένα [8]ξυνδιδοῖ. Σημεῖα· προέχει ἡ κάτω γνάθος καὶ παρέστραπται τἀναντία τοῦ ἐκπτώματος· ξυμβάλλειν οὐ δύνανται· ἢν δ' ἀμφότεραι, προΐσχουσι μᾶλλον, ξυμβάλλουσι ἧσσον, ἀστραβέες· δηλοῖ δὲ τὰ ὅρια τῶν ὀδόντων τὰ ἄνω τοῖσι κάτω κατ' ἴξιν. Ἢν οὖν ἀμφότεραι ἐκπεσοῦσαι μὴ αὐτίκα ἐμπέσωσι, θνήσκουσι δεκαταῖοι οὗτοι μάλιστα πυρετῷ ξυνεχέϊ, νωθρῇ τε καρῶσι· οἱ γὰρ μύες οὗτοι, τοιοῦτοι· γαστὴρ ἐπιταράσσεται ὀλίγα ἄκρητα· καὶ ἢν ἐμέωσι, τοιαῦτα ἐμέουσι. Ἡ δ' ἑτέρη, [9]ἀσινεστέρη. Ἐμβολὴ δὲ ἡ αὐτὴ ἀμφοτέρων· κατακειμένου ἢ καθημένου τῆς κεφαλῆς ἐχόμε-

3. Maxillae autem frequenter quidem deorsum trahuntur et restituuntur, raro vero excidunt, maxime quidem hiantibus. Neque enim excidit maxilla, nisi quis vehementer ore aperto eam in alteram partem torqueat. Idque magis accidit, quod nervi in obliquo positi ubi contorquentur concedunt. Cuius rei hae notae sunt: maxilla inferior in anteriorem partem prominet et in alteram luxationis partem pervertitur, aegri maxillas committere nequeunt. Quodsi utraque parte maxilla prolabatur, prominet magis, os minus committunt, minime distorquentur, quod dentium fines indicant, cum inferiores superioribus ex adverso respondeant. Utraque igitur maxillae parte prolapsa, nisi statim reposita fuerit, intra decimum diem fere ex febre assidua et segni sopore moriuntur. Hi enim musculi eiusmodi soporem inferunt, alvus paucis et sinceris conturbatur et si vomitus

[1] τῇ ὑγρῇ. — [2] ἐξ ἀπαταί. — [3] ὦτα καὶ σης. — [4] δεήση. — [5] μέν. — [6] ἔσται μέγα ἐκπίπτει. — [7] ἐπὶ (i. e. ἐπεὶ) τὰ νεῦρα. — [8] τοῦ συνδιδοῦς σημεῖα παρέχει. — [9] ἀσινεστέρη abest; non interpungitur.

τὰ ὦτα om. Marc.; — τά ante ὑγρῇ H., Marc. praebuerunt; — ἐξαπαταίου μὴ βλάβη γένηται vulg., sed Marc. γένηται om.; Littr. ἐξαπατᾷ, οὐ μὴ βλάβη dedit; verum si conferas locum e lib. de artt., patet οὐ μήν esse legendum et Marcianum recte γένηται omittere. At quae sequuntur ὅκου δὲ καὶ οἷα ἐόντα θανατώδεά ἐστι παρεθέντα (παρεῖται Marc.) respondent verbis e lib. l.: ὅσα δὲ ὑδατώδεα χωρία — ἐν ἄλλῳ λόγῳ γεγράψεται. Itaque nostra corrupta esse constat. Dederitne fortasse epitomes auctor ὅκου δὲ καὶ οἷα ἐόντα θανατώδεά ἐστι στομωθέντα παρατεθήσεται? An vero desideravit locum, quem respicit auctor libri de artic., et quem non reperimus in isto opere, adeo ut παρεῖται sit legendum cum Marciano? — τοιοῦτο Parr. 4., Marc.

ὤτων — καυθῇ.] Pro ὤτων Parr. 3. ὦτα.

3. γνάθοι — ξυνδιδοῖ.] Observat Littr. κατασπᾶσθαι h. l. dici, quod σχᾶσθαι § 78. libri de artic.; — vulg. ἢν μήτις, sed εἰ μή τις Marc.; — παρανάγοι vulg., παρανάγῃ Littr., παραγάγῃ H., παραγάγοι Marc.; non scriptum fuisse παρανάγοι docet locus similis libri περὶ ἄρθρων.

σημεῖα — κατ' ἴξιν.] σημεῖα παρέχει vulg., σημεῖα· προέχει coniecit Foës., dedit Littr., praebet cod. Marc.; — καὶ εἰ παρεστρ. B. M. N.; — προσίσχωσι vulg., προΐσχωσι Ald. Parr. 10., προΐσχουσι Foës., Littr.

ἢν οὖν — ἐμέουσι.] ξυνεχεῖ per ξ̄ K., Marc.; — τε post νωθρῇ non habet Marc.; — καὶ ἢν ἐμέσωσι G.; — τὰ τοιαῦτα vulg., sed τά omm. H. L. U., Marc., Littr.

ἐμβολὴ — στόμα.] καθημένου τοῦ ἀνθρώπου vulg., τοῦ

νον, περιλαβόντα [1] τὰς γνάθους [2] ἀμφοτέρας ἀμφοτέρῃσι χερσὶ ἔσωθεν καὶ ἔξωθεν, τρία ἅμα ποιῆσαι· ὦσαι [3] ἐς ὀρθὸν, καὶ ἐς τοὐπίσω, καὶ ξυσχεῖν τὸ στόμα. Ἴησις μαλάγμασι καὶ σχήμασι καὶ ἀναλήψι γενείου ποιοῦσι ταὐτὰ τῇ ἐμβολῇ.

adfuerit, eiusmodi vomitione refundunt. At si altera parte maxilla excidat, minor est noxa, eadem tamen utrorumque est repositio. Homine decumbente aut in sedili collocato, capite prehenso utramque maxillae partem ambabus manibus tum interiore tum exteriore parte apprehendere ac tria simul facere oportet, in directum atque in posteriorem partem propellere et os claudere. Curatio per malagmata, figurationes, et menti exceptionem, quae idem quod repositio efficiant, perficitur.

δ'. Ὦμος δὲ ἐκπίπτει κάτω. Ἄλλῃ δὲ οὔπω ἤκουσα. Δοκέει [4] μὲν γὰρ ἐς [5] τοὔμπροσθεν ἐκπίπτειν, ὧν αἱ σάρκες αἱ περὶ τὸ ἄρθρον μεμινυθήκασι διὰ τὴν φθίσιν, οἷον καὶ τοῖσι βουσὶ χειμῶνος γίγνεται διὰ λεπτότητα. Καὶ ἐκπίπτει μᾶλλον τοῖσι λεπτοῖσι ἢ ἰσχνοῖσι ἢ ξηροῖσι καὶ τοῖσι ὑγράσματα περὶ τὰ ἄρθρα ἔχουσι ἄνευ φλεγμονῆς· αὕτη γὰρ ξυνδεῖ. Οἱ δὲ καὶ βουσὶ ἐμβάλλοντες καὶ [6] ἀποπερονῶντες ἐξαμαρτάνουσι καὶ διὰ τὴν χρῆσιν, ὅτι ὡς χρῆται βοῦς σκέλεϊ, λήθει, καὶ ὅτι κοινὸν καὶ ἀνθρώπῳ οὕτως ἔχοντι τὸ σχῆμα τοῦτο, τό τε Ὁμήρειον καὶ διότι λεπτότατοι βόες τηνικαῦτα. Ὅσα τε τὸν πῆχυν πλάγιον ἀπὸ πλευρέων ἄραντες δρῶσι, οὐ πάνυ δύνανται δρᾶν, οἷσι ἂν μὴ ἐμπέσῃ. Οἷσι μὲν οὖν ἐκπίπτει μάλιστα καὶ ὡς ἔχουσι εἴρηται. Οἷσι δὲ ἐκ γενεῆς, τὰ ἐγγύτατα μᾶλλον [7] βραχύνεται ὀστέα, οἷον οἱ γαλιάγκωνες· πῆχυς δὲ ἧσσον, χεὶρ δὲ ἔτι ἧσσον, τὰ δ' ἄνωθεν οὐδέν. Καὶ ἀσαρκότατα τὰ ἐγγύς· μινύθει δὲ μάλιστα τὰ ἐναντία τῶν ὀλι-

4. At vero humerus inferiorem in partem excidit, aliam in partem excidere non audivi. Videtur si quidem in anteriorem partem excidere, quibus carnes, quae circa articulum sunt, tabe extenuatae fuerint, quale quid etiam in bobus per hiemem ob macilentiam fit. Et vero magis excidit in attenuatis . . . . iisque, quibus humores circa articulos citra inflammationem continentur; ipsa enim (inflammatio) colligat (articulos.) Quin qui boves curant et fibula subnectunt, errant, tum quia eos latet quemadmodum bos crus ad usum iactet, tum quia etiam homini ita constituto hic habitus communis est, quibus quoque accedit Homeri auctoritas, quod boves tunc maxime graciles exsistunt. At quibus humerus recondi non potuit, si quae cubito in latus a costis sublato fiunt, non admodum praestare possunt. Quibus igitur potissimum excidat et quomodo se habeant, dictum est. Quibus vero a primo natali die illa accidunt, iis ossa potius, quae ad luxationem proxime accedunt, brevia fiunt,

[1] τούς. — [2] ἀμφοτέρας om. — [3] δὲ ὀρθόν. — [4] μέν om. — [5] τὸ 'έμπρ. — [6] ἀποπερωνῶντες. — [7] βραχύτεραι.

ἀνθρ. omm. J., Marc.; — ἔσωθεν καί om. K., nempe hoc nimis ruditer fieri illi visum est; — τρίαμμα vulg., emendavit Foës.; — δὲ ἐς vulg., δέ omm. Parr. plures, Littr., Marc. — Vulgo τὸ σῶμα, sed τὸ στόμα H. al. m., Marc., Littr.

4. δοκέει — λεπτότητα.] μέν omm. Parr. 7.; — διὰ τὴν φύσιν vulg., φθίσιν coniecit Foës., dedit Littr., vid. § 49. libri de Articulis non longe ab initio. — Marc. καὶ βουσί sine τοῖσι. Cett. φαίνεται; de meo γίνεται scripsi.

καὶ ἐκπίπτει — ξυνδεῖ.] τοῖσι δὲ λεπτοῖσι ceteri; otiosum δέ omitto. Littr. ἢ ξηροῖσι uncinis intersepsit abundare opinatus. Non certo constat: quod Littréus affirmat „cette phrase semble irregulière," plane concedo. Nulla apta antithesis est; non liquet num ἢ *quam*, an vero *vel* significare debeat. Quin si conferas locum e lib. de Artic. § 56., nescis quid noster voluerit. Fieri posse credo ut et ἢ ἰσχνοισι et ἢ ξηροῖσι eximendum sit, sed certo nihil affirmo. Vulgo αὐτὴ γάρ, sed αὕτη γάρ optime H. L. U.; — de ξυνδέει vide adn. seq.

οἱ δὲ καὶ βουσὶν — τηνικαῦτα.] συνδίοι δὲ καὶ βουσίν vulg., συνδίοιδε καὶ βουσίν edd, antt., Parr. 9., Lind.; emendavit Littr., quem sequor. Vulgo καὶ ὅτι διὰ τὴν χρῆσιν; de coniectura ὅτι in aliam sedem transtuli. Vulgo ὁμήριον, Parr. 7. Littr.: ὁμήρειον. Cf. de Articulis § 56.

οἷσι δὲ ἐκ γενεῆς — οὐδέν.] βαρύνεται pro βραχύνεται D. Q.'; — οἷον ἐν τούτῳ οἱ γαλιαγκ. vulgo, sed otiosum ἐν τούτῳ abigo; — οὐδέν Ald., Parr. 7., Marc.

καὶ ἀσαρκότατα — γενεῆς.] ἀσαρκότατα Parr. 4., Marc.,

σθημάτων καὶ τὰ ἐν αὐξῆσι, ἧσσον δέ τινι τῶν ἐκ γενεῆς. Καὶ *τὰ παραπυήματα τὰ κατ' ἄρθρον βαθέα νεογενέσι μάλιστα παρ' ὦμον γίγνεται καὶ τούτοισι ὥσπερ τὰ ἐξαρθρήσαντα ποιέει.* Ἢν *δὲ ηὐξημένοισι, τὰ μὲν ὀστέα οὐ μειοῦται, * οὐδὲ γὰρ ἔχει* [1] *οἷ ἄλλα οὖ ξυναύξεται ὁμοίως· αἱ δὲ μινυθήσιες τῶν σαρκῶν· τοῦτο γὰρ καθ' ἡμέρην* [2] *καὶ αὔξεται καὶ μειοῦται καὶ καθ' ἡλικίας.* * Καὶ *ἃ δύναται σχήματα καὶ αὖ σημεῖον τὸ παρὰ τὸ ἀκρώμιον κατεσπασμένον καὶ κοῖλον, διότι, ὅταν τὸ ἀκρώμιον ἀποσπασθῇ καὶ κοῖλον ᾖ, οἴονται τὸν βραχίονα ἐκπεπτωκέναι.* Κε*φαλὴ δὲ τοῦ βραχίονος ἐν τῇ μασχάλῃ φαίνεται· αἴρειν οὐ δύνανται, οὐδὲ παράγειν ἔνθα* [3] *καὶ ἔνθα ὁμοίως· ὁ ἕτερος ὦμος μηνύει.* Ἐμ*βολαὶ δέ· αὐτὸς μέν, τὴν πυγμὴν ὑπὸ μασχάλην ὑποθείς, τὴν κεφαλὴν ἀνωθέειν, τὴν δὲ χεῖρα ἐπιπαράγειν ἐπὶ τὸ στῆθος· — ἢ ἐς τοὐπίσω περιαναγκάσαι, ὡς ἀμφισφαλῇ.* Ἄλλη· *κεφαλῇ μὲν* [4] *πρὸς τὸ ἀκρώμιον, χερσὶ δὲ ὑπὸ μασχάλην, κεφαλὴν* [5] *ἀπάγειν βραχίονος, γούνασι δὲ ἀγκῶνα ἀπωθέειν, ἢ ἀντὶ τῶν γουνάτων τὸν ἀγκῶνα τὸν ἕτερον* [6] *παράγειν, ὡς τὸ πρότερον.* Ἢ *κατ' ὦμον ἵζεσθαι ὑποθεὶς τῇ μασχάλῃ τὸν ὦμον· ἢ τῇ πτέρνῃ, ἐνθέντα ἐκπλήρωμα τῇ μασχάλῃ δεξιῇ δεξιόν· ἢ περὶ ὕπερον· ἢ περὶ κλιμακτῆρα·* [7] *ἡ περίοδος ξὺν τῷ ξύλῳ τῷ ὑπὸ*

quale quid tunc iis, qui mustelae cubito praediti sunt, usu venit, quod cubito minus, adhuc autem minus manui accidere solet; quae vero supra sunt, nihil tale sentiunt. Et maxime carne destituuntur quae proxime absunt; emaciantur autem plurimum quae altera luxationis parte sunt, et quae incrementum accipiunt, minus tamen quodammodo quam quae talia sunt ab ortu. Quin et profundae suppurationes circa iuncturam recens natis praecipue ad humerum fiunt, iisque non secus ac luxata efficiunt. Quodsi in incremento corporis ista accidant, ossa quidem non minuuntur, — quod neque fieri possit, — sed neque, ut solebant, cum reliquis partibus excrescunt. At carnium imminutiones fiunt, quod hae in dies et augeantur et minuantur, et per aetates . . . . . . indicio est id quod ad summum humerum est avulsum et cavum, propterea quod summo humero avulso et cavo brachium prolapsum esse existimant. Brachii autem caput in ala cernitur; neque attollere ipsum queunt, neque huc vel illuc traducere. Quod similiter ex altero humero deprehenditur. His autem modis reponitur: si pugno quidem in alam iniecto caput sursum propellas, manum vero ad pectus adducas, aut si retro ducendo ita ut circumoberret, compellas. Alius modus hic est: capite ad summum humerum obiecto, manibus vero in alam

[1] *οἷον.* — [2] *καί* om. — [3] *ἢ 'ένθα.* — [4] *πρό.* — [5] *ὑπάγειν.* — [6] *παραγαγεῖν.* — [7] *ἢ π.*

Littr., *ἀσαρκώτατα* vulg., *ἀσαρκότατον* B. M. N.; — *τά* post *ἀσαρκότατα* de meo adieci.

καὶ τὰ — ποιέει.] *παραποιήματα* vulgo; emendavit Foës. Mihi integra non videntur postrema, mira oratio est; non reperio tamen quod satisfaciat. Vide num forte *καὶ ταὐτὰ ὥσπερ κ. τ. λ.* sit legendum!

ἢν δὲ — ἡλικίας.] *οὐ* pro *οὐδέ* K., *γάρ* om. D., sed rest.; — *οἷ* (*οἷον* L., uti V., *οἱ* H., *οἱ* om. J., *δι'* Chart.) *ἀλλὰ οὖ* (*οὐ* Chart.) *ξυναύξεται ὁμοίως* vulg. — Littr.: *οὐδὲ γὰρ ἔχει, ᾗ ἄλλα οὐ ξυναύξεται ὁμοίως* de coniectura. Foësius locum lacerum et exulceratum proclamavit. Mihi similem locum e libro de Articulis reputanti *ἔχει* emblema alienum videtur, legendum autem esse: *ἢν δὲ αὐξομένοισι, τὰ μὲν ὀστέα οὐ μειοῦται, — οὐδὲ γὰρ οἷόν τε, — ἀλλ' οὐ ξυναύξεται ὁμοίως.*

καὶ ἃ δύναται — ἐκπεπτωκέναι.] *δύναται* edd. antt., Parr. 6., *δύνανται* vulg. — Ad *καὶ αὖ σημεῖον* Marc. in marg. *καὶ ἃ σημεῖα.* Littréus verba *καὶ ἃ δύναται σχήματα* ad hanc periodum retulit, non ad superiorem. Equidem locum, e quo sensum sanum non elicio asterisco notavi. Neque intelligo quomodo *καὶ αὖ σημεῖον* cum antecedentibus cohaereat; vereor ne forte lacunae locum obscurum reddant. Littréus attulit locum e § 58. libri de Articulis: *πολλοὶ γὰρ ὑπὸ ὀδύνης κ. τ. λ.*, sed si conferas, nescis num nostra re ipsa eò spectent, necne. Mihi haec desperata videntur.

κεφαλὴ — μηνύει.] *γάρ* post *αἴρειν* in vulgata obvium, om. Marc., quem sequor; — *παραγαγεῖν* L.; — *ἢ ἔνθα* H. U.; — *μινύει* Marc.

ἐμβολαὶ δέ — στῆθος.] *δέ* om. Marc. Post *στῆθος* vulgo, *ἀλλ' ἤ*, equidem cum Foësio in Latinis *ἀλλ'* omitto.

ἄλλη — πρότερον.] *τό* ante *ἀκρώμιον* om. Marc.; — *ἀπάγειν* H. al. m., Marc., Littr., *ὑπάγειν* vulg.; — *γουνάτων ἕτερον τὸν ἀγκῶνα παράγειν* Marc.; — *ὥσπερ τὸ πρότερον* K.

ἢ κατ' ὦμον — τεινομένῳ.] *ὦμον* K. L.; — *ὤμου* vulg.; — *ἔνθεν τὰ ἐκπληρώματα* vulg., emendavit Foës.; — *τῇ μασχάλῃ τῇ δεξιῇ δεξιόν* vulg., *τῇ μ. δὲ δεξιόν* B.; *τῇ μασχάλῃ δεξιῇ δεξιόν* Ald., Parr. 8., Marc.; — *περί* ante *κλιμακτῆρα* om. D.

χεῖρα τεινομένῳ. Ἴησις· τὸ σχῆμα, πρὸς πλευρῇσι βραχίων, χεὶρ ἄκρη ἄνω, ὦμος ἄνω· οὕτως ἐπίδεσις, ἀνάληψις. Ἢν δὲ μὴ ἐμπέσῃ, ἀκρώμιον προσλεπτύνεται.

iniectis brachii caput abducas, cubiti autem gibbum genibus protrudas, aut genuum loco alterum cubiti gibbum ad latus adducere, ut prius, iubeas. Aut si supposito in alam humero inhaereat aeger. Aut ubi calce, adhibitis quae alae cavum compleant, ad dextrum humerum dextro usus fueris. Aut ubi per pistillum, aut scalae gradum coëgeris, aut una cum ligno ad manum porrecto super trabeculam transversam converteris. Curatio perficitur eo habitu ut brachium ad costas adducatur, manus summa et humerus sursum detineantur, sicque sursum deligatio fiat et appensio. Quodsi repositus humerus non fuerit, summus humerus etiam extenuatur.

ε'. Ἀκρώμιον ἀποσπασθέν· — τὸ μὲν εἶδος φαίνεται οἷόνπερ ὤμου ἐκπεσόντος, στερίσκεται δ' οὐδενὸς, ἐς δὲ τὸ αὐτὸ οὐ καθίσταται. Σχῆμα τὸ αὐτὸ, ὃ καὶ ἐκπεσόντι, ἐν ἐπιδέσι καὶ ἀναλήψι· [1] ἐπίδεσις, ὡς νόμος.

5. Summus humerus avulsus speciem quidem prolapsi humeri exhibet, nullo autem privatur, neque in pristinum statum restituitur. Idem habitus tum in deligatione, tum in suspensione, qui etiam luxato convenit. Deligatio, ut solet, fieri debet.

ϛ'. Ἀγκῶνος ἄρθρον παραλλάξαν μὲν ἢ πρὸς πλευρὴν, [2] ἢ ἔξω, μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος, ἐς ἰθὺ κατατείνοντα τὰ ἐξέχοντα ἀνωθέειν ὀπίσω καὶ ἐς τὸ πλάγιον.

6. At vero cubiti gibbi articulo in latus aut exteriorem in partem dimoto quidem, aut subluxato, acuta eius parte in brachii cavo remanente, distentione in directum facta, eminentia retro et ad latus propellere oportet.

ζ'. Τὰ δὲ [3] τελέως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα· κατάτασις μὲν, ἐν ᾗ ὁ βραχίων ἐπιδεῖται· οὕτω γὰρ τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. Ἐκπίπτει δὲ μάλιστα [4] ἐς τὸ πρὸς πλευρέων μέρος. Τὰς δὲ κατορθώσιας, ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ ψαύῃ τῆς κορώνης ἡ κεφαλὴ, μετέωρον περιάγειν καὶ περικάμψαι καὶ μὴ ἐς ἰθὺ βιάζεσθαι, ἅμα δὲ ὠθέειν τἀναντία ἐφ' [5] ἑκάτερα καὶ παρωθέειν

7. Quodsi prorsus in hanc vel illam partem exciderit, distentio quidem, in qua brachium deligatur, adhibenda. Sic namque cubiti flexus nihil impediet. Potissimum vero ex laterum parte excidit. In suum autem locum dirigitur quam plurimum abducendo, ne caput brachii acutum ossis processum attingat. Suspensum vero circumagere et circumflectere oportet, neque vim in directum adhibere, simulque in

[1] ἐπιδέσεως. — [2] ἢ om. — [3] τελευταῖα. — [4] ἐκ τοῦ πρὸς πλ. μέρους. — [5] ἑκατέρην.

ἴησις — ἀνάληψις.] ἀνάληψις B. M. N., Littr., ἀνάληξις vulg.

5. σχῆμα — νόμος.] ὃ καὶ ἐκπ. Marc., ᾧ καὶ ἐκπ. ceteri; — ἐπιδέσιος καὶ ὡς νόμος vulgo; ἐπιδέσιος. νόμος Marc. et idem in marg. vulgatam habet. Ex hoc elicio ἐπίδεσις ὡς νόμος. — Cum hoc capitulo conf. § 61. libri de Articulis.

6. ἀγκῶνος — πλάγιον.] cf. de Artic. § 65.; — ἢ ante ἔξω om. L.; — κατατείναντα D. K., κατατείνονται U.; — pro ἀνωθέειν l. l. e lib. de Artic. ἀπωθέειν, quod praestare videtur, licet nihil tangam.

7. τὰ δὲ τελέως — κωλύσει.] τελέως etiam Marc.; — κατάστασις vulg., κατάτασις Ald., codd. 7. Littréi, Marc.

ἐκπίπτει — μέρος.] ἐκ τοῦ πρὸς πλεύρεα μέρεως vulg., ἐς τὸ πρὸς πλευρέα μέρος H., quam lect. Littr. ita secutus est, ut in ea πλεύρεα scriberet cum prima manu in U.; ego lectionem Marciani exhibui.

τὰς δὲ — χώρην.] ψαύῃ Marc., lib. de Art. § 66., ψαύσῃ vulg.; — μετέωρον δὲ περιάγειν cett.; reieci otiosum δέ, quod neque in lib. de Artic. habetur; — μὴ κάμψαι al. m. supra versum H.; — ἑκάτερον Ald., B. M. N., Marc., ἑκατέραν D., ἑκατέρην multi Parr.; — ἐς ante χώρην omm. non pauca mss.

ἐς χώρην. [1]Ξυνωφελοίη δ' ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τούτοισι, ἐν τῷ μὲν ἐς τὸ ὕπτιον, ἐν τῷ δὲ ἐς τὸ πρηνές· ἴησις δὲ σχήματος μὲν, — ὀλίγον ἀνωτέρω ἄκρην χεῖρα ἀγκῶνος ἔχειν, βραχίονα δὲ κατὰ [2]τὰς πλευράς· οὕτω δὲ καὶ ἀνάληψις καὶ θέσις εὔφορον, καὶ φύσις καὶ χρῆσις ἐν τῷ κοινῷ, ἢν ἄρα μὴ κακῶς πωρωθῇ· πωροῦται δὲ ταχέως. Ἴησις· ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν καὶ τὸ ὀξὺ προσεπιδεῖν.

contrarium in utramque partem impellere et in sedem compellere. Ad haec quoque contulerit cubiti gibbum modo quidem pronum, modo etiam supinum contorquere. Curatio autem est, quae ex habitu quidem pendet, si summa manus paulo cubiti gibbo altior, brachium vero ad latera adductum teneatur; sic autem appensio et facilis et natura et usus in commune conferunt, si modo callus, qui celeriter increscit, non prave obducatur. Curatio per lintea pro lege articulari institui debet et cubiti eminentia insuper deligari.

η'. Παλιγκοτώτατον δὲ ἀγκὼν ὀδύνῃσι, πυρετῷ ἀσώδεϊ, ἀκρητοχόλῳ, ἀγκῶνος δὲ μάλιστα τὸ ὀπίσω διὰ τὸ [3]ναρκῶδες, δεύτερον τὸ ἔμπροσθεν. Ἴησις δ' ἡ αὐτή. Ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω· ἐκτείναντα κατατεῖναι· σημεῖον δέ· οὐ γὰρ δύνανται ἐκτείνειν· τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται ξυγκάμπτειν. Τούτῳ δὲ ἐνθέντα τι σκληρὸν [4]ξυνειλιγμένον περὶ τοῦτο ξυγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης.

8. Rursus autem maxime excandescit cubiti gibbus doloribus, febre cum vomituritione et meracae bilis vomitione, idque maxime si in posteriorem partem ob torporem, secundum id, si in anteriorem elapsus sit. Curatio vero eadem adhibenda. Reconditur vero, ubi in posteriora excidit, si porrectum brachium in diversa contendatur. Cuius rei indicium est, quod extendi nequit, ut et in anteriorem prolapsi, quod minime flecti potest. Hic autem imposito duro aliquo convoluto, super id ubi extenderis, derepente flectendus est.

θ'. Διαστάσιος δὲ ὀστέων σημεῖον, κατὰ τὴν φλέβα τὴν κατὰ [5]τὸν βραχίονα σχιζομένην διαψαύοντι.

9. At dissidentium inter se ossium indicium, qua vena in brachio scinditur ad contactum patet.

ι'. Ταῦτα δὲ ταχέως διαπωροῦται. Ἐκ γενεῆς δὲ, βραχύτερα τὰ κάτω ὀστέα [6]τοῦ σίνεος, πλεῖστον τὰ ἐγγύτατα πήχεος, δεύτερον χειρὸς, τρίτον δακτύλων. Βραχίων δὲ καὶ ὦμος ἐγκρατέστερα διὰ τὴν τροφήν. Ἡ δ' ἑτέρη χεὶρ διὰ τὰ ἔργα πλείω ἔτι ἐγκρα-

10. Haec vero celeriter callo obducuntur. Quibus a primo ortu ista accidunt, iis ossa infra noxam breviora evadunt, plurimum vero quae cubito sunt proxima, deinde ea quae in manu, postremo quae in digitis. Brachium autem et humerus propter nutritionem validi-

[1] συνωφελέοι. — [2] τάς om. — [3] σαρκῶδες. — [4] συνειλεγμένον. — [5] τόν om. — [6] τοῦ σίνος ἐπολὺ τὰ δ' ἐγγύτατα.

ξυνωφελοίη — ταχέως.] ἐπιστρέψας Ald., mss. 11. apud Littr., Marc. — Vulgo: ἐμβολὴ δέ σχήματος μέν; Littr. ἴησις pro ἐμβολή legendum, aut ἐμβολὴ δέ intelligendum quasi ἐμβολὴ αὕτη scriptum esset, monet; posteriorem rationem iniit. Equidem e Marc. recepi lectionem libri de Artic. § 18. Articulum ante πλευράς omm. Parr. 4., Marc.; — καὶ εὔφορον vulg., sed καί omm. Ald., codd. 12. apud Littr., Voss., Marc., non tamen omittendum, sed θέσις supplendum e lib. de Articulis; — χρίσις Parr. 4.

ἴησις — προσεπιδεῖν.] ἀρθρητικόν vulgo, per ῖ D. Littr.

8. παλιγκοτώτατον — ἔμπροσθεν.] πυρετοῖσι, ὀδύνῃ vulgo, transposui nomina et numeros mutavi, cf. § 67. lib. de Artic.; — ἀκρατοχόλῳ vulgo, multi Parr. et Marc. ἀκρητοχόλωι. Ante ὀπίσω adscripsi τό ex libro de Articulis, ubi τοὔπισθεν.

ἴησις δ' ἡ αὐτή.] Sic Marc., cett. δ' omm.

ἐμβολαὶ — ξυγκάμπτειν.] ἐκτείνοντα vulg., ἐκτείναντα dedi e libro de Artic.

9. διαστάσιος — διαψαύοντι.] cf. § 68. libri de Artic.; — τόν ante βραχίονα omm. Parr. 6., Marc., διαψαύοντα U.

10. ταῦτα — δακτύλων.] cf. § 69. libri de Artic.; — pro πλεῖστον ferunt, πουλύ s. πολύ non pauci Parr., Ald.; πλείστωι Marc.; — τὰ δ' ἐγγυτ. vulg., δέ om. Littr.; — δάκτυλον nonnulli Parr., Marc.

βραχίων — ἐξέπεσε.] πλείων ὅτι Marc.; — δέ post μινύθησις omm. Parr. 3., in quorum uno D. rest.; — τὸ ἐναντίον U.; — ἤ ante ἢ de meo.

τεστέρῃ. Μινύθησις δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσε, εἴσω, εἰ δὲ μὴ, ἐς τοὐναντίον [1] ἢ ᾗ ἐξέπεσε.

ora evadunt. Manus item altera propter plura opera etiam validior est. At carnium imminutio, si quidem in exteriorem partem articulus prolapsus est, interiore parte fit; sin minus, contra quam exciderit.

ια'. Ἀγκὼν δὲ ἢν μὲν ἔσω ἢ ἔξω ἐκβῇ, [2] κατάτασις μὲν ἐν σχήματι ἐγγωνίῳ [3] τῷ πήχεϊ πρὸς βραχίονα· τὴν μασχάλην μὲν ἀναλαβὼν [4] ταινίῃ ἀνακρεμάσαι, ἀγκῶνι δὲ ἄκρῳ ὑποθείς τι παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι, ἢ χερσὶ καταναγκάσαι. Ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου, αἱ παραγωγαὶ τοῖσι θέναρσι, [5] ὡς τὰ ἐν χερσί. Ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις.

11. Cubiti autem gibbus ubi interiorem in partem, aut exteriorem exciderit, in habitu quidem angulari cubiti ad brachium contenditur. Ex ala quidem fascia excepta suspensio facienda, ad cubitum vero summum suppositum aliquod pondus iuxta articulum appendendum, vel manibus adurgendum. Tum suspenso in sublimi articulo ossa manuum volis adducenda. Hoc in habitu deligatio, appensio et positio, velut in manibus fieri debet.

ιβ'. Τὰ δ' ὄπισθεν ἐξαίφνης ἐκτείνοντα διορθοῦν τοῖσι θέναρσι· ἅμα δὲ δεῖ ἐν τῇ διορθώσι καὶ τοῖσι ἑτέροισι. Ἢν δὲ πρόσθεν, ἀμφὶ ὀθόνιον [6] ξυνειλιγμένον, εὔογκον, ξυγκάμπτοντα ἅμα διορθοῦσθαι.

12. At ubi posteriorem in partem excidit, derepente extensione facta manuum palmis dirigendum simulque haec in directione tum in ceteris usurpanda sunt. Quodsi priorem in partem prolapsio facta sit, circum linteum convolutum et in iustam molem sublatum inflectendo simul directio facienda.

ιγ'. Ἢν δ' ἑτεροκλινὲς ᾖ, ἐν τῇ διορθώσι ἀμφότερα ἅμα χρὴ ποιέειν. Τῆς δὲ μελέτης κοινὸν καὶ τὸ σχῆμα καὶ ἡ ἐπίδεσις. Δύναται δὲ καὶ ἐκ τῆς [7] διατάσιος κοινῇ ξυμπίπτειν πάντα.

13. Sin alteram in partem inclinarit, cum directione simul utraque facienda sunt. Ad curam autem communiter et habitus et deligatio spectant. Possunt autem etiam ex distentione communiter omnia restitui.

ιδ'. Τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος· αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ ἢ τῇ, ξὺν τῷ τάχεϊ.

14. Repositiones vero partim quidem in sublime elevando, partim distendendo, partim vero circumerrando fiunt. Idque, dum habitus in hanc vel in illam partem excedunt, celeriter adhibetur.

ιε'. Χειρὸς δὲ ἄρθρον ὀλισθάνει ἢ ἔσω, ἢ

15. Manus articulus interiore aut exteriore

[1] ἢ om. — [2] κατάστασις. — [3] τῷ πήχει κοινῷ πρὸ βρ. καὶ μασχ. — [4] τινι ἰνακρεμμασαι ὑπεραιωρηθέντος omissis intermediis. — [5] ὡς usque ad θέναρσι § 12. om. — [6] συνειλεγμένον. — [7] διαστάσιος.

11. ἀγκὼν — καταναγκάσαι.] cf. lib. de Art. § 70.; — εἰ pro ἢν M. N.; — ἔξω ἢ ἔσω vulg., ἔσω ἢ ἔξω Parr. 3., Marc., Voss.; — κατάστασις vulg., κατάτασις Littr.; — τῷ πήχεϊ κοινῷ πρὸς βρ. vulg., κοινῷ τῷ π. πρὸς βρ. Littr; equidem κοινῷ abiicio, non legitur in lib. de Artt., otiosum est et ortum videtur e postremis syllabis adiectivi ἐγγωνίῳ: non negligo κοινόν miro modo usurpari in lib. de off. medici. Porro τὴν γὰρ μασχ. vulgo, καί pro τὴν γάρ Ald., Parr. 11., Marc.; — μέν post μασχάλην e solo Marc dedi; — τινι pro ταινίῃ pauci Parr. et Marc.; — τι omm. Ald., multi Parr., Marc.; — παρὰ δὲ τὸ ἄρθρον Parr. 10., Marc.; — ἢ χ. καταναγκάσαι omm. Parr. nonnulli.
ὑπεραιωρηθέντος — θέσις.] ὡς — θέναρσι omm. Parr. 7., in quorum uno D. rest; — θέσις τε καὶ ἀναλ. D.

12. τὰ — ἑτέροισι.] ἄφνω D. pro ἐξαίφνης; — H. διόρθρωσιν.
Τήξας ὑὸς στέαρ παλαιὸν καὶ κηρὸν, καὶ ἔλαιον ξυμμίξας καὶ λιβανωτὸν καὶ λωτοῦ [1] ἰχθυήματα, καὶ μίλτον ὑπαλείψας, [2] ἄρου φύλλα ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψήσας, προσθεὶς καταδεῖν. — [3] Ἕτερον. — Ἐπειδὰν τῷ συείῳ στέατι ὑπαλείψῃς τῷ παλαιῷ, καταλείφειν ἀσφοδέλου ῥίζας ἐν οἴνῳ τρίψας καὶ λειώσας. — Ἕτερον. — Τήξας στέαρ συὸς παλαιὸν, ξυμμίξας ῥητίνῃ καὶ ἀσφάλτῳ, [4] ἐπαλείψας ἐς ὀθόνιον, θερμήνας πρὸς πῦρ, ἐπιθεὶς [5] ἐπιδεῖν.

quatam, admixto oleo et thure, loti ramento et rubrica, inungere oportet; ari folia ex vino et oleo coctis imponito et deligato. — Aliud. Post litum ex adipe suillo vetusto, asphodeli radices ex vino tritae et laevigatae illinuntur. — Aliud. Adipem suillum vetustum admixta resina et bitumine linteolo illinito, ad ignem calefactum imponatur et deligetur.

κγ′. Ὅταν ἐν τῷ νώτῳ ὑπὸ πληγέων ἢ ἄλλως ἕλκος γένηται, σκίλλην δίεφθον τρίψας καὶ ἐπ' ὀθόνιον ἀλείψας ἐπιδεῖν, ὕστερον δὲ στέαρ αἰγὸς, καὶ συὸς νέον, καὶ σποδὸν καὶ ἔλαιον καὶ λιβανωτὸν ἐπαλείφειν.

23. Quum in dorso ex plagis, aliave de causa ulcus subortum fuerit, scilla cocta, contrita et ex linteolo illita alligetur. Postea vero adeps caprinus et suillus recens, spodium, oleum et thus superlinantur.

κδ′. Ὅκου οἰδήματα ἐν τοῖσι ποσὶ γιγνόμενα αὐτόματα καὶ μὴ αὐτόματα, οὐδὲν ὑπὸ τῶν καταπλασμάτων καθισταμένων τῶν τε οἰδημάτων καὶ τῆς φλεγμασίης, καὶ ἢν σπόγγους ἐπιδέῃ τις ἢ εἴρια ἤ τι ἄλλο ἐπὶ τὸ ὑγιὲς, ἔπειτα ἀνοιδίσκηται αὐτόματον καὶ ἀναφλεγμαίνῃ, κατὰ φλέβας ἐπίρροος αἴτιόν ἐστι αἵματος, ᾧτινι μὴ φλάσμα αἴτιόν ἐστι, καὶ ἤν που ἄλλοθι τοῦ σώματος τοιοῦτόν τι γένηται, ὁ αὐτὸς λόγος. Ἀλλὰ τοῦ αἵματος χρὴ ἀφιέναι, μάλιστα μὲν κατὰ φλέβας τὰς ἐπιρρεούσας, ἢν καταφανέες ἔωσι· ἢν δὲ μὴ, κατακρούειν τὰ οἰδήματα βαθύτερα καὶ πυκνότερα, [καὶ ἄλλο πᾶν ὅ τι ἂν κατακρούῃς, οὕτω χρὴ ποιέειν] καὶ ὡς ὀξυτάτοισι σιδηρίοισι καὶ λεπτοτάτοισι, καὶ ὅταν ἀφαιρέῃς τὸ αἷμα, τῇ μήλῃ μὴ κάρτα πιέζειν, ὡς μὴ φλάσις προσγίγνηται· ὄξεϊ

24. Ubi pedum tumores sponte et non sponte provenientes, neque ipsis tumoribus neque inflammatione ex cataplasmatis usu subsidentibus, tum si spongiis aut lanis adhibitis aut alio quopiam ad sanam partem alligato, postea sua sponte intumescant et inflammationem concipiant, in his sanguinis per venas influxus in causa est, si cui collisio non sit. Eademque ratio est, si tale quid quavis alia corporis parte accidat. Verum sanguinem mittere oportet, praecipue ex venis quidem, per quas fit influxus, si modo conspicuae sint, alioqui tumores altioribus et crebrioribus vulnusculis pertundendi. [Id quod in eo, quodcumque scalpello pertundis, eodem modo fieri debet,] idque ferramentis quam acutissimis ac tenuissimis faciendum. Ubi sanguinem detrahis, specillum non admodum apprimito, ne collisio fiat. Aceto autem

[1] ἰχθυώματα. — [2] Ἕτερον. ἄρου. — [3] ἕτερον om. — [4] καὶ αὐτὸ ἐπαλ. — [5] δεῖν.

στέαρ τε ὑός vulg., ὑὸς στέαρ E. H., Littr.; — καί ante λιβ. om. pr. m. in H.; — τούτῳ ὑπαλείψας vulgo, ὑπαλείψας solum de meo; — ante ἄρου L. ἕτερον, uti V.; — προτιθείς vulg., προστιθείς edd. antt., mss., Littr.; malui aoristum dare.

ἕτερον — λειώσας.] ἄλλο E. H., ἕτερον nunc omm. L. V.: — δὲ τῷ J.; — τῷ ante καταιονᾶν om. pr. m, in H.; — λεῖον pr. m. in H.; — post λειώσας E. ἄλειφε.

ἕτερον — ἐπιδεῖν.] ἄλλο E. H.; — καὶ (καί omm. E. H., Littr.) αὐτὸ ἐπαλ. vulgo; equidem et καί et αὐτό repudio; — εἰς pro πρός E. Q.'

23. ὅταν — ἐπαλείφειν.] τῇ σκίλλῃ διέφθῳ ceteri; de meo mutavi, neque enim scillâ coctâ ulcus terere vult, sed scillam conteri ut inungi possit; — καί ante ἐπ' ὀθόνιον om. pr. m. in H.; — ἐς ὀθόνιον ἐπαλείψας E. H.; — ἐπαλείφειν om. pr. m. in H.

24. οἰδήματα — λόγος.] περὶ οἰδημάτων (ἐν excidit) τοῖς ποσὶ γινομένων E. in inscriptione; — ἀνοιδίσκεται E. H. Z.; — τοῦτο E. et H. rescriptum al. m. pro τοιοῦτον. Initium huius periodi edi solet: οἰδήματα ἐν τοῖσι ποσὶ γιγνόμενα αὐτόματα καὶ μὴ αὐτόματα. οὐδὲν ὑπὸ τῶν καταπλασμάτων καθιστάμενα τά τε οἰδήματα καὶ ἡ φλεγμασίη καὶ ἤν κ. τ. λ. De meo descripsi, quemadmodum exhibeo, ut decursus orationis tolerabilis saltem esset.

ἀλλὰ — κατάρροος.] ἀφαιρέῃς L., Littr., ἀφαιρῇς vulg.; —

δὲ κατανίζειν, καὶ θρόμβον αἵματος ἐν τοῖσι [1]σχάσμασι μὴ ἐᾶν ἐγκαταλείπεσθαι, καταχρίσας τῷ ἐναίμῳ φαρμάκῳ, εἴρια οἰσυποῦντα κατεξασμένα μαλθακὰ ἐπιδῆσαι, ῥήνας οἴνῳ καὶ ἐλαίῳ· καὶ ἐχέτω τὸ σχασθὲν ὅκως ἀνάρροος [2]ἔῃ τοῦ αἵματος καὶ μὴ κατάρροος. Καὶ μὴ [3]τεγγέτω ὅλως, καὶ ὀλιγοσιτεέτω, καὶ πινέτω ὕδωρ· ἢν δὲ ἀπολύων εὑρίσκῃς τὰ [4]σχάσματα φλεγμαίνοντα, καταπλάσσειν τῷ ἐκ τοῦ ἀγνοῦ καὶ λίνου καρποῦ καταπλάσματι· ἢν δὲ ἑλκωθῇ τὰ σχάσματα καὶ ξυρραγῇ, πρὸς [5]σχῆμα ὁρέων, ἔπειτα προσφέρων [6]ὅτου ἂν δέῃ, τὰ λοιπὰ ἰητρεύειν.

perfundito, neque sanguinis grumum in cutis hiatibus remanere permittito, illitoque medicamento cruentis vulneribus accommodato, lanas sordidas, bene carptas, molles vino atque oleo respersas alligato. Locus scalpro pertusus eo sit habitu, ut sanguis sursum refluat, non deorsum defluat; neque ullo modo madefiat inediamque toleret aeger et aquam bibat. Quodsi vinculo resoluto cutis incisuras vexatas inflammatione deprehendas, cataplasma ex viticis ac lini semine inducendum. Sin vero ulcerentur ac simul committantur, pro occasione ut res postulat cetera curanda.

κε΄. [7]Ὅκου δὲ κιρσὸς ἔνεστι ἐπ' ἀντικνημίου ἢ περιφανὴς, ἢ [8]κάτω τῆς σαρκὸς, καί ἐστι μέλαν τὸ ἀντικνήμιον, καὶ δοκέει δεῖσθαι [9]αἷμα ἀπ' αὐτοῦ ἀπορρυῆναι, οὐ χρὴ τὰ τοιαῦτα κατακρούειν οὐδαμῶς· ὡς γὰρ ἐπιτοπολὺ ἕλκεα μεγάλα γίγνεται ἐκ τῶν σχασμάτων διὰ τοῦ κιρσοῦ τὴν ἐπιρροήν· ἀλλὰ χρὴ αὐτὸν τὸν κιρσὸν ἀποκεντέειν ἄλλοτε καὶ ἄλλοτε, ὅπῃ ἂν δοκέῃ καιρὸς εἶναι.

25. At ubi varix anteriorem tibiae partem occupat, sive conspicuus sit, sive carne tegatur, nigricatque anterior tibiae pars et sanguinis detractionem expetere videtur, illa scalpello nullo modo pertundi debent. Plerumque enim ex incisuris ob influxum ex varice magna ulcera fiunt. Verum varix ipse multis locis, prout opportunum videbitur, compungendus est.

κς΄. Ὅταν δὲ φλέβα τάμῃς, ἐπειδὰν τοῦ αἵματος ἀφῇς καὶ λύσῃς τὴν ταινίην, καὶ μὴ ἵστηται, τἀναντία ἢ ὅκως ἂν ὁ ῥοῦς [10]γίγνηται τοῦ αἵματος, ἐχέτω, ἤν τε χεὶρ, ἤν τε σκέλος ᾖ, ὥστε [11]χωρέειν τὸ αἷμα ὀπίσω, καὶ οὕτως [12]ὑπομείνας χρόνον πλείω ἢ ἐλάσσω κατακείμενον, ἔπειτα ἐπιδῆσαι αὐτὸν οὕτως ἔχοντα, μὴ ἐνεόντος τινὸς θρόμβου ἐν τῇ τομῇ, σπληνίον διπλόον προσθεὶς, τέγξας οἴνῳ, καὶ ἄνωθεν εἴριον ἐλαιώσας καθαρόν· κὴν γὰρ ἐπίρρυσις τοῦ αἵματος ἔῃ βιαίη, σχέσις γίγνεται ἐπιρρέοντος· κὴν, θρόμβου [13]ἐπὶ τῇ τομῇ γενομένου, οὕτω φλεγμήνῃ, διαπυΐσκε-

26. Vena secta ubi sanguinem detraxeris, vinculumque solveris, neque sanguis sistitur, contrariam in partem quam sanguis fluit, sive brachium, sive crus sit, collocetur, ut sanguis retro fluat, eoque statu plus minusve temporis decumbens perseveret, deinde iacens deligetur, dum ne quis sanguinis grumus in sectione relictus sit, splenio duplici apposito, vino madente, ac supra lana munda oleo imbuta imponatur. Fluentis namque sanguinis quamvis vehemens eruptio sistitur. Ac si sanguinis grumus in sectione relictus sit et ita inflammetur, in pus verti solet. Liberalius autem aut parcius

[1] χάσμασι. — [2] εἴη. — [3] τεγγέσθω. — [4] χάσματα et sic semper. — [5] χρῆμα. — [6] ὃ ἂν δέῃ. — [7] περὶ κυρσοῦ. Ὅπου. — [8] κατὰ τῆς σ. — [9] αἵματος ἀπ' αὐτοῦ ἀπορρυέντος. — [10] γένηται. — [11] χρέοντος. — [12] ὑπομείνας om. — [13] ἐπιτομὴ γινομένου οὔτε φλεγμένη.

κατταιονίζειν E. Q.'; — σχάσμασι pr. m. in H., χάσμοισι vulg.

καὶ μὴ — ἰητρεύειν.] ὅλως om. pr. m. in H.; — ὕδ. πιν. E. (H. πιέτω pr. m.); — χάσματα Parr. 4.; — τὸ ἐκ τοῦ I.; — καταπλάσμασι Ald.; — πρόσχημα vulg., πρόσχρημα Ald., mss. 6.; πρὸς σχῆμα Littr.; — ὅτου E. H. Littr., ὅ vulg.

25. ὅκου — εἶναι.] περὶ κιρσοῦ E. F. in inscriptione; — δοκέει E. H. K., Littr., δοκέῃ vulg.; — αἷμα ἀπ' αὐτοῦ ἀπορρυῆναι E. H. Q.', vulg. e V. notavi; — χασμάτων E. J. K.

26. ὅταν — διαπυΐσκεται.] τὰ ἀντία ὅκως vulg.; de meo mutavi; — καὶ αἵματος vulg., τοῦ αἵματος Littr. cum Parr. 6.; — tum vulgo ὡσεὶ χρέοντος (χωρέοντος Littr.) τοῦ αἵματος ὀπίσω quod de meo mutavi; — ὑπομείνας om. L., uti V.; — κατακείμενον de meo pro vulgato κατακείμενος; accusativus esse debet ab ὑπομείνας pendens; — καὶ μὴ ἐνεόντος E. Q.'; — τινός om. pr. m. in H.; — ἔπειτα

ται. Ἠριστηκότα δὲ χρὴ πλέον ἢ ἔλασσον καὶ πεπωκότα φλεβοτομέειν, καὶ ὑποτεθερμασμένον, καὶ ἡμέρης θερμοτέρης ἢ ψυχροτέρης.

κζ'. Σικύην δὲ [1] προσβαλόντα χρὴ, ἢν ἐπιρρέῃ τὸ αἷμα ἀφῃρημένης, κἢν πολὺ ῥέῃ, ἢ ἰχὼρ ῥέῃ, αὐτοῖσι ταχέως πρὶν ἢ πλησθῇ, αὖτις προσβάλλων ἐπεξέλκειν τὸ λειπόμενον· ἢν δὲ μὴ, θρόμβου ἐνεχομένου ἐν τοῖσι σχάσμασι, ἔπειτα ἀναφλεγμήναντα ἕλκεα γίγνεται ἐξ αὐτῶν. Ὄξεϊ δὲ χρὴ πάντα τὰ τοιαῦτα κατανίζειν, καὶ ὕστερον μὴ τέγγειν, μηδὲ κατακέεσθαι ἐπὶ τὰ σχάσματα, τῶν δὲ ἐναίμων τινὶ φαρμάκων καταχρίσαι τὰ σχάσματα· καὶ ὅταν κάτωθεν τοῦ γούνατος δέῃ προσβάλλειν ἢ πρὸς τὸ γόνυ, ἑστηκότι ὀρθῷ, ἢν δύνηται ἑστάναι.

pranso et poto vena secanda et leviter concalefacto calidiore potius die quam frigidiore.

27. Ubi sanguis influit admota cucurbitula, si eâ ablatâ is copiose, aut serosus humor affluit, ea cito priusquam impleatur locis scalpro exasperatis affigenda est et quod restat insuper extrahendum. Alioqui sanguinis grumo incisuris inhaerente postea rursus inflammata ulcera ex iis fiunt. Eiusmodi autem omnia aceto elui debent, neque postea madefieri cavendumque aegro est, ne in loca scalpro pertusa incumbat. Ea autem aliquo ex medicamentis cruentis vulneribus accommodatis illinenda sunt. Quodsi vel infra genu, vel ad genu admovenda cucurbitula est, id homini erecto et stanti, si stare potest, procurandum.

[1] προσβάλλοντα.

σπλήνιον vulgo, ἔπειτα eiiciendum esse vidit Littr.; — τέγξαι K.; — θρόμβος J.; — γενομ. H., Littr., γινομ. vulg.

27. σικύην — αὐτῶν.] προσβάλλοντα vulg., aoristum de meo dedi; — ἀφῃρημένης τῆς σικύης vulg., τῆς σικύης omisi cum L., Voss.; — ἢ ἰχὼρ ῥέῃ om. J.; — αὖτις per τ̄ pr. m. in H.; — εἰ δὲ μή H.; — θρόμβοι ἐνεχόμενοι vulgo, de meo genitivo scripsi.

ὄξεϊ — ἑστάναι.] γούνατος Littr. cum Parr. 4., γόνατος vulg.; — προσβάλλων vulg., προσβάλλον E. H., προσβάλλειν Littr.

ΠΕΡΙ ΑΙΜΟΡΡΟΪΔΩΝ.

α'. Αἱμορροΐδων τὸ μὲν νόσημα ὧδε γίγνεται. Ἐπὴν χολὴ ἢ φλέγμα ἐς τὰς φλέβας τὰς ἐν τῷ ἀρχῷ καταστηρίξῃ, θερμαίνει τὸ αἷμα τὸ ἐν τοῖσι φλεβίοισι· θερμαινόμενα δὲ τὰ φλέβια ἐπισπᾶται ἐκ τῶν ἔγγιστα φλεβίων τὸ αἷμα, καὶ πληρεύμενα ἐξογκέει [1] ἐς τὸ ἐντὸς τοῦ ἀρχοῦ καὶ ὑπερίσχουσι αἱ κεφαλαὶ τῶν φλεβίων, καὶ ἅμα μὲν ὑπὸ τῆς κόπρου ἐξιούσης φλώμεναι, ἅμα δὲ ὑπὸ τοῦ αἵματος ἀθροιζομένου βιαζόμεναι, ἐξακοντίζουσι αἷμα, μάλιστα μὲν ξὺν τῷ ἀποπάτῳ, ἐνίοτε δὲ χωρὶς τοῦ ἀποπάτου.

β'. Θεραπεύειν δὲ δεῖ ὧδε. Πρῶτον μὲν [2] ὑπαρχέτω εἰδέναι ἐν οἵῳ χωρίῳ γίγνονται. Ἀρχὸν γὰρ καὶ τάμνων, καὶ ἀποτάμνων, καὶ ἀναρράπτων, καὶ καίων, καὶ ἀποσήπων, — ταῦτα γὰρ δοκέει δεινότατα εἶναι, — οὐδὲν ἂν σίνοιο. Παρασκευάσασθαι δὲ κελεύω ἑπτὰ ἢ ὀκτὼ σιδήρια, σπιθαμιαῖα τὸ μέγεθος, πάχος δὲ ὡσεὶ μήλης παχείης· ἐξ ἄκρου δὲ κατακάμψαι· [3] καὶ ἐπὶ τῷ ἄκρῳ πλατὺ ἔστω ὡς ἐπὶ ὀβελοῦ μικροῦ. Προκαθήρας δὲ φαρμάκῳ τῇ πρότερον, αὐτῇ δὲ, [4] ᾗ ἂν ἐπιχειρέῃς καῦσαι, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον καὶ προσκεφάλαιον ὑπὸ τὴν ὀσφὺν [5] ὑποθεὶς, ἐξαναγκάζειν ὡς μάλιστα τοῖσι δακτύλοισι τὴν

DE HAEMORRHOÏDIBUS.

1. Ora venarum hoc modo sanguinem fundere solent. Bilis aut pituita ad venas, quae in ano sunt, decumbens sanguinem, qui in his est, calefacit. Incalescentes autem venae sanguinem ex proximis venis attrahunt eoque impletae in recti intestini partem interiorem tumoris in modum prominent et venarum capitula conspicua sunt, quae dum partim a stercore exeunte contunduntur, partim a sanguine coacervato perrumpuntur, sanguinem eiaculantur, idque maxime cum stercore, interdum vero sine eo.

2. Curantur autem hoc modo. In primis certe nosse oportet, quo in loco fiant. Nam anum incidendo, resecando, consuendo, urendo, putrefaciendo, etiamsi gravissima ista esse videantur, nullam inferes noxam. Ferramenta septem octove parari iubeo, quae magnitudine palmam et crassum specillum crassitudine aequent, extrema parte recurva et in summo ad obeli parvi formam lata. Post exhibitum pridie medicamentum purgans, eodem quo ad ustionem aggredieris die homo supinus reclinatur pulvinoque lumbis supposito sedes digitis quam maxime foras educitur, tum candentibus admotis ferramentis uruntur quoad resiccentur et cave ne

[1] ἐς om. — [2] ὑπερεχέτω. — [3] καί om. — [4] ᾗ om. — [5] ἐπιθείς.

1. ἐπὴν — ἀποπάτου.] ἦν vulgo, ἐπήν revocavit Littr. ex edd. antt. et mss.: — ἐξοιδέει vulgo. ἐξογκέει D. H. I. K. Q.', Lind., ἐξοικέει Parr. 4.; — ἐς de suo Littr., in vulg. om.; — θλώμενα sec. m. in H.; — τοῦ ante ἀποπάτου ex edd. antt. et mss. revocavit Littr., vulgo om.

2. ἀρχὸν γὰρ — σίνοιο.] καί ante τάμνων om. K.; — δαίων mss. 7. apud Littr. et Voss., Ald., Manialt., δέων vulgata; sed in δαίων non latet δέων, quid enim δέειν τὸν ἀρχόν? sed latet καίων.

παρασκευάσασθαι — μικροῦ.] λέγω D. Q.' pro κελεύω; — ὀβολοῦ vulgo, cum Lindano ὀβελοῦ lego.

προκαθήρας — ἀποκαῦσαι.] ὅκως pro ἕως J.; — ἀποξηραίνῃς vulg., ἀποξηράνῃς Littr. cum Parr. 8. — Pro ὑπαλείψῃς Corn. eumque secutus Foës. in adn. ἀφάψῃς: Littr. nihil mutat et Gallice dedit: „de manière à ne pas y toucher legèrement.” In qua verbi ὑπαλείφειν interpretatione sequitur Manialdum. Me iudice ὑπαλείφειν solito suo significatu ponitur; praecipit autem auctor ne post ustionem inungantur partes, quas exsiccari vult. — Ceteri ἀποκαύσεις, de meo ἀποκαῦσαι.

ἕδρην ἔξω, ποιέειν δὲ καὶ διαφανέα τὰ σιδήρια καὶ καίειν ἕως ἂν ἀποξηράνῃς, καὶ ὅκως μὴ ὑπαλείψῃς· καίειν δὲ καὶ μηδεμίαν ἐᾶσαι ἄκαυστον τῶν αἱμορροΐδων, ἀλλὰ πάσας ἀποκαῦσαι. Γνώσει δὲ οὐ χαλεπῶς τὰς αἱμορροΐδας· [1] ὑπερέχουσι γὰρ ἐς τὸ ἐντὸς τοῦ ἀρχοῦ, οἷον ῥᾶγες πελιδναὶ, καὶ ἅμα ἐξαναγκαζομένου τοῦ ἀρχοῦ ἐξακοντίζουσι αἷμα. Κατεχόντων δ' αὐτὸν, ὅταν καίηται, τῆς κεφαλῆς καὶ τὰς χεῖρας, ὡς μὴ κινέηται· βοάτω [2] δὲ καιόμενος· ὁ γὰρ ἀρχὸς μᾶλλον ἐξίσχει. Ἐπὴν δὲ καύσῃς, φακοὺς καὶ ὀρόβους ἑψήσας ἐν ὕδατι, τρίψας λείους, κατάπλασσε πέντε ἢ ἓξ ἡμέρας· τῇ δὲ ἑβδόμῃ σπόγγον μαλθακὸν τάμνειν ὡς λεπτότατον, πλάτος δὲ εἶναι τοῦ σπόγγου ὅσον ἓξ δακτύλων πάντῃ· ἔπειτα ἐπιθεῖναι ἐπὶ τὸν σπόγγον ὀθόνιον ἴσον τῷ σπόγγῳ λεπτὸν καὶ λεῖον, ἀλείψας μέλιτι· ἔπειτα ὑποβαλὼν τῷ δακτύλῳ τῷ λιχανῷ τῆς ἀριστερῆς χειρὸς μέσον τὸν σπόγγον, ὦσαι κάτω τῆς ἕδρης ὡς προσωτάτω, ἔπειτα ἐπὶ τὸν σπόγγον προσθεῖναι εἴριον, ὡς ἂν ἐν τῇ ἕδρῃ ἀτρεμίζῃ. Διαζώσας δὲ ἐν τῇσι λαγόσι καὶ ὑφεὶς ταινίην ἐκ τοῦ ὄπισθεν, ἀναλαβὼν ἐκ τῶν σκελέων τὸν ἐπίδεσμον, ἀναδῆσαι ἐς τὸ διάζωσμα παρὰ τὸν ὀμφαλόν. Τὸ δὲ φάρμακον, ὃ εἶπον, [3] ἐπίδει τὸ πυκνὴν τὴν σάρκα ποιέον καὶ ἰσχυρὴν φῦναι. Ταῦτα δὲ δεῖ ἐπιδεῖν μὴ ἔλασσον ἡμερῶν εἴκοσι. Ῥοφέειν δὲ ἅπαξ τῆς ἡμέρης ἄλευρον, ἢ κέγχρον, ἢ τὸ ἀπὸ τῶν πιτύρων, καὶ πίνειν ὕδωρ· ἢν δὲ [4] ἐς ἄφοδον ἵζηται, ὕδατι θερμῷ διανίζειν· λούεσθαι δὲ διὰ τρίτης ἡμέρης.

unguentum admoveas. Urere vero ita oportet, ut earum venarum, quae sanguinem fundunt, nulla inusta relinquatur, sed omnes adurantur. Has nullo negotio deprehendes, quod interiore ani parte conspicuae sunt velut acini uvae lividae simulque, cum foras anus cogitur, sanguinem eiaculantur. Contineant autem illum, dum uritur, capite et manus contineant, ne moveatur; sed clamet qui uritur, quippe quo pacto anus magis prominet. Peracta ustione lentes et ervum tenuissime trita et ex aqua decocta quinque aut sex diebus imponuntur. Septimo die spongia mollis quam tenuissime inciditur; quae omni ex parte sex digitorum latitudinem aequet. Tum linteum, quod spongiae latitudinem non excedat, tenue et leve, melle illitum superimponitur, dein subdito sinistrae manus indice, media spongia intro per inferiora quam penitissime in sedem propellitur; demum supra spongiam lana apponitur, ut in sede immota permaneat. Cingulo vero per ilia ducto fascia a posteriore deorsum demittitur, exceptumque inter crura traductum vinculum ad cingulum iuxta umbilicum deligatur. Tum medicamentum, quod dixi carnem densam facere ac validam producere, alligatur. Quae non minore quam viginti dierum spatio devincire oportet. Sorbitio autem semel die ex farina, aut milio, aut furfuribus, et potui aqua exhibenda. Ubi ad deiiciendam alvum desidet, calida proluitur. Tertio quoque die balneum adhibeatur.

γ'. [5] Ἑτέρη θεραπείη. Ἐκβαλὼν τὴν ἕδρην ὡς μάλιστα, αἰονᾶν ὕδατι θερμῷ, ἔπειτα ἀποτάμνειν τῶν αἱμορροΐδων τὰ ἄκρα· φάρμακον δὲ προκατασκευασθῆναι πρὸς τὴν τομὴν

3. Alia curatio. Foras educta quam maxime sedes calida perfunditur, tum venarum sanguinem fundentium extrema praeciduntur. Hoc vero medicamentum antea praeparatum ad se-

[1] ὑπερέχουσαι. — [2] δέ om. — [3] ἐπιδεῖν πυκνήν. — [4] ἐς om. — [5] in marg. ἰατρία αἱμορροΐδων.

κατεχόντων — ἐξίσχει.] αὐτῶν ceteri, αὐτόν de meo; — τῶν χειρῶν D. Q.'; — βοάτω δέ Lind., ceteri δέ omm.

ἐπὴν — ἀτρεμίζῃ.] Omnes κατάπασσε, de meo κατάπλασσε, quod expresserunt interpretes.

διαζώσας — ὀμφαλόν.] ἐκ τῶν ὄπισθεν K.; — ἐπιδεῖτο (ἐπιδεῖν Parr. 5.) πυκνὴν τὴν σάρκα ποιέειν vulgo; descripsi textum, quemadmodum Littr.

ῥοφέειν — ἡμέρης.] ῥυφέειν H.; — τῷ ἀπὸ τῶν πιτ. K., τό ante ἀπό om. Z.

3. ἑτέρη — λεῖον.] ἑ. θ. om. F., ἄλλη D., Lind., μέθοδος pro θεραπείη Ald., G. Z.; — φάρμακον δὲ χρή J.; — προκατασκευάζειν J.; — ὧδε pro τόδε D. Q.', Lind.; — ἐπί-

τόδε· οὐρήσας ἐς χαλκεῖον ἐπίπασον ἐπὶ τὸ οὖρον χαλκοῦ ἄνθος [1]ὀπτὸν καὶ τετριμμένον λεῖον, ἔπειτα διεὶς καὶ κινήσας τὸ χαλκεῖον, ξήρανον ἐν τῷ ἡλίῳ· ὅταν δὲ ξηρὸν γένηται, ξυγξύσας τρῖψον λεῖον. [2]Προστίθει τῷ δακτυλίῳ, καὶ σπληνία ἐλαιώσας προστίθει, καὶ σπόγγον ἐπάνω ἐπίδει.

ctionem habere oportet. Urina in vas aeneum immissa, flos aeris ustus optime laevigatus inspergitur, tum vase agitato maceratur et in sole siccatur. Siccatum eraditur, teritur, et laevigatur, ano admovetur, splenia oleo madida apponuntur spongiaque superimposita deligatur.

δ'. [3]Ἕτερος τρόπος. Προσφύεται πρὸς τῇ αἱματίτιδι [4]κονδυλῶδές τι, οἷον συκαμίνου καρπός· καὶ ἢν μὲν ἔξω σφόδρα ᾖ ἡ κονδύλωσις, περιπέφυκε αὐτῇ καλυπτὴρ ὁ τῆς σαρκός. Καθίσας οὖν τὸν ἄνθρωπον ὀκλὰξ ἐπὶ ὅλμων δύο, σκόπει· εὑρήσεις γὰρ πεφυσημένα [5]τὰ μεσηγὺ τῶν γλουτῶν παρὰ τὴν ἕδρην, τὸ δὲ αἷμα [6]ἐκχωρέον ἔνδοθεν. Ἢν γοῦν [7]ἐνδιδῷ ὑπὸ [8]τῷ καλυπτῆρι, [9]τὸ κονδύλωμα τῷ δακτύλῳ ἀφελεῖν· οὐδὲν γὰρ χαλεπώτερον ἤ περ προβάτου δειρομένου τὸν δάκτυλον [10]μεταξὺ τοῦ δέρματος [11]καὶ τῆς σαρκὸς περαίνειν, καὶ ταῦτα διαλεγόμενος ἅμα [12]λάνθανε ποιέων. Ἐπὴν δὲ ἀφέλῃς τὸ κονδύλωμα, ἀνάγκη [13]φέρεσθαι δρόμους αἵματος ἀπὸ πάσης τῆς ἀφαιρέσιος· τάχα δὲ χρὴ ἀποπλῦναι οἴνῳ αὐστηρῷ, κηκίδας ἐναποβρέξας· καὶ ἥ τε αἱματῖτις οἰχήσεται ξὺν τῷ κονδυλώματι καὶ τὸ κάλυμμα καταστήσεται καὶ [14]ὅσῳ ἂν παλαιότερον ᾖ, [15]ῥηΐων ἔσται ἡ ἴησις.

4. Alius modus. Venae sanguinem fundenti tuberosa quaedam eminentia, veluti mori fructus, adnascitur, et si quidem tuberosa eminentia foras valde prominet, ei circumcirca operculum carnosum adhaerescit. Homine igitur in genua super duos lapides teretes inclinato, anum inspice. Invenies namque loca inter nates media circa sedem tumefacta, sanguinemque ex interioribus partibus procedentem. Si ergo tuberosa eminentia sub tegumento mollis sit, digito ea auferenda est. Neque enim maiore negotio id fiet, quam si, dum pellis ovi detrahitur, digitum inter carnem et pellem medium immittas. Idque inter loquendum simulque non advertente aegro faciendum. Sublatum tuberculum sanguinis cursus omni ex parte ablata necessario consequitur. Vino austero, in quo gallae maceratae fuerint, cito locus perluendus est venaque sanguinem fundens una cum tuberculo recedet et operculum in pristinum statum restituetur. Quoque vetustior morbus est, eo facilior curatio futura est.

ε'. Ἢν δὲ ἀνωτέρω ᾖ ἡ κονδύλωσις, τῷ κατοπτῆρι σκέπτεσθαι καὶ μὴ ἐξαπατᾶσθαι ὑπὸ τοῦ κατοπτῆρος· [16]διοιγόμενος γὰρ ὁμα-

5. At si altius insederit tuberosa eminentia, per instrumentum, quo sedes dilatatur, catopterem vocant, inspicere oportet, neque ab eo

[1] ὀπτοῦ καὶ τετριμμένου λείου. — [2] καὶ προστ. — [3] ἕτ. τρ. om. — [4] κονδυλώσει. — [5] τά om. — [6] ἐγχωρέει. — [7] ἐνδίδου. — [8] τῇ. — [9] ἢ τῷ κονδύλῳ καὶ τῷ δ. — [10] μετά. — [11] ἐκ. — [12] λαθάνει. — [13] κύεσθαι. — [14] ὅσον. — [15] ῥαδίως. — [16] διηγόμενος.

πασσον ceteri, nisi quod Z. ἐπιπάσσων fert; — ὀπτοῦ καὶ τετριμμένου λείου ceteri, in quibus fortasse vestigium lectionis ἄνθεος pro ἄνθος, quod tamen si serves, legendum est quod exhibui.

προστίθει — ἐπίδει.] δακτύλῳ vulg., δακτυλίῳ Corn., Foës. in adn., Littr.

4. ἕτερος — σαρκός.] ἕτ. τρ. om. F.; — ἄλλος Parr. 5.; — post τρόπος addunt ἰήσιος. ἰάσεως nonnulla mss.; — τῇ κονδυλώδει vulg., verum τῇ κονδυλώσει, uti V., Parr. 5.; sed hoc ferri nequit; repono κονδυλῶδές τι; — ἢν Parr. 6. Littr., εἰ vulg.

καθίσας — ἔνδοθεν.] Qui ὅλμων ex Hesychio, Schol. Aristophanis de corporis parte h. l. intelligunt, falluntur; — ἐκχωρέειν vulgo, ἐκχωρέον H. K., Littr.

ἢν γοῦν — ποιέων.] ἐνδίδοι vulg., ἐνδιδῷ Littr.; — τῇ pro τῷ, uti V., edd. antt., Parr. 7., καλυπτρίδι J.; — ἢ τὸ κονδ. vulg., ἤ omm. Foës. in adn., Lind., Littr.; — λανθάνει K., λανθάνῃ Lind.

ἐπὴν — ἴησις.] ῥέεσθαι (δύεσθαι J., κύεσθαι Ald., mss. 7. apud Littr.) δρόμους αἵματος vulg.; — ῥέεσθαι per se mirum, sed ῥεῖται δρόμος magis mirum etiam; in ῥέεσθαι latet φέρεσθαι, quod exhibeo; — τάχα vulgo, ταῦτα pro eo D. H. I. K. Q.', Lind., Littr.; equidem vulgatam praefero, sed δέ adiicio de meo; — ῥηϊδίως vulgo, ῥηδιως J.; de meo ῥηΐων scripsi.

5. ἢν δὲ — ὀρθῶς.] ἀνώτερος vulg., ἀνωτέρω Littr.; — διηγούμενος vulg., διοιγόμενος D., sec. m. in H., Littr.

λύνει τὴν κονδύλωσιν, ξυναγόμενος δὲ πάλιν δείκνυσι ὀρθῶς. Ἀφαιρέειν δὲ χρὴ, ἐλλεβόρῳ μέλανι ὑπαλείφοντα τὸν [1] *δακτύλιον· ἔπειτα τριταῖον οἴνῳ κλύζειν αὐστηρῷ. Τὸ δὲ αἷμα, ὅταν ἀφέλῃς τὴν κονδύλωσιν, ὅτι οὐ ῥέει μὴ θαυμάζειν· οὐδὲ γὰρ ἢν ἐν τοῖσι ἄρθροισι διατάμῃς τὰς χεῖρας ἢ τὰ σκέλεα, οὐ ῥεύσεται αἷμα· ἢν δ' ἄνωθεν ἢ κάτωθεν τάμῃς τῶν ἄρθρων, εὑρήσεις* [2] *κοίλας φλέβας καὶ αἱμόρρους καὶ χαλεπῶς ἂν ἴσχοις εὐπόρως. Οὕτω καὶ* [3] *τὴν ἐν τῇ ἕδρῃ αἱμορροΐδα, ἢν μὲν ἄνωθεν ἢ κάτωθεν τάμῃς τῆς ἀφαιρέσιος τοῦ κονδυλώματος, αἷμα ῥεύσεται·* [4] *ἢν δὲ αὐτὴν ἀφέλῃς τὴν κονδύλωσιν ἐν τῇ προσφύσι, οὐ ῥεύσεται. Εἰ μὲν οὖν οὕτω* [5] *καθίσταται· — εἰ δὲ μὴ, καῦσαι, φυλασσόμενος ὡς μὴ ἅψῃ τῷ σιδήρῳ, ἀλλ' ἐγγὺς προσφέρων τὰ σιδήρια ἀποξηραίνειν καὶ προστιθέναι τὸ τοῦ χαλκοῦ ἄνθος τὸ ἐν τῷ οὔρῳ.*

decipi. Ubi enim aperitur, tuberculum exaequat, ubi vero rursus in se adducitur, recte conspicuum facit. Auferre autem convenit, veratro nigro ano illito, tum tertio die vinum austerum ex infuso immittendum. At vero ubi tuberosam eminentiam sustuleris, si sanguis non effluat, mirandum non est. Neque enim si in articulis manus aut crura seces, sanguis effluit; at si supra aut infra articulos sectio fiat, cavas et sanguine manantes venas deprehendes, neque facile prompte sistas. Eodem modo si venam in sede sanguinem fundentem supra quidem aut infra detractum tuberculum seces, sanguis effluet. Sin vero ipsam tuberculosam eminentiam, ubi annectitur, abstuleris, non profluet. Si igitur hoc pacto quidem ad pristinum statum reducitur, bene se res habet; sin minus, ustio adhibenda ea cautione, ut ne ferro attingatur, sed prope admotis ferramentis exsiccetur et flos aeris ex urina adhibeatur.

ς'. [6] *Ἕτερος τρόπος ἰήσιος αἱμορροΐδων. Καυστῆρα* [7] *ποιήσασθαι οἷον καλαμίσκον φραγμίτην· σιδήριον δὲ* [8] *ἐναρμόσαι καλῶς ἁρμόζον· ἔπειτα τὸν αὐλίσκον ἐνθεὶς ἐς τὴν ἕδρην, διαφαῖνον τὸ σιδήριον καθιέναι καὶ πυκνὰ ἐξαιρέειν, ἵνα μᾶλλον ἀνέχηται θερμαινόμενος· καὶ οὔτε ἕλκος ἕξει ὑπὸ τῆς θερμασίης, ὑγιέα τε ξηρανθέντα τὰ φλέβια.*

6. Alius venarum sanguinem in ano fundentium curationis modus. Cauterium parare oportet in modum parvae arundinis vallatoriae, phragmitem vocant, et in ipsum ferramentum probe congruens accommodare, deinde immissa in sedem fistula candens ferramentum in eam demittere crebroque eximere, quo magis calorem toleret; et neque ulcus habebit ex calore, sanae autem erunt venae exsiccatae.

ζ'. Ἢν δὲ βούλῃ μήτε καίειν, μήτε ἀποτάμνειν, προκαταιονήσας ὕδατι πολλῷ θερμῷ καὶ ἐκστρέψας τὴν ἕδρην, σμύρναν τρίψας λείην καὶ [9] *κηκίδα, καὶ στυπτηρίην Αἰγυπτίην κατακαύσας, ἓν καὶ ἥμισυ πρὸς τἄλλα, καὶ μελαντηρίης ἄλλο τοσοῦτον, τούτοισι ξηροῖσι χρῆσθαι· ἡ δὲ αἱμορροῒς τούτοισι τοῖσι φαρμάκοισι ἀποστήσεται, ὥσπερ σκύτος κατα-*

7. Quodsi neque ustio, neque sectio placeat, sedes multa et calida prius fovetur et evertitur, tum myrrha probe laevigata, galla et alumen Aegyptium ustum, quod reliqua sua parte et dimidia superet, et melanteriae tantundem accipiendum, iisque aridis utendum. Sub his medicamentis vena sanguinem fundens velut corium ustulatum decidit, eademque facienda

[1] *δάκτυλον.* — [2] *φλ. κοίλας.* — [3] *τὴν ἐν* om. — [4] *ἢν — ῥεύσεται* om. — [5] *καθίστανται.* — [6] Inscriptio om. — [7] *χρὴ ποιήσασθαι.* — [8] *ἐναρμόσαις.* — [9] *κηκίδια.*

ἀφαιρέειν — αὐστηρῷ.] *δάκτυλον* vulg., *δακτύλιον* interpretes; — *τριταῖον* H., Littr., *τριταίῳ* vulg.

τὸ δὲ αἷμα — εὐπόρως.] *ἄρθροισι τάμῃς* J.; — *διατάμῃς τῶν* D.; — *φλέβας κοίλας* Parr. 4.

εἰ — οὔρῳ.] *ἢν* vulgo, *εἰ* de coniectura propter *καθίσταται*, qua de re iam Littr. monuit; — post *ἵσταται* vulgo *καλῶς ἂν ἔχοι*, nempe aposiopesin scriptoribus his quoque usitatam explevit recentior manus, quare emblema sustuli; — *εἰ δὲ μή* J., *ἢν δὲ μή* ceteri.

6. *ἕτερος — φλέβια.*] *ἕτ. τρ. ἰησ. αἱμ.* om. K.; — *τῆς ἰήσιος* Q.', Lind., *ἰήσιος αἱμ.* Z.; — *καυτῆρα* nonnulli codd. Foësii, Lind., vide Gal. Gl. in voce.

7. *ἢν δὲ — ἀφανίσῃς.*] *ἐκτρέψας* vulg., *ἐκστρέψας* D. H. K.; — *τοσοῦτο* Parr. 5.

κεκαυμένον· ταῦτα ποιέειν μέχρις ἂν πάσας ἀφανίσῃς. Καὶ *χαλκίτιδος ἥμισυ κεκαυμένου τωὐτὸ ἀπεργάζεται.*

η'. Ἢν *δὲ βούλῃ βαλάνοισι ἰῆσθαι, σηπίης ὄστρακον, μολιβδαίνης τρίτον μέρος, ἄσφαλτον, στυπτηρίην, ἄνθος ὀλίγον, κηκίδα, χαλκοῦ ἰὸν ὀλίγον, τούτων μέλι ἑφθὸν καταχέας, βάλανον ποιήσας μακροτέρην προστίθει, μέχρις ἂν ἀφανίσῃς.*

θ'. [1]*Γυναικείην αἱμορροΐδα ὧδε θεραπεύειν.* Πολλῷ *ὕδατι θερμῷ αἰονήσας, — ξύνεψε δὲ τῷ θερμῷ τῶν εὐωδέων, — τρίψας μυρίκην, λιθάργυρον* [2]*ὀπτὴν, καὶ κηκίδα, οἶνον λευκὸν παράχεε καὶ ἔλαιον καὶ χηνὸς στέαρ, τρίψας* [3]*ὁμοῦ πάντα, διδόναι, ὁκόταν αἰονηθῇ,* [4]*διαχρίσασθαι· αἰονᾶν δὲ καὶ τὴν ἕδρην ἐξώσας ὡς μάλιστα.*

donec omnes dissipaveris. Idemque efficit chalcitidis ustae dimidium.

8. At si per glandes curationem instituas, sepiae testa, plumbaginis tertia pars, bitumen, alumen, floris aeris exiguum, galla, aeruginis modicum commiscentur; his melle cocto affuso, glans oblongior conficitur, supponitur donec deleantur.

9. Vena sanguinem fundens in mulieris ano sic curatur. Multa calida, in qua ex odoratis aliquid incoxeris, perfunditur, tum myrica trita, spuma argenti usta et galla additur, vino albo, oleo et anserino adipe affuso omnia simul conteruntur, post perfusionem illinenda dantur. Sedes autem quam maxime educta perfunditur.

[1] Inscriptio deëst. — [2] *ὀπτόν*. — [3] *πάντα ὁμοῦ*. — [4] *διαχρήσεσθαι*. tum *αἰονᾶν* — *μάλιστα* abest.

8. *ἢν δὲ — ἀφανίσῃς.*] *βαλανίοισι* Ald., Parr. 6.

9. *γυναικείην — μάλιστα.*] *γυναικείην — θεραπεύειν* om. K.; — *συνέψαι* J.; — *ἐν τῷ θερμῷ* vulg., otiosum *ἐν* omitto; — *πάντα ὁμοῦ* Parr. 6.; — [*καὶ*] *ὁκόταν* Lind.; — *διαχρήσασθαι·* vulg., *διαχρίσασθαι* Parr. 3., *διαχρίεσθαι* D. H.; — *ἐξεώσας* D. Non credo *ἕδρην* h. l. esse *vulvam*, quod Manialdus voluit; parum certi sumus de inscriptionibus in his librorum capitulis, quum fere omnes, nisi ad unum omnes, sint a recenti manu librariorum; — sed etiamsi re ipsa haemorrhoïdes mulierum h. l. spectentur, non ideo *ἕδρη* est *vulva!*

ΠΕΡΙ ΣΤΡΙΓΓΩΝ.

α'. Σύριγγες δὲ γίγνονται μὲν ὑπὸ φλασμάτων καὶ φυμάτων, γίγνονται δὲ [1]καὶ ὑπὸ ἐρεσίης καὶ ἱππασίης, ὅταν ἀθροισθῇ ἐν τῷ γλουτῷ αἷμα πλησίον τῆς ἕδρης· σηπόμενον γὰρ νέμεται ἐς τὰ μαλθακὰ, ἅτε ὑγροῦ ἐόντος τοῦ ἀρχοῦ καὶ τῆς [2]σαρκὸς μαλθακῆς, ἐν ᾗ νέμεται, ἔστ' ἂν τὸ φῦμα ῥήξῃ καὶ κάτω ἐς τὸν ἀρχὸν διασήψῃ. Ἐπὴν δὲ τοῦτο γένηται, συριγγοῦται, καὶ ἰχὼρ ῥέει, καὶ κόπρος καὶ φῦσα καὶ βδελυγμίη πολλή. Ὑπὸ μὲν [3]οὖν τῶν φλασμάτων γίγνεται, ὁκόταν [4]τι τῶν περὶ τὸν ἀρχὸν χωρίων φλασθῇ ὑπὸ πληγῆς, ἢ ὑπὸ πτώματος, ἢ ὑπὸ τρώματος, ἢ ἱππασίης, ἢ ἐρεσίης, ἢ ὅσα τοιουτότροπά ἐστι· ξυνίσταται γὰρ αἷμα, σηπόμενον δὲ ἐκπυΐσκεται· ὑπὸ δὲ τοῦ ἐκπυισκομένου πάσχει ἅπερ ἐπὶ τῶν φυμάτων εἴρηται.

β'. Πρῶτον μὲν οὖν ὅταν τι τοιοῦτον αἴσθῃ φυόμενον φῦμα, τάμνειν ὡς τάχιστα ὠμὸν πρὶν ἢ διαπυῆσαι ἐς τὸν ἀρχόν.

γ'. Ἢν δὲ νοσέοντα ἤδη τὴν σύριγγα παραλάβῃς, λαβὼν σκορόδου φύσιγγα νεαρὴν, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον, τὰ σκέλεα διαγαγὼν, τὸ μὲν [5]ἔνθα, τὸ δὲ ἔνθα, τὴν

DE FISTULIS.

1. Fistulae partim quidem ex collisis, partim ex tuberculis fiunt. Oriuntur etiam vel ex remigatione, vel equitatione collecto in natibus iuxta sedem sanguine. Putrescens enim quae mollia sunt depascitur, cum nimirum anus humidus sit et caro mollis, in qua pabulatur, dum tuberculum rumpatur, infraque ad rectum intestinum computrescat. Quod cum fit, in fistulam abit, sanie manat, indeque stercus et flatus, teterque foetor copiose effluit. Ex collisione autem nascitur fistula, ubi ex ictu aut casu vel vulnere, vel equitatione aut remigatione, aut aliis huiusmodi rebus, pars aliqua circa rectum intestinum colliditur. Collectus enim sanguis et putrescens suppurat et ex suppuratione quae de tuberculis dicta sunt, accidunt.

2. Ante omnia igitur cum eiusmodi tuberculum suboriri senseris, antequam ad rectum intestinum suppuratio perveniat, crudum quam celerrime secare oportet.

3. Quodsi iam factam fistulam in manus sumpseris, homini supino reclinato cruribus huc atque illuc reductis, sumptum allii recentem caulem, dum ad aliquid offendat, immittere

[1] καί om. — [2] γαστρός. — [3] οὖν om. — [4] τι περὶ τὸν ἀρχὸν χωρίον. — [5] ἔνθεν — ἔνθεν.

1. σύριγγες — διασήψῃ.] δέ post σύριγγες ferunt Parr. 5. et V.; in libello, qui pars est operis maioris vetustioris argumenti chirurgici, illud δέ non repudio; — καί ante ὑπὸ ἐρεσίης om. J.; — εἰρεσίης Parr. 5., V.; — τοῦ τε ἀρχοῦ ceteri; τε abiiciendum est visum.

ἐπὴν — πολλή.] ἰχωρέει vulgo, ὑποχωρέει L., ἰχωρροέει Lind.; cum Littréo sequor K.; — καὶ κόπρος ῥεῖ δι' ἑωυτῆς (αὐτῆς Littr.) vulg.; sed illud ῥεῖ δι' αὐτῆς abundat post ἰχὼρ ῥέει, emblema autem alienum esse docet ipsum δι' αὐτῆς, quod quorsum referatur, non habet: si quis ex συριγγοῦται repetere cogitatione, ut aiunt, velit τῆς σύριγγος, quaerere audeo, num ita re vera scripserint non solum Graeci, sed alii quivis; — itaque delevi emblema.

ὑπὸ — εἴρηται.] χωρίον Lind., cf. Littr., V.; — θλασθῇ J.; — ἢ ἐρεσίης om. Lind., εἰρεσίης Parr. 3.

3. ἢν δὲ — κυάθους.] νοσέειν σύριγγα h. l. dicitur, quemadmodum νοσεῖν νόσον; — μετρῆσαι δέ D. H.; — λεπτοτάτης Ald.; — ὕδωρ ἐπιχέειν D.; — ἐπὶ τέσσαρας J.; — post κυάθους legi solet ἐν τούτῳ κάθαιρε καὶ τὰς ἀσκαρίδας. ὁκόσοι δ' ἂν καταλειφθῶσι ἀθεράπευτοι θνήσκουσι. Correxeris

φύσιγγα καθιέναι ἔστ' ἂν προσκόψῃ, μετρῆσαί τε τὸ βάθος τῆς σύριγγος τῇ φύσιγγι, καὶ σεσέλιος δὲ ῥίζαν κόψας ὡς λεπτοτάτην, ὕδωρ ἐπιχέας, βρέχειν τέσσαρας ἡμέρας· καὶ προνηστεύσας πινέτω μέλιτι παραμίσγων τὸ ὕδωρ κατὰ τρεῖς [1] *κυάθους. Ἔπειτα ὀθόνιον βύσσινον* [2] *τιθυμάλλου ὀπῷ τοῦ μεγάλου δεύσας, καταπάσσων ἄνθος χαλκοῦ ὀπτὸν τετριμμένον, στροβίλην ποιήσας ἴσην τῇ σύριγγι τὸ μῆκος,* [3] *ῥάμμα διεὶς δι' ἄκρας τῆς στροβίλης καὶ αὖθις διὰ τῆς φύσιγγος, ὕπτιον κατακλίνας τὸν ἄνθρωπον, κατοπτῆρι κατιδὼν τὸ διαβεβρωμένον τοῦ ἀρχοῦ,* [4] *ταύτῃ τὴν φύσιγγα διεῖναι· καὶ ὁκόταν παρακύψῃ ἐς τὸν ἀρχὸν, ἐπιλαμβανόμενος ἕλκειν, ἄχρις οὗ ἡ στροβίλη διωσθῇ καὶ ἰσωθῇ τῷ τε ἄνω καὶ τῷ κάτω· ἐπὴν δὲ ἐσωσθῇ, βάλανον ἐνθεὶς κερατίνην ἐς τὸν ἀρχὸν, γῇ διαχρίσας σμηκτρίδι τὸν ἀρχὸν,* [5] *ἐᾶν· ἐπὴν δὲ ἀποπατέῃ, ἐξαιρέειν καὶ αὖθις προστιθέναι, ἕως ἂν πεμπταίη γένηται· ἕκτῃ δὲ ἡμέρῃ ἐξαιρέειν, ἕλκων τὴν στροβίλην ἔξω τῆς σαρκός· καὶ τρίψαι* [6] *στυπτηρίην μετὰ ταῦτα καὶ πλήσας τὴν βάλανον καὶ ἐς τὸν ἀρχὸν ἐμβαλὼν, ἐᾶν ἄχρις* [7] *οὗ ἡ στυπτηρίη ὑγρὴ γένηται· τὸν δὲ ἀρχὸν σμύρνῃ ἀλείφειν, ἄχρις οὗ ἂν δοκέῃ ξυμπεφυκέναι.*

oportet, eoque fistulae altitudinem metiri. Tum seselis radice quam tenuissime contrita quatuor diebus aqua affusa macerata, admixto melle aquam ad tres cyathos ieiuno propinato. Post haec byssinum linteum magni tithymalli succo imbutum, usto aeris flore et trito aspersum, in collyrii formam fistulae longitudini aequalem intorque, filo per extremum linamentum rursusque per summum caulem traiecto, homineque supino reclinato, ubi adhibito instrumento ad sedem diducendum idoneo, quod *κατοπτήρ* dicitur, in ano quid perrosum sit conspexeris, eo allii caulem demittito atque ubi in anum demissus fuerit, prehensum trahito donec linamentum impulsum superiori atque inferiori parti adaequatum fuerit. Quo intro impulso, glandem corneam in anum inditam, podice creta cimolia illito, ibi sinito, cumque desidendi cupido affuerit, eximito, rursusque immittito in quintum diem usque. Sexto vero eximito, foras linamento e carne educto, posteaque glandem alumine trito impletam in anum immissam, ibi dum alumen liquescat sinito. Podicem vero, quoad coaluisse videatur, myrrha illinito.

δ'. [8] *Ἑτέρη θεραπείη. Ὠμόλινον λαβὼν ὡς λεπτότατον, ξυμβάλλειν ὅσον σπιθαμιαῖον πεντάπλοον, καὶ ξυμπεριλαβεῖν ἱππείην τρίχα· ἔπειτα ποιησάμενος μήλην κασσιτερίνην ἐπ' ἄκρου τετρημένην, ἐνείρας ἐς τὴν μήλην τὴν ἀρχὴν τοῦ ὠμολίνου ξυμβεβλημένου, καθιέναι τὴν μήλην ἐς τὴν σύριγγα, καὶ ἅμα τῆς ἀριστερῆς χειρὸς τὸν δάκτυλον τὸν λιχανὸν καθιέναι ἐς τὴν ἕδρην· ἐπὴν δὲ ψαύσῃ ἡ μήλη τοῦ δακτύλου, ἄγειν ἔξω τῷ δακτύλῳ, ἀνακάμψας τῆς μήλης τὸ ἄκρον*

4. Alia curatio. Linum crudum quam tenuissimum quincuplex palmi longitudine in unum complicatum cum eoque una comprehensam setam equinam sumito. Facto deinde specillo stanneo extrema parte pertuso, inserto in specillum principio lini complicati, specillum in fistulam immittere oportet simulque digitum indicem manus dextrae in sedem immittere. Atque ubi specillum digitum contigerit, id extrema parte inflexum, unaque lini principium, quod per specillum traiectum est, digito educitur et

[1] *καγάθους ἐν τούτῳ* (primum scriptum fuisse videtur *καθάθους*. — [2] *τιθυμάλλου ὀποῦ.* — [3] *ῥάμμα — φύσιγγος* om. — [4] *ταύτην.* — [5] *πεμπταῖα.* [6] *στυπτηρίη.* — [7] *οὗ ἂν δοκέῃ ξυμπεφ.* omissis intermediis. — [8] *ἕτ. θερ.* om., sed spatium vacuum pro inscriptione.

τοῦτο καθαίρει καὶ τὰς ἀσκ.; sed tum hoc, tum quod sequitur *ὁκόσοι δ' ἂν κ. τ. λ.* tam parum cohaerent cum vicinis, ut mihi omnia ista pro emblemate alieno abigenda sint visa.

ἔπειτα — ξυμπεφυκέναι.] *τιθυμάλου* D. H. K.; — *ὀπῷ* H., Littr.; *ὀποῦ* vulg.; — *τῇ* ante *σύριγγι* omm. D. H.; — *στροβίλου* nonnulla mss.; — *τρίψας στυπτηρίη* D. H. I.; — *ξυμπεφωνηκέναι* vulg, meliorem scripturam e mss. dedit Littr.

4. *ἑτέρη — ἑωυτοῦ.*] *ἕτ. θερ.* om. J.; — *ποιησάμενον* D.; — *ἔξω* omm. Ald., G.; — *ἐπιδῆσαι* vulgo, *ἀποδῆσαι*

καὶ τὴν ἀρχὴν τὴν ἐν τῇ μήλῃ· καὶ τὴν μὲν μήλην πάλιν ἐξαιρέειν, τοῦ δὲ ὠμολίνου τὰς ἀρχὰς ἀφάψαι δὶς ἢ τρίς· καὶ τὸ λοιπὸν τοῦ ὠμολίνου [1] ἐπιστρέψας ἀποδῆσαι πρὸς τὸ [2] ἅμμα· ἔπειτα κελεύειν ἀπελθόντα διαπρήσσεσθαι τὰ ἑωυτοῦ. Ὁκόσον δὲ, σηπομένης τῆς σύριγγος, χαλᾶται τοῦ ὠμολίνου, τοῦτο ἐπιτείνειν καὶ ἐπιστρέφειν αἰεὶ καθ' ἑκάστην ἡμέρην· ἢν δέ σοι τὸ ὠμόλινον διασαπῇ πρόσθεν ἢ τὴν σύριγγα διαβρωθῆναι, πρὸς τὴν τρίχα προσάψας ἕτερον ὠμόλινον διεῖναι καὶ ἀφάψαι· — ἡ γὰρ θρὶξ διὰ τοῦτο παραβάλλεται τῷ ὠμολίνῳ ὅτι ἄσηπτός ἐστι· — ἐπὴν δὲ διασαπῇ ἡ σύριγξ, τάμνεσθαι χρὴ σπόγγον [3] μαλθακὸν ὡς λεπτότατον προστεθέντα· ἔπειτα ἐς μὲν τὴν σύριγγα ἄνθος χαλκοῦ ὀπτὸν [4] συχνὸν τῇ μήλῃ ἐνθεῖναι· τὸν δὲ σπόγγον ἀλεῖψαι μέλιτι, καὶ ὑποβαλὼν [5] μέσον τῷ λιχανῷ δακτύλῳ τῆς ἀριστερῆς χειρὸς ὦσαι πρόσω, [6] καὶ προσθεὶς ἕτερον σπόγγον ἀναδῆσαι τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ ἐπὶ τῇσι αἱμορροΐσι· τῇ δὲ αὔριον ἀπολύσας [7] περινίψαι ὕδατι θερμῷ, καὶ τῷ δακτύλῳ τῆς ἀριστερῆς χειρὸς πειρᾶν διακαθαίρειν τὴν σύριγγα καὶ αὖθις πάλιν τὸ ἄνθος ἐπιδῆσαι· ταῦτα ποιέειν ἑπτὰ ἡμέρας, ἐν ταύτῃσι γὰρ μάλιστα ὁ χιτὼν τῆς σύριγγος ἐκσήπεται· τὸ δὲ λοιπὸν, ἔστ' ἂν [8] ὑγιασθῇ, τούτῳ ἐπιδεῖν· κατὰ γὰρ τοῦτον τὸν τρόπον ὑπὸ τοῦ σπόγγου διαναγκαζομένη καὶ [9] ἀναπτυσσομένη ἡ σύριγξ οὔτε πάλιν ξυμπέσοι ἄν, οὔτε τὸ μὲν αὐτῆς [10] ὑγιασθείη ἄν, τὸ δὲ πάλιν ξυμπληρωθείη, ἀλλ' ἐν ἑωυτῇ πᾶσα ὑγιὴς ἔσται. Ἐν τῇ θεραπείῃ δὲ προσαιονᾶν ὕδατι πολλῷ θερμῷ καὶ λιμοκτονέειν.

ε'. Ἢν δὲ μὴ διαβεβρώκῃ ἡ σύριγξ, προμηλώσας μήλῃ, τέμνε ἕως ἂν διέλθῃ καὶ

specillum quidem iterum extrahitur, lini vero extrema bis terve connectuntur et quod dependet de lino intortum ad nodum alligatur. Postea aeger ad sua negotia dimittitur. At eatenus linum singulis diebus intendere et intorquere semper oportet, quatenus putrescente fistula laxetur. Quodsi tibi antequam fistula exedatur linum crudum computrescere videatur, alterum setae adaptatum linum crudum immittere oportet et connectere, — seta enim eo fine lino crudo adiicitur, quod minime putrescat. At postquam fistula computruit, spongiam mollem quam tenuissime incisam apponere convenit, tum copiosum aeris usti florem per specillum quidem in fistulam iniicere. Spongiam vero melle illitam et media sui parte appositam digito indice manus sinistrae protrudere oportet et apposita altera spongia eadem ratione deligare, quemadmodum in haemorrhoïdibus fit. Postridie vero soluta deligatione loci abluendi sunt aqua calida et digito manus sinistrae tentare oportet, ut fistulam expurges, quo facto iterum florem aeris adligare oportet. Idque septem diebus faciendum. Intra hos enim fere dies fistulae tunica consumitur. In reliquo, dum sanescat, hic deligationis modus asservandus. Hac enim ratione fistula per spongiam coacta et expansa, neque rursus committetur, neque hac quidem sui parte curabitur, hac vero rursus complebitur, sed universa sanescet. In hac vero curatione copiosa calida perfundere iuvat et inediam imperare.

5. Quodsi fistula minime exesa fuerit, demisso ante specillo, ferro quoad penetrarit ape-

[1] διαστρέψας. — [2] ῥάμμα. — [3] μαλθακόν. — [4] ἄχνον. — [5] μέσω. — [6] καὶ ὀπίσω καί. — [7] περιθεῖναι. — [8] ὑγιανθῇ. — [9] ἀναπεπταμένη. — [10] ὑγιανθείη.

de meo; — post ἑωυτοῦ addit ἄλλη θεραπείη vulg., sed omm. H. I. J. K., Littr.

ὁκόσον — ἔσται.] ὁκόσον δή ceteri, de meo δέ scripsi; — τε καὶ ἐπιστρέφειν J.; — σπόγγον μαλακόν vulg., μαλθακόν dedi cum Parr. 6., Voss.; — προστιθέντα K.; — μέσω vulg., μέσον. quae unice vera lectio, Vid. Vid., Littr. — τὸν ὠυτὸν (ἑωυτόν alii) τρόπον vulgo, τὸν αὐτόν Littr.; — περινίψαι Littr. de suo pro vulgato περιθεῖναι; — cum quo consentio, sed insuper σπόγγῳ, quod ante δακτύλῳ inferri solet, delendum erat; — χερός H. K.; — ἐκσήπεται Parr. 6., Littr., σήπεται; — ὑγιασθῇ et ὑγιασθείη de meo pro vulgg. ὑγιανθῇ et ὑγιανθείη.

5. ἢν — ἔμπροσθεν.] ἡμέραις ἐᾶν J., qui paulo ante ἐᾶν non habet; — ἄλφιτα J.; — κατάπασσε cett., sed κατάπλασσε hîc requiritur.

ἐπίπασσε ἄνθος χαλκοῦ, καὶ ἐὰν ἐπὶ πέντε ἡμέρας· [1] *κατάχεε δὲ ὕδωρ θερμόν· καὶ ἐπάνω ὕδατι Φυρῶν ἄλΦιτον κατάπλασσε, καὶ Φύλλα σεύτλων ἐπίδει· ἐπὴν δὲ ἐκπέσῃ τὸ ἄνθος τοῦ χαλκοῦ καὶ καθαρὸν ᾖ τὸ ἕλκος τῆς σύριγγος, ἰῶ ὥσπερ τὴν ἔμπροσθεν.*

ς'. Ἢν δὲ ἐν χωρίῳ ᾖ, ὃ μὴ οἷόν τε [2] *τάμνειν, βαθεῖα δὲ καὶ ἡ σύριγξ, ἄνθεϊ χαλκοῦ καὶ σμύρνῃ καὶ νίτρῳ, οὔρῳ διεὶς, κλύζειν· καὶ ἐς τὸ στόμα τῆς σύριγγος μολίβδιον ἐντιθέναι, ὅπως μὴ ξυμΦύηται· κλύζειν δὲ πτεροῦ σύριγγα προσδήσας πρὸς κύστιν καὶ καθεὶς ἐς τὴν σύριγγα, πρὸς τοῦτο διάγειν* [3] *κλύζων. Ὑγιὴς δὲ οὐ γίγνεται, ἢν μὴ τμηθῇ.*

ζ'. Ἢν ὁ ἀρχὸς Φλεγμήνῃ, καὶ ὀδύνη ἔχει καὶ πυρετὸς, καὶ ἐς ἄΦοδον θαμινὰ καθίζει, καὶ οὐδὲν ὑποχωρέει, καὶ ὑπὸ τοῦ Φλέγματος δοκέει ἐξιέναι ἡ ἕδρη, καὶ ἐνίοτε στραγγουρίη ἐπιλαμβάνει. Τοῦτο τὸ νόσημα γίγνεται, ὅταν Φλέγμα ἐς τὸν ἀρχὸν καταστηρίξῃ ἐκ τοῦ σώματος. ΞυμΦέρει δὲ τὰ θερμά· δύναται γὰρ τάδε προσΦερόμενα λεπτύνειν καὶ ἐκτήκειν τὸ Φλέγμα, καὶ ἅμα [4] *τῷ δριμέϊ τὸ ἁλμυρὸν ἐξυδατοῦν, ὥστε μὴ εἶναί τι καῦμα μηδὲ δῆξίν τινα ἐν τῷ ἐντέρῳ. Θεραπεύειν οὖν χρὴ ὧδε· καθίζειν ἐς ὕδωρ θερμὸν καὶ τρίψαντα τοῦ κόκκου τοῦ Κνιδίου ἑξήκοντα κόκκους διεῖναι ἐν οἴνου κοτύλῃ καὶ ἐλαίου ἡμικοτυλίῳ· χλιήνας κλύσον. Ἄγει δὲ ταῦτα Φλέγμα καὶ κόπρον. Ὅταν δὲ μὴ ἐν τῷ ὕδατι καθίζῃ, ᾠὰ ἑψήσας ἐν οἴνῳ μέλανι εὐώδεϊ προστιθέναι πρὸς τὴν ἕδρην, ὑποπέτασάς* [5] *τι κάτωθεν θερμὸν, ἢ κύστιν ὕδατος θερμοῦ πλήσας, ἢ λίνου σπέρμα πεΦωσμένον ἀλέσας, τρίψας καὶ μίξας ἴσον*

rienda et aeris flore respergenda et per dies quinque sinenda. Tum aqua calida affundenda et farina aqua subacta superimponenda foliaque betae alliganda. Atque ubi aeris flos deciderit, purumque fistulae ulcus fuerit, eadem quae prius curatio adhibenda.

6. Sin locus sectionem ferre non potest alteque penetret fistula, flore aeris, myrrha et nitro ex urina dilutis colluitur et in fistulae osculum plumbeum aliquid immittitur, ut ne coalescat. Abluere autem fistulam convenit per pennam vesicae alligatam et in fistulam demissam, ut per hanc infusum transmittatur. Verum non nisi sectione sanescit.

7. Si vero rectum intestinum inflammatione tentetur, dolor et febris tenet crebroque est desidendi cupiditas, nihil tamen deiicit, prae inflammatione videtur sedes procidere interdumque urinae stillicidium prehendit. Hoc morbi genus oritur, cum pituita ex corpore in rectum intestinum incubuerit. Conferunt autem calida, quae certe pituitam extenuare et eliquare valent, simulque acore suo salsum in aquosum humorem solvere ita ut neque aestus, neque morsus aliquis in intestino sentiatur. Haec igitur est curatio. Aegro in aqua calida desidere iusso, grani Cnidii sexaginta grana trita vini hemina diluuntur adiectaque olei dimidia hemina, tepido alvus subluitur. Haec pituitam et stercus educunt. Ubi vero in aqua non desidet, ova vino nigro odorato incocta ad sedem admoventur inferne substrato calido aliquo, vel vesica aqua calida referta aut lini semine tosto, trito et in tenuissimum pulverem redacto cum pari farinae modo, vino nigro odorato et oleo

[1] *κατάχεαι* (sic). — [2] *τάμνειν* om. — [3] *κλύζειν*. — [4] *τὸ δριμύ*. — [5] *κάτω θερμόν* sine *τι*.

6. *ἢν — τμηθῇ.*] *τάμνειν* ex solo H. Littréus, ceteri omm.; — *νίτρω* D. per $\overline{\lambda}$ vulgo.

7. *ἢν — ἐπιλαμβάνει.*] Vulgo *ἔχῃ, καθίζῃ. ὑποχωρέῃ, δοκέῃ, ἐπιλαμβάνῃ* et *μηδέν* codd., ubi ego *οὐδέν* scripsi; ferunt tamen *ἔχει* Ald., G. Z., Lind. — Librarii apodosin huius periodi facientes periodum sequentem subiunctivos intulerunt et *μηδέν*; sed protasis huius periodi est *ἢν ὁ ἀρχὸς Φλεγμήνῃ*, neque quidquam amplius. Ad hanc lucem locum descripsi.

ξυμΦέρει — ἐντέρῳ.] *ταῦτα* pro *τάδε* J.; — *τὸ καῦμα* ceteri *τι καῦμα* de meo.

θεραπεύειν — κλύσον.] ante *θεραπεύειν* H. *θεραπείη*.

ὅταν — κεκρημένῳ.] *κάτω* J., uti V.; — *ὡς θερμότατον* D. I. H. K. Q.'; — *ἢ στυπτηρίην* ceteri, *καὶ στυπτ.* de meo. Tum *τετριμμένην, ἔπειτα πλάσαι* (*πλάσας* D.) *βάλανον μακρὴν καὶ χλιαίνων πρὸς πυρὸς* (*πῦρ* H.) *καταπλάσσειν τε καὶ πυριῆν*. Textum ex Littréi emendatione descripsi, nisi quod cum H. *πρὸς πῦρ* lego. Verum iam ha-

ἄλητον ἐν οἴνῳ μέλανι καὶ εὐώδεϊ καὶ ἐλαίῳ, καταπλάσσειν ὡς [1]θερμοτάτῳ· ἢ κριθὰς μίξας καὶ στυπτηρίην Αἰγυπτίην τετριμμένην [2]καταπλάσσειν τε καὶ πυριῆν· ἔπειτα [3]πλάσας βάλανον μακρὴν καὶ χλιαίνων πρὸς [4]πῦρ ἐντιθέναι ἐς τὴν ἕδρην· τὰ ἔξωθεν δὲ κηρωτῇ περιαλεῖψαι καὶ καταπλάσσειν σκορόδοισι ἐφθοῖσι ἐν οἴνῳ μέλανι κεκρημένῳ. Ἐπὴν δὲ ἐξαιρέῃς, ἐς ὕδωρ θερμὸν ἐφίζειν καὶ ξυμμίξας χυλὸν στρύχνου καὶ χηνὸς καὶ ὑὸς στέαρ καὶ χρυσόκολλαν καὶ ῥητίνην καὶ κηρὸν λευκὸν, ἔπειτα διατήξας ἐν τῷ αὐτῷ καὶ ξυμμίξας, τούτοισι ἐγχρίειν καὶ, ἕως ἂν φλεγμαίνῃ, καταπλάσσειν τοῖσι σκορόδοισι θερμοῖσι. Καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης· ἢν δὲ μὴ, πῖσαι τὸ μηκώνιον τὸ λευκόν· [5]ἢν δὲ μὴ, ἄλλο, ὅ τι φλέγμα καθαίρει· διαιτᾶν δὲ, ἕως ἂν φλεγμαίνῃ, ῥυφήμασι κούφοισι.

subacto, ex cataplasmate quam calidissime imposito. Aut ex hordeo et alumine Aegyptio trito mistis cataplasma admovendum et fovendum. Dein glandulam longam formatam ad ignem tepidam redditam in sedem immittito; extus vero partes cerato inunguito et cataplasma iis admove ex cepis in vino nigro temperato coctis. His vero sublatis aeger in aqua calida desidere permittatur admixtoque solani succo, anserino adipe et suillo, chrysocolla, resina et cera alba, his deinde simul liquatis et inter se mixtis illinitur et, quoad inflammatio perseveret, cataplasma ex alliis coctis admovetur. Ac si quidem his remediis dolor cedat, satis est praesidii; sin minus, meconium album potui exhibeatur, aut aliud quodpiam, quod pituitam purget, dumque inflammatio manet levibus sorbitiunculis utatur.

η'. Ἡ δὲ στραγγουρίη [6]ἐμπίπτει ἐκ τῶνδε. Θερμαινομένη ἡ κύστις ἐκ τοῦ ἀρχοῦ προσάγεται τῇ θερμότητι φλέγμα· ὑπὸ δὲ τοῦ φλέγματος στραγγουρίη γίγνεται. Ἢν μὲν οὖν ἅμα τῇ νούσῳ παύηται, — φιλέει γὰρ ὡς τὰ πολλὰ οὕτω γίγνεσθαι, — ἢν δὲ μὴ, δίδου τῶν φαρμάκων τῶν στραγγουρικῶν.

8. At urinae stillicidium ex his succedit, cum vesica a recto intestino incalescente calore pituita adducitur; urinae vero stillicidium ex pituita gignitur. Hoc igitur si una cum morbo finiatur, bene se res habet; sin minus, medicamenta, quae ad urinae stillicidium faciunt, exhibeto.

θ'. Ἢν δὲ ὁ ἀρχὸς ἐκπίπτῃ, ἀνώσας σπόγγῳ μαλθακῷ καὶ καταχρίσας κοχλίῃ, τῶν χειρῶν δήσας, ἐκκρέμασον ὀλίγον χρόνον καὶ εἴσεισι. Ἢν δὲ μεῖζον ἐκπέσῃ καὶ [7]μὴ μένῃ ἔνδον, διαζώσας ἐν τῇσι λαγόσι, καὶ ὑφεὶς ὄπισθεν ἐκ τοῦ διαζώματος ταινίην, ὤσας ἔσω τὸν ἀρχὸν, προσθεῖναι σπόγγον μαλθακὸν βρέξας ὕδατι θερμῷ, ἐνεψήσας λωτοῦ πρίσματα· καταχέαι δὲ καὶ κατὰ τοῦ

9. Si vero anus procidat, spongia molli sursum impellendus et cochlea illinendus; manibus devinctis homo pauco temporis intervallo suspenditur et intus reponitur. Quodsi amplius prolabatur, neque intus maneat, ilibus praecinctis et submissa retro de cingulo fascia, ano intro propulso, spongia mollis aqua calida, in qua loti scobes incoxerit, madefacta admovetur, spongiaque expressa anus ipse aqua per-

[1] θερμότατον. — [2] καταπλάσσειν τε καὶ πυριῆν om. — [3] πλάσαι. — [4] πυρὸς καταπλάσσειν τε καὶ πυριῆν καὶ τοῖσι δακτύλοισι προσπλάσσειν· ἔπειτα ἀκροχλίερον ποιέων ἐντ. — [5] εἰ. — [6] ἐκπίπτει. — [7] μή om.

bebimus, ἔπειτα πλάσας βάλανον μακρὴν καὶ χλιαίνων πρὸς πῦρ τοῖσι δακτύλοισι προσπλάσσειν· ἔπειτα ἀκροχλίερον ποιέων ἐντιθέναι ἐς τὴν ἕδρην. Sed quid hoc? primum πλάσεις βάλανον, tum glandem calefaciens προσπλάσεις τοῖσι δακτύλοισι et iam calefactam ἀκροχλίερον ποιήσεις! Hoc turbatum est, neque integrum esse potest. Si τοῖσι δακτύλοισι προσπλάσσειν· ἔπειτα ἀκροχλίερον ποιέων demas, cetera recte se habebunt. Itaque emblema alienum eieci. Porro περικαλύψαι pro περιαλεῖψαι D. Q.'; — καὶ καταπλάσαι J.

ἐπὴν — θερμοῖσι.] λευκὸν κηρόν J.; — ἕως ἂν φλεγμήνῃ H., φλεγμαίνῃ J.

καὶ ἢν — κούφοισι.] Post ὀδύνης vulgo ἀρκείτω; emblema recens sustuli; — μηκώνειον E. J.; — ante ἄλλο pro ἢν ferunt εἰ Parr. 8; — φλεγμαίνῃ Parr. 5., Littr., φλεγμήνῃ vulg.; — τροφήμασι vulg., τρυφήμασι alii libri, ῥυφήμασι K., Littr., διαιτήμασι J.

8. ἢν — στραγγουρικῶν.] οὕτω D. J., Littr., οὕτως vulg.; — εἰ δὲ μή J.

9. ἢν — εἴσεισι.] ἀνῶσαι Parr. 7., ἀνωθεῖν H.

ἢν δὲ — ὀμφαλόν.] μή in mss. deëst, suppleverunt inter-

ἀρχοῦ αὐτοῦ τοῦ ὕδατος, τὸν δὲ σπόγγον ἐκπιέσαι· ἔπειτα ὑποτείνας τὴν ταινίην διὰ μέσων τῶν σκελέων, ἀναδῆσαι παρὰ τὸν ὀμφαλόν. Ὅταν δὲ θέλῃ ἀφοδεύειν, ἐπὶ λασάνοισι ὡς στενωτάτοισι ἀφοδευέτω· ἢν δὲ παιδίον ᾖ, ἐπὶ γυναικὸς τῶν ποδῶν, πρὸς τὰ γούνατα προσκλιθείς. Ὅταν δὲ ἀφοδεύῃ, τὰ σκέλεα ἐκτεινάτω· οὕτω γὰρ [1] ἂν ἥκιστα ἐκπίπτοι ἡ ἕδρη. Ἢν δὲ ὑγραίνηται ὁ ἀρχὸς, καὶ ἰχὼρ ἀπορρέῃ, περινίψαι τρυγὶ κεκαυμένῃ καὶ ὕδατι [2] ἀπὸ μυρσίνης, καὶ ἀδίαντον ξηρήνας καὶ κόψας, διασήσας, κατάπασσε. — Ἢν δὲ αἱμορροῇ, περινίψας τοῖσι αὐτοῖσι, χαλκῖτιν καὶ πρίσμα κυπαρίσσου ἢ κέδρου ἢ πίτυος ἢ [3] τερμίνθου τρίψας, ξυμμίξας τῇ χαλκίτιδι [4] ἴσον, καταπάσσειν, τὰ ἔξωθεν δὲ κηρωτῇ παχείῃ περιαλείφειν. — Ὁκόταν ἀρχὸς ἐκπίπτῃ καὶ μὴ θέλῃ κατὰ χώρην μένειν, σίλφιον ὅτι ἄριστον καὶ πυκνότατον ξύσας λεπτὸν καταπλάσσειν. Καὶ τοῦ πταρμικοῦ φαρμάκου πρὸς τὴν ῥῖνα προστιθέναι καὶ παροξύνειν τὸν ἄνθρωπον. Ἢ ὕδατι θερμῷ περιπλύνας, σίδια καὶ στυπτηρίην τρίψας ἐν οἴνῳ λευκῷ καταχέαι τοῦ ἀρχοῦ, ἔπειτα ῥάκεα [5] ἐπιβαλεῖν καὶ τοὺς μηροὺς ξυνδῆσαι ἡμέρας τρεῖς, καὶ νηστευέτω, [6] οἶνον δὲ πινέτω γλυκύν. Ἢν δὲ μηδὲ οὕτω διαμένῃ, μίλτον μίξας ὁμοῦ μέλιτι διαχριέτω. — Ἀρχὸς ἢν ἐκπίπτῃ καὶ αἱμορροῇ, ἄρου ῥίζης περιελὼν τὸν φλοιὸν ἕψειν ἐν ὕδατι· ἔπειτα τρίβειν ἄλητον ξυμμίσγων καὶ καταπλάσσειν θερμῷ. — Ἄλλο. Τῆς ἀμπέλου τῆς ἀγρίης τὰς ῥίζας τὰς ἁπαλωτάτας περιξέσαντα ἑψῆσαι ἐν οἴνῳ μέλανι ἀκρήτῳ αὐστηρῷ· ἔπειτα τρίψαντα κατα-

funditur, tum fascia inter media crura subiecta ad umbilicum religatur. Ubi vero deiiciendae alvi cupiditas fuerit, id super quam angustissima lasana fiat. Sin puer sit, intra pedes mulieris ad genua reclinatus desidat. Cumque alvus deiicitur, crura distenta habeat. Hoc enim pacto sedes minimum prolabitur. At si anus humore madeat et sanie diffluat, aqua ex myrrha et faece vini usta eluitur et admodum tritum cribratum inspergitur. — Sin sanguis profluat, ubi iisdem elotus fuerit, chalcitis et cupressi, vel cedri, vel pini, vel terebinthi scobes trita, pari ad chalcitidem portione ammixta inspergitur. Exteriores vero partes cerato crasso oblinuntur. — Cum rectum intestinum prolabitur, neque suo loco contineri potest, laserpitium quam optimum et densissimum tenuiter derasum ex cataplasmate imponitur et medicamento, quod sternutamentum moveat, ad nares admoto homo commovetur. Aut aqua calida, in qua mali punici putamina maduerint, et alumine ex vino albo contrito anus perfunditur. Deinde iniectis panniculis femora tribus diebus inter se vinciuntur et inedia imperatur, vinum vero dulce potui exhibetur. Quodsi ne sic quidem permaneat, minium melle permixtum illinitur. — Anus si procidat et sanguine manet, ari radicis detractus cortex aquae incoquitur, deinde tritus cum farina mixtus, calidus ex cataplasmate imponitur. — Aliud. Vitis agrestis radices tenerrimae concisae vino nigro austero meraco incoquuntur, dein contusae ex cataplasmate tepidae imponuntur. Immiscetur autem farina ex vino albo atque oleo tepido subacta. — Aliud. Cicutae semen vino albo, odorato affuso tritum, dein

[1] ἂν om. — [2] ὑπό. — [3] τερεβινθίρου ἢ τερμίνθου τρ. — [4] ἦσσον. — [5] ἐμβαλλεῖν (sic). — [6] οἶνον — αἱμορροῇ om.

κζ'. Καὶ ὅκου τοῦ σώματος θερμὸν, ἢ ψυχρὸν, [ὅπου τοῦτο ἔνι,] ἐνταῦθα ἡ νοῦσος.

κη'. Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ ὀξεῖαι γίγνονται, — ἢν τὸ σῶμα ψύχηται καὶ αὖθις θερμαίνηται, ἢ τὸ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, — μῆκος νούσου σημαίνουσι.

κθ'. Κῆν πυρέσσοντι ἱδρὼς ἐπιγένηται μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν· μηκύνει γὰρ ἡ νοῦσος καὶ ὑγρασίην σημαίνει.

λ'. Πυρέσσοντι ψυχροὶ ἱδρῶτες ἐπιγενόμενοι μακρὸν τὸν πυρετὸν σημαίνουσι.

λα'. Ἱδρὼς πουλὺς ἀκρίτως γιγνόμενος μὴ ὑγιαίνοντι νόσον σημαίνει, θέρεος μὲν μείω, ψύχεος δὲ πλείω.

23. Urina quandoque quidem pura reddita, quandoque vero sedimentum album et laeve habens tardiorem iudicationem minoremque securitatem quam optima urina portendit; si per multum tempus urina fulva et tenuis fuerit, periculum est, ne quoad concocta fuerit, aeger sufficere non possit. Quodsi alioqui salutaria signa fuerint, his abscessum fore in locis septo transverso inferioribus exspecta.

24. In febribus si urina mutationes habeat, temporis longitudinem indicat aegrumque tum ad deteriora, tum in alteram partem necessario commutari.

25. Si morbi principio urinae minime similes fuerint, sed ex crassis tenues evadant et omnino tenues, eae difficilem et minime certam iudicationem faciunt.

26. Sudores frigidi cum acuta quidem febre letales, cum mitiore vero morbi longitudinem denunciant.

27. Et quacumque corporis parte calor aut frigus inest, ibi morbus est.

28. Et ubi in toto corpore celeres mutationes fiunt; si corpus refrigescat, et rursus calescat, vel color subinde mutetur, morbi longitudo portenditur.

29. Si febricitanti sudor succedat, neque febris desinat, malo est; producitur enim morbus et humoris redundantiam significat.

30. Febricitanti sudores frigidi accidentes febrem longam denunciant.

31. Non bene valenti si multus sudor sine iudicio oboriatur, morbum significat aestate quidem minorem, frigore vero maiorem.

23. οὖρον — χωρία.] προσεσομένην omnes, sed πρός a superiore προσδέχου huc tractum et omittendum est. — Cf. Progn. § 22. p. 139.

24. ἐν — θάτερα.] vid. additt. spuria ad lib. de Victu acut. § 19. p. 339. vol. I.

25. ἢν — τὰ τοιαῦτα.] ἀρχόμενα ceteri, ἀρχομένῳ de meo.

26. ψυχροὶ — νούσου.] cf. Aph. 37. IV., Coac. 573., Progn. l. supra l.

27. καὶ — νοῦσος.] cf. Aph. 39. IV.

28. καὶ — σημαίνουσι.] cf. Aph. 40. IV. Coac. 125. ceteri καὶ ἢν τὸ σῶμα, equidem καί delevi; — vulgo ἢ αὖθις θερμ., de meo καὶ αὖθις θερμ. scripsi; — μεταβάλληται vulgo, μεταβάλλῃ de meo.

29. κῆν — σημαίνει.] cf. Aph. 56. IV.

30. πυρέσσοντι — σημαίνουσι.] cf. de Morbis lib. I. § 25. p. 172. vol. II.

31. ἱδρὼς — πλείω.] ἱδρὼς δέ C.; — ἀκρήτως vulg., ἀκρίτως Foës. in adn., Lind.; — μὴ ὑγιαίνοντι C., Ald., μή vulgo om.; — ψύξεως vulg., ψύχεος de meo. — Equidem Foës. verissime ἀκρίτως legendum iudicavisse puto, de sincero sudore sermo esse non potest. Sed μή mihi item recipiendum est visum, quo opus esse, si ἀκρίτως legas, recte vidit Littr.

λβ'. Οἷσι τὰ ὑποχωρήματα, ἐὰν ἐάσῃς ξυστῆναι, ὑφίσταται ὁκοῖον ξύσματα, ἢν ὀλίγα, ὀλίγη ἡ νοῦσος, ἢν πολλὰ, πολλή· τούτοισι ξυμφέρει τὴν κοιλίην ἐπικλύζειν. Ὁκόσοις δὲ ἐν τῇ κάτω ὑποχωρήσι χολῆς μελαίνης ὕπεστι, ἢν πλεῖον, πλείων ἡ νοῦσος, ἢν ἔλασσον, ἐλάσσων.

λγ'. Ἐὰν αἱ φλέβες σφύζωσι καὶ τὸ πρόσωπον ἐρρωμένον ᾖ, καὶ τὰ ὑποχόνδρια μὴ λαπαρὰ, ἀλλὰ ἐπηρμένα, χρονίη ἡ νοῦσος καὶ ἄνευ σπασμοῦ οὐ λύεται, ἢ αἵματος πολλοῦ ἐκ τῶν ῥινῶν ῥύσιος, ἢ ὀδύνης ἰσχυρῆς.

λδ'. Καὶ οἱ παλμοὶ ἐν τῇσι χερσὶ πουλυχρονίου πυρετοῦ σημεῖον, ἢ κρίσιος ξυντόμου ἐπὶ τὸ κάκιον· καὶ ἐπὶ τούτῳ τὰ πλεῖστα ἅπερ ἐς θάνατον.

λε'. Τοῖσι ἐν ἐλαχίστῳ χρόνῳ μέλλουσι ἀπόλλυσθαι μέγιστα τὰ σημεῖα ἀπ' ἀρχῆς γίγνεται· δυσπνόητοι γάρ εἰσι καὶ οὐ κοιμέονται τὰς νύκτας καὶ τὰ σημεῖα προφαίνουσι ἐπικίνδυνα.

λϛ'. Ξυνεχοῦς δὲ πυρετοῦ ἐὰν τεταρταῖος πονῆται καὶ ἑβδομαῖος, καὶ μὴ κριθῇ ἐνδεκαταῖος, ὀλέθριον ὡς τὰ πολλά.

λζ'. Ὅσοι ὑπὸ τετάνου ἁλίσκονται ἐν ταῖς τέσσαρσι ἡμέραις ἀπόλλυνται· ἢν δὲ ταύτας ἀποφύγωσι, ὑγιέες γίγνονται.

λη'. Ἐν τοῖσι καύσοισι ἐὰν ἐπιγένηται ἴκτερος καὶ λὺγξ ᾖ πεμπταίῳ ἐόντι, θανατῶδες.

λθ'. Ὑποστροφῇ λαμβάνονται οἷσι ἂν ἀπυρέτοισι γενομένοισι ἀγρυπνίαι ἐρρωμέναι προσγένωνται, ἢ ὕπνοι ταραχώδεες, ἢ ἀρρωστίη τοῦ σώματος, ἢ ἀλγήματα ἑνὸς ἑκάστου τῶν μελέων, καὶ ὅσοις ἂν οἱ πυρετοὶ παύ-

32. *Locus incertae lectionis. Vid. adnn.*

33. Si venae pulsent et facies bene habita fuerit, praecordia minime mollia, sed sublata, diuturnus morbus significatur, neque sine convulsione, aut copiosa ex naribus sanguinis profusione, aut vehementi dolore solvitur.

34. In manibus etiam palpitationes admodum longam febrem, aut brevem in peius tendentem iudicationem indicant praetereaque plurima, quae ad mortem inclinant.

35. His, qui brevi perituri sunt, maxima signa per initia accidunt. Nam et difficilem habent spirationem, neque noctu dormiunt et periculi plena signa ostentant.

36. In febre continente qui quarto et septimo die laborat, neque undecimo die iudicationem subierit, is plerumque perniciose habet.

37. Qui nervorum distentione corripiuntur, intra quatuor dies pereunt, quos si effugiant, convalescunt.

38. In febribus ardentibus si morbus regius superveniat et singultus adsit quinto die, letale est.

39. *Plura corrupta sunt in hoc capitulo, cf. adnn.*

32. *οἷσι — ἐλάσσων.*] In vulgata antecedens locus cum hocce coniungitur; nam legitur *πλείω ἐς τὸ αὐτὸ χωροῦντα, ἐὰν κ. τ. λ.* in qua lect. Lind *τὰ κάτω* pro *τὸ αὐτό* habet. — Littréus *οἷσι τὰ ὑποχ.* pro *ἐς τὸ αὐτὸ χωροῦντα* dedit ex Aph. 68. VII. Equidem locum, quemadmodum accepi, trado: sed quam parvam fidem habere liceat scripturae, constabit, si conferas Aph. 68. 69. VII. et ea, quae ad Aphorismos adnotavi. — Vulgo in postremis *ἐλάσσω*, de meo *ἔλασσον*, quippe respondet superiori *πλεῖον*.

33. *ἐὰν — ἰσχυρῆς.*] *ῥύσιος* om. C.; — cf. Ep. II. 6. 5. p. 505. vol. I. et Coacas 128. 296.

34. *τοῖσι — ἐπικίνδυνα.*] *καὶ ἐπὶ τούτων τὰ πλεῖστα* cett.; de meo mutavi.

35. *τοῖσι — ἐπικίνδυνα.*] Post *τοῖσιν* in vulgata perierat *ἐν* et post *μέγιστα* exciderat *τά*; utrumque revocavi.

36. *ξυνεχοῦς — πολλά.*] *δέ* om. C.; — *πονεῖται* vulg., *πονῆται* Littr. de suo.

37. *ὅσοι — γίγνονται.*] scriptumne fuerit *ὑποφύγωσι* pro *ἀποφύγωσι* dubito; — cf. Aph. 6. V.

38. *ἐν — θανατῶδες.*] *λύξη* vulg., unde Lind. eumque secuti Mack., Littr. *λύγξ*; sed in *λύξη* latet *λὺγξ ᾖ*, quod repono.

39. *ὑποστροφῇ — ἀκίνδυνοι.*] *ὑποστροφαί* vulgo, *ὑποστροφῆς γενομένης ὑποστροφαί* C.; — *ὑποστροφῇ* de meo, quodsi *ὑποστροφῇσι* malis, non adversor; — *προσγίνωνται* vulg., aor. de meo; — *ἀγρυπνίαι ἐρρωμέναι* mira dictio, quin corrupta videtur, *πρόσωπον ἐρρωμένον* notum est; — *ῥώμη* vulg.,

σωνται, μήτε σημείων γενομένων λυτηρίων, μήτ' ἐν ἡμέρῃσι κρισίμῃσι· καὶ ἐὰν ἐκλελοιπότος τοῦ πυρετοῦ καὶ ἱδρῶτος ἐπιγενομένου, πυῤῥὸν οὖρον οὐρηθῇ, λευκὴν ὑπόστασιν ἔχον, προσδέχου τούτοις ὑποστροφὴν πυρετοῦ αὐθημερόν· αὗται δὲ αἱ ὑποστροφαὶ πεμπταῖαι κρίνονται ἀκίνδυνοι. Καὶ ἢν κρίσιος ἐπιγενομένης, οὖρον ἐρυθρὸν οὐρηθῇ ὑπόστασιν ἔχον ἐρυθρὴν, καὶ τούτοις ὑποστροφὴ γίγνεται τοῦ πυρετοῦ αὐθημερὸν καὶ ὀλίγοι ἐκ ταύτης σώζονται. Ὅταν ὑποστρέφῃ ὁ καῦσος, τὰ πολλὰ καὶ ἐξιδροῖ καὶ ἢν ἡμέρας λάβῃ ὑποστρέψας ὅσας τὸ πρῶτον· ὑποτροπιάζει δὲ καὶ τρὶς ὁ πυρετὸς, ἢν μὴ περισσῇ ἡμέρῃ ἀφῇ ὑποτροπιάσας. Τὰ πολλὰ ἐὰν ἀπέπτων ἐόντων τῶν οὔρων, καὶ τῶν ἄλλων σημείων μὴ κατὰ λόγον ἐόντων, ἡ νοῦσος κρισίμῃ ἡμέρῃ ἀφῇ, ὑποτροπιάζει· ὁτὲ δὲ καὶ ὑποστρέφει ἐν κρισίμῃ ἡμέρῃ τούτων καταλειπομένων τοιούτων.

μ'. Τὰ παρ' οὗς οἷς ἀμφὶ κρίσιν γενόμενα μὴ ἐκπυήσῃ τούτων ἀπαλλασσομένων, ὑποστροφὴ γίγνεται κατὰ λόγον τῶν ὑποστροφῶν, ὁμοίᾳ περιόδῳ· ἐπὶ τούτοισι ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ἢν οὖρον παχὺ, οἷον τὸ λευκὸν ἐπὶ τοῖς κοπιώδεσι τεταρταίοισι, ῥύεται τῆς ἀποστάσιος· ἐνίοις δὲ τούτων καὶ αἱμοῤῥαγίαι γίγνονται ἐκ τῶν ῥινῶν, ἥτις τεταρταίοις οὐ λυτικὴ καὶ τοῖς πῦα ἀποχωρέοντα ὑγιάζειν νούσοις.

40. *Locus corruptus; vid. adnn.*

ἀῤῥωστίῃ interpretes Latine, Lind., Littr. Graece; — *παύσονται* vulg., *παύσωνται* Ald., Littr.; — *γενομένου* E., Ald., pro *γενομένων*; — *οὐρήσει* vulg., *οὐρήσῃ* Littr., *οὐρηθῇ* de meo; — *αὗται δὲ καί* vulg., *αὗται δὲ αἱ* E., Lind., Littr.

καὶ — σώζονται.] *ἐκγενομένης* cett., *ἐπιγενομένης* de meo; — *οὐρήσει* vulg., *οὐρήσῃ* Littr.. *οὐρηθῇ* de meo, ut supra.

ὅταν — ὑποτροπιάσας.] *καὶ ἢν ἡμέρας* vulg., *καὶ ἢν μέσας ἡμέρας* C., *καὶ ἢν μὲν τὰς ἡμέρας* Lind., Mack. — Articulum ante *πυρετός* Lind., Mack., Littr. de suo, vulgo om.; — mihi locus vitiosus videtur: voluitne *ὅταν ὑποστρέφῃ ὁ καῦσος, τὰ πολλὰ καὶ ἐξιδροῖ ὑποστρέψας ἡμέρας ὅσας ἂν λάβῃ τὸ πρῶτον*? Hoc intelligo, vulgatam non intelligo.

τὰ πολλὰ — τοιούτων.] *ἡ νοῦσος κρισίμῃ* (*κρίσιμος* Ald.) *ἡμέρῃ ὑποτροπιάζει* vulg. — Lind., Mack., Littr., *ἀφῇ* suppleverunt; sed Littr. etiam *μή* ante *κρισίμῃ* de suo dedit, quod fecisse videtur, quia inter hoc membrum periodi et sequens antithesin esse credidit, quae mihi non inesse videtur talis ut dies iudicatorius et non iudicatorius inter se opponantur; quare *μή* non recipio; sermo est de crisi imperfecta, signis criticis non uti oportet apparentibus. In seqq.: *ὅταν* (*ὁτέ* Corn., Foës. in adn., *ποτέ* Lind., *ἔσται* pro *ὅταν* C.) *δέ* vulg.: — cum Littréo Foësium sequor, fateor tamen me locum universum non plane perspicere et de scriptura me dubitare; non nego Latina respondentia adponi posse, sed antithesin non intelligo. Fortasse lacuna est post *τοιούτων*.

40. *τὰ — νούσοις.*] *ἐκπυήσει* Littr. de suo, sed si locos ex Ep. VI. cett. conferas, videbis *ἄν* ante *ἀμφί* periisse et subiunctivum recte se habere; — *καὶ ἐπὶ τούτοις* Aem. Port. apud Mack.; — *ἢ οὖρον* C., Ald., Lind., Littr.; — *ὑγιάζει* Corn.; — *οὐδὲ τοῖς διὰ κάτω χωρέοντα ὑγιάζειν εἰθισμένοις* pro *καὶ — τούτοις* Lind.; — Littr. post *ῥινέων* dedit: *καὶ πάνυ τάχυ λύεται καὶ τούτοις πῦα ἀποχωρέουσι ὑγιάζεται ἡ νοῦσος*. — Mihi plane displicet Littréi coniectura! — Cf. Ep. VI. 4. 6., de humoribus § 20., Aph. 74. IV. — Quibus locis collatis constat *ἄν* ante *ἀμφί* periisse; — *ἀπαλλασσομένων* ex *λαπασσομένων* esse natum; — reliquae deflexiones fortasse compilatori debentur, sed quid sit illud *καὶ τοῖς πῦα ἀποχωρέοντα ὑγιάζειν νούσοις* non reperio; sensu cassum esse, quivis videbit.

μα'. Τοῖς *μελαγχολικοῖς μετὰ φρενιτικῶν ἐχομένοις αἱμορροΐδες ἐγγενόμεναι, ἀγαθόν.*

μβ'. "Οσοι *μαίνονται ἢ αὐτόματοι ἢ ἀπαλλασσόμενοι ἐκ τῶν νούσων, τούτοις τὴν μανίην ὀδύνη ἐς τοὺς πόδας εἰσελθοῦσα ἢ ἐς τὸ στῆθος, ἢ βὴξ ἰσχυρὴ γενομένη λύει· ἐὰν τούτων μηδὲν γένηται, λυομένης τῆς μανίης, στέρησις τοῦ ὀφθαλμοῦ γίγνεται.*

μγ'. Ὁκόσοι *τῇ γλώσσῃ παφλάζουσι τῶν χειλέων μὴ κρατέοντες, ἐὰν ταῦτα παύσηται, ἔμπυοι γίγνονται, ἢ ὀδύνη ἰσχυρὴ ἐν τοῖς κάτω χωρίοις λύει, ἢ κωφότης, ἢ αἷμα πολὺ ἐκ τῶν ῥινῶν ῥυὲν, ἢ μανίη.*

μδ'. Τοῦ *μεγάλου νοσήματος ἐν ἔθεϊ γενομένου λύσις, [ὅσοις ἐν τοῖς καύσοις] ἰσχίων ὀδύνη, ἢ ὀφθαλμῶν διαστροφὴ, ἢ τύφλωσις, ἢ ὀρχίων οἰδήσιες, ἢ τιτθῶν ἄρσις.*

με'. Καῦσον *λύει ἢ καὶ αἵματος ἐκ ῥινῶν ῥύσις.*

μς'. Ἐν *καύσῳ ἐὰν ἐπιλάβῃ ῥῖγος, φιλέει ἐξιδροῦν.*

μζ'. Ὑπὸ *καύσου ἐχομένῳ, ῥίγεος ἐπιγενομένου λύσις.*

μη'. "Οσοισι *ἐν τοῖσι καύσοισι τρόμοι ἐγγίγνονται, παρακοπὴ λύει.*

μθ'. "Οσοισι *ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, τούτοισι μὴ λυθέντος τοῦ πυρετοῦ μανῆναι ἀνάγκη· λύει δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα χολώδεσι, ἢ*

41. Atra bile vexatis et phrenitide detentis sanguinis profluvium per ora venarum, quae in ano sunt, bonum est.

42. Qui sponte, vel a morbis liberati insania corripiuntur, his dolor ad pedes deveniens, aut ad pectus, aut tussis vehemens oborta insaniam solvit. Quorum si nihil accidat, cum insania solvitur, caecitas sequitur.

43. *Locus incertae lectionis; vide adnn.*

44. *Locus incertae lectionis; vide adnn.*

45. *Locus incertae lectionis. vid. adnn.*

46. In febre ardente si rigor corripiat, sudorem evocare solet.

47. In febre ardente detento rigore succedente solutio contingit.

48. Tremores in febre ardente delirium solvit.

49. Quibus in febribus aures obsurduerunt, his, nisi febris solvatur, furorem accidere necesse est. Solvit autem sanguis ex naribus effluens, aut alvus biliosa effundens, aut intesti-

41. *τοῖς — ἀγαθόν.*] *φρενιτίδων* vulg., *φρενιτικῶν* Lind., Littr.; cf. Aph. 11. VI., cuius aliam lectionem fuisse *τοῖσι μελαγχολικοῖσι καὶ φρενιτικοῖσι αἱμορροΐδες ἐπιγενόμεναι. ἀγαθόν* hic locus docet. Quin fortasse h. l. etiam *ἐγγενόμεναι* ex *ἐπιγενόμεναι* natum est. Consulto *καὶ φρενιτ.*, non *καὶ τοῖσι φρενιτ.* scripsi, ut sensus sit *καὶ ἅμα φρενιτικοῖσι* ex nostri loci sententia.

42. *ὅσοι — γίγνεται.*] *μαίνονται ἢ αὐτόματοι ἀπαλλασσ.* vulgo; Littr. *μαιν. αὐτόμ. ἢ ἀπαλλ.*, equidem *ἢ* ante *αὐτομ.* de meo addidi; — *τό* ante *στῆθος* de suo Lind., Littr., vulgo om.; — *λελυμένης* Aem. Port. apud Mack.

43. *ὁκόσοι — ἢ μανίη.*] *ἐν τῇ γλ.* vulgo, *ἐν* omm. Ald., C., Littr.; — *τὴν ὀδύνην ἰσχυρήν* sine *ἢ* Lind., *ὀδύνην ἰσχυρήν* L., Mack.; — *κωφότης* L., Lind., Mack., *κυφότης* cett.; — *ἡ μανίη* Foës. in notulis, Lind.; cf. Epid. II. 5. 2. cum adnn. et vide infra ad § 45. adn.

44. *τοῦ — ἄρσις.*] Littr. omisit *ὅσοις ἐν τοῖσι καύσοισι* propter verba Ep. II. 5. 11., ex § 48. infra huc devenisse credens; — *ὀδύνην* C.; — *ἢ ὀφθ.* Lind., Mack., vulgo *ἢ* om. — Cf. adn. ad § 45.

45. *καῦσος — ῥύσις.*] *ἢ καί* omm. C., Ald., Littr. Equidem iam de his locis coniunctim dicam. Nunc etiam credo Foësium vere iudicavisse *ἡ μανίη* esse legendum idque referendum esse ad § 44. — Vere, puto, Littréus *ὅσοις ἐν τοῖσι καύσοις* expulit ex § 44. eiusque originem ex § 48. vere indicavit. Itaque mutata partim sententia, quam p. 500. 501. in adn. ad Epid. II. protuli, legerim:

Ἡ *μανίη τοῦ μεγάλου νοσήματος ἐν ἔθεϊ γενομένου λύσις, ἢ ὀφθαλμῶν διαστροφὴ, ἢ τύφλωσις.*

De sequentibus plane incertus sum; nam si locos ex additamentis spuriis ad lib. de V. Acut. p. 320. seq. conferas, *ἡ ἰσχίων ὀδύνη, ὁ ὄρχις ἐνταθείς* e vulgata lectione, quam noster viderit, ad causi solutionem referuntur. Ita ut fortasse legendum sit:

Ἰσχίων *ὀδύνη, ἢ ὀρχίων οἴδησις, ἢ τιτθῶν ἄρσις καῦσον λύει, ἢ καὶ αἵματος ἐκ ῥινῶν ῥύσις.*

46. *ἐν — ἐξιδροῦν.*] *φιλέει* om. C.

47. *ὑπὸ — λύσις.*] *ὑπό* omm. C., Ald.; — *ἢ ῥίγεος* C.; — *ῥῖγος ἐπιγενόμενον* Lind. Cf. Aph. 58. IV., Coac. 135.

48. *ὅσοισι — λύει.*] Cf. Aph. 26. VI., Coac. 132.

49. *ὅσοισι — γονάτων.*] *χολώδεα* cett., *χολώδεσι* de meo; — cf. Aph. 60. IV., Coac. 210. 627.

δυσεντερίη ἐπιγενομένη, ἢ ὀδύνη ἰσχίων ἢ γονάτων.

ν'. Ὅσοισι ἂν πυρέσσουσι ῥῖγος ἐπιγένηται, ὁ πυρετὸς λύεται.

να'. Ὅσοισι ὀδύναι γίγνονται ἐξαπίνης, τὸ ὑποχόνδριον ἐπῆρται ἄνω· καὶ ἐὰν περὶ τὴν νόθον πλευρὴν καὶ περὶ σκέλεα αἱ ὀδύναι γίγνωνται, τούτοισι λύσις Φλεβοτομίη καὶ κάθαρσις κάτω· οὐ γὰρ λαμβάνει πυρετὸς ἰσχυρὸς ἀδυνατούντων τῶν χωρίων.

νβ'. Ὑπὸ ὕδρωπος ἐχομένῳ κατὰ τὰς Φλέβας ἐς τὴν κύστιν ἢ κοιλίην τοῦ ὕδατος ῥυέντος, λύσις.

νγ'. Ἢν ὑπὸ λευκοῦ Φλέγματος ἐχομένῳ διάρροια ἐπιγένηται ἰσχυρὴ, λύσις.

νδ'. Ὑπὸ διαρροίης ἐχομένῳ ἰσχυρῆς ἔμετος ἐπιγενόμενος ἀπὸ τοῦ αὐτομάτου, λύσις.

νε'. Ὅσοι ὑπὸ διαρροίης πουλὺν χρόνον λαμβάνονται ξὺν βηχὶ, οὐκ ἀπαλλάσσονται, ἐὰν μὴ ὀδύναι ἰσχυραὶ ἐν τοῖς ποσὶ ἐμπέσωσι· εἰ βούλεται διαστροφὴ γίγνεσθαι Φύσιος ἐπειδὰν μὴ διάρροια ἴῃ, ἢ κενὴν διαχώρησιν πρὸς πᾶσαν λάβῃ· ἐπιγίγνονται γὰρ Φῦσαι ἔσωθεν οὖσαι· δῆλον τοίνυν οὐκ ἔχουσι οὐδὲν ὑγρὸν, ὥστε προσΦέρειν, εἰ δεῖ, σῖτα ἀσΦαλῶς τῷ οὕτως ἔχοντι.

νϛ'. Εἰλεοῦ ἐπιγενομένου, οἶνον ψυχρὸν δίδου πίνειν πουλὺν ἄκρατον κατ' ὀλίγον, ἕως ὕπνος ἢ σκελέων ὀδύνη γίγνηται· λύει δὲ καὶ πυρετὸς ἢ δυσεντερίη.

νζ'. ΚεΦαλὴν περιωδυνοῦντι [καὶ νοσέοντι]

norum difficultas, aut coxendicum, aut genuum dolor succedens.

50. Quibus febricitantibus rigor accidit, febris solvitur.

51. *Locus incertae lectionis.*

52. In aqua intercute detentis, si aquosus humor per venas in alvum, aut vesicam effluat, solutio contingit.

53. Si pituita alba detento vehemens alvi profluvium succedat, solutio contingit.

54. Cui gravi alvi profluvio detento sponte vomitus oritur, solutio contingit.

55. *De loco corrupto vid. adnn.*

56. *Locus integer non est; cf. adnn.*

57. Capitis dolore gravi affecto, si pus per

50. *ὅσοισι — λύεται.*] *ὅσοισι πυρετοῖσι* vulg., in qua latet *ὅσοισι πυρέσσουσι*; sed vulgatum *ἐπιγένηται*, pro quo C. Ald., Littr. *ἐπιγίνεται*, docet *ἂν* periisse post *ὅσοισι*.

51. *ὅσοισι — χωρίων.*] Cf. Coacam 294.; — *ἀπῆρται* vulg., *ἐπῆρται* Littr.; — *περὶ τὴν νόθον πλευρὴν περισκελέες αἱ ὀδύναι γίνονται* vulg., *περὶ τὰ σκέλεα* Foës., alii ex Coaca laudata; — *γίνωνται* Littr. de suo, *γίνονται* vulg.; — *Φλεβοτομίης* C. — Sed principio loci vitiosum est *τὸ ὑποχόνδριον ἐπῆρται ἄνω*, quippe *ἄνω* prorsus abundat. — Quin si omnia, quae alii ante me emendarunt, tenueris, nondum locum intelliges; ipsae res propositae eorumque nexus miro modo se habent; vitia inesse docet comparatio cum Coaca l. — Ego plura non tento!

52. *ὑπὸ — λύσις.*] *ἐχομένων* vulg., *ἐχομένῳ* ex C. Littréus; — [*καὶ*] *κατά* Mack.; — *ῥύσις* C.; — cf. Aph. 14. VI. Coac. 461.

53. *ἢν ὑπὸ — λύσις.*] *ἐπιγίνηται* cett., aor. de meo; — cf. Aph. 29. VII., Coac. 482.

54. *ὑπὸ — λύσις.*] hunc locum ex C. dedit Littr., vulgo om.; — Aph. 15. VI.

55. *ὅσοι — ἔχοντι.*] *ἐπεὶ βουλ.* Lind., *ἢ βουλ.* Littr.; — *διαρροιαίη* vulg., *διάρροια ἢ* Lind., Mack., *διάρροια ἴῃ* Littr.; — *κενὴ διαχώρησις* Littr. de suo; licet non sim alienus a Littréi ratione, nihil muto, quia hic nihil intelligo; — *πᾶσιν* C., *τάσιν* Lind.; ad *πᾶσαν* Littr. *ἡμέρην* subintellectum vult; — dubito, — nihil intelligo; — *ἔξωθεν* vulg., *ἔσωθεν* Littr. de suo; — *εἰδήσει τά* vulg., *δεήσει* pro *εἰδήσει* Lind.; sed pulcre Littr. *εἰ δεῖ, σῖτα.* — Summatim tamen locum non intelligo: quid illa *διαστροΦὴ Φύσιος*? quid illud *πρὸς πᾶσαν*?

56. *εἰλεοῦ — δυσεντερίη.*] *ψυχροῦ, οἶνον* Lind., qui ubi frigidum ileum legerit, nescio; — *ἄκρητον κατὰ λόγον* Lind., Mack, cf. Ep. II. 6. 26. cum adnn.; — *γίνεται* vulg., *γίνηται* Lind. — Locus vitiis laborat, cf. adnn. ad Ep. II. l. l. p. 508.

57. *κεΦαλὴν — νόσημα.*] *τὸ πῦον ῥέον* Lind. propter vulgatum *λύει*, quod Littr., quem sequor, in *λύεται* mutavit de suo; — *καὶ νοσέοντι* ineptum additamentum est; cf. Aph. 10. VI., Coac. 172.

πύου ῥυέντος ἢ κατὰ τὰ ὦτα, ἢ κατὰ τὰς ῥῖνας, λύεται τὸ νόσημα.

νη'. Ὀκόσοισι ὑγιαίνουσι ἐξαπίνης ὀδύναι ἐγγίγνονται ἐν ταῖς κεφαλαῖς καὶ παραχρῆμα ἄφωνοι γίγνονται καὶ ῥέγκουσι, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέραις, ἐὰν μὴ πυρετὸς ἐπιλάβῃ.

νθ'. Κεφαλὴν περιωδυνέοντι σικύην προσβαλλε· — ὅ τι ἂν τῶν ἄνω χωρίων πονήσῃ λύει ὀδύνῃ ἐς ἰσχία καὶ γούνατα καὶ ἆσθμα, ὅ τι ἂν τούτων γίγνηται.

ξ'. Ὀφθαλμιῶντι ὑπὸ διαρροίης ἁλῶναι ἀγαθόν.

ξα'. Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐχομένῳ πυρετὸς ἐπιγενόμενος λύει τὸ νόσημα.

ξβ'. Ὑπὸ πυρετοῦ ἐχομένῳ σπασμὸς ἢν λάβῃ, παύεται ὁ πυρετὸς αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ.

ξγ'. Ὁπόταν ξυντεταμένος τὰς χεῖρας καὶ τοὺς πόδας ᾖ, μανίην ἐμποιέει.

ξδ'. Ἢν αἱ φλέβες σφύζωσι αἱ ἐν ταῖς χερσὶ καὶ τὸ πρόσωπον ἐρρωμένον ᾖ, καὶ τὰ ὑποχόνδρια μὴ μαλακὰ, ἀλλὰ ἐπηρμένα ᾖ, χρονίη ἡ νοῦσος· ἄνευ σπασμοῦ . . . . . .

aures vel nares effluxerit, morbus solvitur.

58. Quibus per sanitatem derepente capitis dolores obveniunt confestimque vox deficit, ac stertunt, intra dies septem pereunt, nisi febris prehenderit.

59. Capite vehementer dolenti cucurbitulam admove; — quicumque e locis superioribus doluerit, solvit dolor ad coxendices et genua dolorem et crebra spiratio, quidquid horum acciderit.

60. Lippitudine laboranti alvi profluvio corripi bonum.

61. Convulsione, aut nervorum distentione vexato, si febris superveniat, morbum solvit.

62. Si febre detentum convulsio prehenderit, febris eodem die, aut postero, aut tertio desinit.

63. *Locus corruptus.*

64. *Locus plene legitur Ep. II. l. l. in adn.*

58. ὀκόσοισι — ἐπιλάβῃ.] cf. Aph. 51. VI.
59. κεφαλὴν — γίγνηται.] Littr. σικύην πρόσβαλε (sic enim vulg., πρόσβαλλε C., Ald.) eo, quo descripsi, loco de suo posuit, cum vulgo post πονήσῃ legitur; — γίνεται vulg., γίνηται Ald., C., Lind., Littr.; — cf. Ep. II. 6. 24. 25.
60. ὀφθαλμ. — ἀγαθόν.] Aph. 17. VI., Coac. 224.
61. ὑπὸ — νόσημα.] Aph. 57. IV., Coac. 354.
62. ὑπὸ — τρίτῃ.] cf. Coac. 156.

63. ὀκόταν — ἐμποιέει.] Lind. hunc et sequentem locum om.; — ᾖ Littr. de suo interposuit et ἐμποιέει de suo dedit pro vulgato ἐμποιεόυσι. — Locum non intelligimus; fortasse fragmentum est e nexu suo divulsum. Ipsa oratio etiam absurda est.
64. ἢν — σπασμοῦ . . .] Vide supra 33. cum adn. Vulgo ἄνευ τοῦ σπασμοῦ, sed Littr. τοῦ omisit propter l. l.; — idem de suo explevit locum ex supra laudato.

ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ.

α'. Μέγα [1] μέρος ἡγέομαι τῆς τέχνης εἶναι τὸ δύνασθαι κατασκοπέεσθαι περὶ τῶν γεγραμμένων ὀρθῶς· ὁ γὰρ [2] γνοὺς καὶ χρεόμενος τούτοισι οὐκ ἄν μοι [3] δοκέει μέγα σφάλλεσθαι κατὰ τὴν τέχνην. Δεῖ δὲ καταμανθάνειν τὴν κατάστασιν τῶν ὡρῶν ἀκριβῶς καὶ τῶν νούσων [4] ἑκάστης· ὅ τι ἀγαθὸν καὶ ὅ τι κινδυνῶδες ἢ ἐν τῇ καταστάσι ἢ ἐν τῇ νούσῳ· [5] μακρὸν ὅ τι νόσημα [6] καὶ θανάσιμον· μακρὸν ὅ τι περιεστικόν· ὀξὺ [7] ὅ τι θανάσιμον, ὀξὺ ὅ τι περιεστικόν. Τάξιν τῶν κρισίμων ἐκ τούτων [8] σκοπέεσθαι καὶ τὸ προλέγειν ἐκ τούτων εὐπορέεται· ἔτι δὲ [9] καὶ ἀπὸ τούτων ἔστι εἰδέναι οὓς, [10] ὅτε καὶ ὡς δεῖ διαιτᾶν.

β'. Μέγιστον τοίνυν σημεῖον τοῖσι μέλλουσι τῶν καμνόντων [11] βιώσεσθαι, ἐὰν μὴ παρὰ φύσιν ᾖ ὁ καῦσος· καὶ τἄλλα δὲ νοσήματα ὡσαύτως· οὐδὲν γὰρ δεινὸν τῶν κατὰ φύσιν [12] γίγνεται, οὐδὲ θανατῶδες· δεύτερον δὲ, ἐὰν [13] μὴ αὐτὴ ἡ ὥρη τῷ νοσήματι ξυμμαχήσῃ· ὡς γὰρ ἐπὶ τὸ πουλὺ οὐ νικᾷ ἡ τοῦ ἀνθρώπου φύσις τὴν τοῦ ὅλου δύναμιν. Ἔπειτα δὲ, ἢν τὰ περὶ τὸ πρόσωπον ἰσχναίνηται, καὶ αἱ φλέβες αἱ ἐν τῇσι χερσὶ καὶ ἐν τοῖσι κανθοῖσι καὶ ἐπὶ τῇσι [14] ὀφρύσι ἡσυχίην [15] ἔχωσι, πρότερον μὴ ἡσυχάζουσαι.

DE DIEBUS IUDICATORIIS.

1. Artis magnam partem esse duco, quae scripta sunt recte speculari posse. Qui enim haec noverit iisque utitur, is mihi in arte non multum falli videtur. Accurate autem anni tempestatem ediscere oportet et morbi uniuscuiusque; quid bonum sit et quid periculosum sive in constitutione, sive in morbo; quisnam morbus longus et letalis, quisnam longus et salutaris; quis acutus letalis, quis acutus salutaris. Ordinem dierum iudicatoriorum ex his contemplari et ex his futura praedicere licet; tum etiam ex his novisse datur quibus et quando et quomodo victus rationem instituere oporteat.

2. Maximum igitur in aegris, qui superstites futuri sunt, signum est, si febris ardens ceterique morbi eodem modo praeter naturam non fuerint. Nihil enim in his, quae sunt secundum naturam, neque formidandum, neque letale accidit; secundum vero, si ipsa etiam anni tempestas, una cum morbo minime repugnet. Neque enim fere contingit, ut humana natura universi vim superet. Deinde si faciei partes extenuentur, et venae, quae in manibus sunt et oculorum angulis ac superciliis, quiescant, cum antea minime quiescerent. Tum vero si vox

[1] κέρδος. — [2] νοῦς. — [3] δοκέει. — [4] ἑκάστη τὲ ὅ τι νόσημα ἀγαθόν. — [5] ὅ τι νούσημα μακρόν. — [6] καί om. — [7] ὅ τι παρεστηκός. — [8] σκοπέεσθαι. — [9] καί om. — [10] ὅτε καί om. — [11] βιώσεσθαι. — [12] γίγνεσθαι. — [13] αὐτή τε sine μή. — [14] ὀφρῦσι. — [15] ἔχουσι.

1. μέγα — τέχνην.] Cf. Epid. III. § 15. p. 222. vol. I. κέρδος Parr. 3., uti V.; — δοκέῃ Parr. 4., Littr., δοκέοι duo alii.
δεῖ — περιεστικός.] ἑκάστη vulg., ἑκάστης Littr. ex Ep. III.; — περιεστηκός Parr. 6.
τάξιν — διαιτᾶν.] εἰδέναι ego de coniectura interposui.
2. μέγιστον — δύναμιν.] Fragmentum quintum Graecum libri περὶ ἑβδομάδων hoc caput refert. Adnoto tantum ea, in quibus a Littréi textu discessi. — Littr. βιώσασθαι, sequor V.; — αὐτή γε ἡ Littr. pro vulgata, quam e V. notavi et e qua redundans τε abieci.
ἔπειτα — ἡσυχάζουσαι.] ὀφρύῃσι Littr., quam formam recipere nolui.

Τοῦτο δὲ ἢν ἡ Φωνὴ ἀσθενεστέρη καὶ λειοτέρη γίγνηται καὶ τὸ πνεῦμα μανότερον καὶ λεπτότερον, ἐς τὴν ἐπιοῦσαν ἡμέρην ἄνεσις τῆς νούσου· ταῦτα οὖν χρὴ σκοπεῖν πρὸς τὰς κρίσιας καὶ εἰ παρὰ τὸ δικροῦν τῆς γλώσσης ὥσπερ σιάλῳ λευκῷ ἐπαλείΦεται· καὶ ἐν ἄκρῃ τῇ γλώσσῃ ταὐτὸ τοῦτο γεγένηται, ἧσσον δέ· εἰ μὲν οὖν σμικρὰ ταῦτα εἴη, ἐς τὴν τρίτην ἄνεσις τῆς νούσου· ἢν δέ τι παχύτερον, αὔριον· ἢν δ' ἔτι παχύτερον [1]αὐθημερόν. Τοῦτο δὲ, [2]τῶν ὀφθαλμῶν τὰ λευκὰ ἐν ἀρχῇ μὲν τῆς νούσου ἀνάγκη μελαίνεσθαι, ἐὰν ἰσχύῃ ἡ νοῦσος· ταῦτα οὖν καθαρὰ [3]γενόμενα τελείην ὑγίειαν δηλοῖ· ἀτρέμα μὲν, βραδύτερον, σΦόδρα δὲ, θᾶσσον.

γ'. Τὰ δὲ ὀξέα τῶν νοσημάτων γίγνεται ἀπὸ χολῆς, ὁκόταν ἐπὶ τὸ ἧπαρ ἐπιρρυῇ καὶ ἐς τὴν κεφαλὴν καταστῇ. Τάδε οὖν πάσχει· τὸ ἧπαρ οἰδέει καὶ ἀναπτύσσεται πρὸς τὰς Φρένας ὑπὸ τοῦ οἰδήματος, καὶ εὐθὺς ἐς τὴν κεΦαλὴν ὀδύνη ἐμπίπτει, μάλιστα δὲ ἐς τοὺς κροτάΦους· καὶ [4]τοῖσι ὠσὶ οὐκ ὀξὺ ἀκούει, πολλάκις δὲ καὶ τοῖσι ὀφθαλμοῖσι οὐχ ὁρᾷ· καὶ Φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. Ταῦτα μὲν [5]οὖν κατ' ἀρχὰς τοῦ νοσήματος αὐτῷ γίγνεται διαλιμπάνοντα, τοτὲ μὲν σΦόδρα, τοτὲ δὲ ἧσσον· ὁκόσῳ [6]δὲ ἂν ὁ χρόνος τῆς νούσου προΐῃ, ὅ τε πόνος πλείων ἐν τῷ σώματι καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ [7]σκιαυγεῖ, καὶ ἢν προσΦέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται διὰ τὸ μὴ ὁρῆν· [8]τούτῳ δ' ἂν γνοίης ὅτι οὐχ ὁρῇ, οὐ γὰρ σκαρδαμύσσει προσΦερομένου τοῦ δακτύλου. Καὶ τὰς κροκίδας ἀΦαιρέει ἀπὸ τῶν ἱματίων, [9]ἥν περ ἴδῃ, δοκέων Φθεῖρας εἶναι. Καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυχθῇ πρὸς τὰς Φρένας

remissior et exilior spiratioque rarior ac tenuior fuerit, in sequentem diem morbi remissio contingit. Haec igitur ad iudicationem in considerationem adhibenda sunt, et num linguae bifurculum velut saliva alba obducatur, numque in summa lingua hoc idem acciderit, minus tamen. Si quidem igitur exigua haec exstiterint, ad tertium diem morbi remissio exspectanda est; si vero aliquanto crassius, in crastinum; sin adhuc crassius, eodem ipso die. Quin etiam oculorum alba per initia quidem morbi nigrescere necesse est, si morbus invaluerit. Haec igitur si pura exsistunt, perfectam sanitatem, remisse quidem tardius, vehementer vero citius contingere denunciant.

3. At vero acuti morbi ex bile oriuntur, cum ad iecur confluxerit et ad caput pervenerit. Sic vero afficitur: iecur intumescit et propter tumorem ad septum transversum expanditur, statimque ad caput, praecipue vero ad tempora dolor ingruit, neque auribus acute audit, saepe vero oculis non videt, horrorque et febris invadit. Haec igitur per morbi initia ei accidunt et quandoque valde quidem, quandoque etiam minus intermittunt, quoque magis morbi tempus processerit, eo corporis dolor maior est; oculorum pupillae dissipantur eorumque acies hebescit, sique digitum ad oculum admoveris, non percipiet, ideo quod non videat. Eum autem non videre hinc cognosces, quod admoto digito non nictatur. Et floccos ex vestibus stragulis detrahit, si quos videat, pediculos esse ratus. Cumque iecur ad septum transversum magis explicatum fuerit, delirat, sibique ante oculos reptilia et varias cuiusvis generis feras ferri existimat et homines armatos, cum quibus pugnare videtur; et tanquam videat eiusmodi,

[1] αὐθημερινόν. — [2] ὁκόταν τῶν. — [3] γινόμενα. — [4] τοῖσί τε ὠσί. — [5] οὖν om. — [6] δ' ἄν. — [7] διαυγεῖ. — [8] τοῦτο. — [9] ἥν περ ἴδῃ om.

τοῦτο δὲ — αὐθημερόν.] ἡ Φωνὴ ἢ ἀσθ. vulgo, redundans ἢ delevi; — ἐς τὸ παραδικροῦν vulg., εἰ τὸ παρὰ δικροῦν Littr., vid. adn. ad lib. de Septim.; — ἢν δ' ἔτι Littr., sed vide ibid.

τοῦτο — θᾶσσον.] καθαρὰ γινόμενα Littr., aor. de meo; — σΦόδρα δὲ γινόμενον vulg., ego redundans γινόμενον delevi.

3. τὰ — καταστῇ.] Locus desumptus est ex § 48. lib. de Intt. aff. p. 381. seq. vol. II.; — γίνεται νοσημάτων H. III.

τάδε οὖν — ἐπιλαμβάνει.] τοῖσί τε ὠσί vulg., τε om. Littr. cum l. l.

ταῦτα — δακτύλου.] οὖν omm. Parr. 4.; — τοῦτο δ' ἂν γνοίης vulg.. τούτῳ Littr. ex l. l.

καὶ — εἶναι.] ἥνπερ ἴδῃ omm. Parr. 6., εἴδῃ vulg., ἴδῃ Littr. ex l. l.

καὶ ὁκόταν — πίπτει.] προσΦέρεσθαι vulg., προΦέρεσθαι

παραφρονέει· καὶ [1]προφέρεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν ἑρπετὰ καὶ ἄλλα παντοδαπὰ θηρία καὶ ὁπλίτας μαχομένους, καὶ αὐτὸς αὐτοῖς δοκέει μάχεσθαι, καὶ τοιαῦτα λέγει ὡς ὁρέων, καὶ ἐπέρχεται, καὶ ἀπειλεῖ, ἤν μήτις αὐτὸν ἐᾷ ἐξιέναι, καὶ ἢν ἀναστῇ, οὐ δύναται αἴρειν τὰ σκέλεα, ἀλλὰ πίπτει. Οἱ πόδες δὲ γίγνονται αἰεὶ ψυχροί· καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ ἐνύπνια ὁρᾷ φοβερά. Τούτῳ δὲ γιγνώσκομεν ὅτι ἀπὸ ἐνυπνίων ἀναΐσσει καὶ φοβέεται· ὅταν ἔννοος γένηται, ἀφηγεῖται τὰ ἐνύπνια τοιαῦτα, ὁκοῖα καὶ τῷ σώματι ἐποίεέ τε καὶ τῇ γλώσσῃ ἔλεγε. Ταῦτα μὲν οὖν ὧδε πάσχει. Ἔστι δ' ὅτε καὶ ἄφωνος γίγνεται ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα ἀναπνέων πουλὺ καὶ ἀθρόον τὸ πνεῦμα. Ὅταν δὲ παύσηται παραφρονέων, εὐθὺς ἔννοος γίγνεται καὶ ἢν ἐρωτᾷ τις αὐτὸν, ὀρθῶς ἀποκρίνεται καὶ γιγνώσκει πάντα τὰ λεγόμενα· εἶτα πάλιν ὀλίγῳ ὕστερον ἐν τοῖσι αὐτοῖσι ἄλγεσι κεῖται. Αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα ἐν ἀποδημίῃ καὶ ἤν πῃ ἐρήμην ὁδὸν βαδίσῃ· λαμβάνει δὲ καὶ [2]ἄλλως.

loquitur, irruit minaturque, si quis exire eum non permittat. Et si surrexerit, crura attollere nequit, sed cadit pedesque perpetuo sunt frigidi, cumque dormit, ex somno exsilit horrendaque insomnia videt. Quod autem propter insomnia exsiliat et terreatur, inde cognoscimus: cum ad mentem redierit, insomnia eiusmodi exponit, qualia corpore gessit et qualia lingua locutus est. Istaque eiusmodi patitur; interdum vero per totum diem et noctem voce privatur cum multa et conferta respiratione. Cum autem delirium cessavit, statim ad mentem redit, et si quis eum interroget, recte respondet et omnia, quae dicuntur, intelligit, deinde rursus paulo post iisdem prostratus doloribus decumbit. Hic morbus potissimum in peregrinatione accidit et si quando per deserta loca quis iter fecerit, etsi etiam aliter invadit.

δ'. Τέτανοι δύο ἢ τρεῖς. Ἢν μὲν ἐπὶ τρώματι γένηται, πάσχει τάδε· — αἱ γνάθοι πήγνυνται ὥσπερ ξύλα, καὶ τὸ στόμα ἀνοίγειν οὐ δύνανται, καὶ οἱ ὀφθαλμοὶ δακρύουσι θαμινὰ καὶ [3]ἕλκονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύνανται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας καὶ τὴν ῥάχιν· ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν καὶ τὰ βρώματα, ἃ πρότερον [4]ἐβεβρώκεε, διὰ τὰς ῥῖνας ἐνίοτε ἀνέρχεται.

4. Nervorum distentiones duae vel tres. Si quidem ex vulnere oboritur, sic aeger afficitur: maxillae velut ligna rigescunt, os aperire non potest; oculi frequenter illacrymantur et convelluntur; dorsum rigidum est; neque crura, neque manus, neque spinam inflectere potest. Cum vero letalis fuerit, potus et edulia, quae prius devoravit, per nares interdum exeunt.

[1] προφέρεσθαι. — [2] ἄλλους. — [3] ἑλκοῦνται. — [4] ἐβεβρώκεε ἀνὰ τὰς ῥ

Parr. 2., ut Voss., προφαίνεσθαι Parr. 3., Lind., Littr.; est autem lectio l. l., sed προφέρεσθαι dare potuit compilator noster; — ἐξέρχεται vulgo, quod sensu cassum, ἐπέρχεται repono ex l. l.; — ἐῴη, vulg., ἐῇ Lind., ἐᾷ dedi ex l. l.; — διεξιέναι vulg., quod mihi displicet, malo ἐξιέναι ex. l. l. scribere.

οἱ — φοβερά.] οἱ δὲ πόδες ἀεὶ ψυχροὶ γίνονται Parr. 3.; — ἐκ τοῦ ὕπνου Parr. 3.

τούτῳ — ἔλεγε.] τοῦτο ceteri, τούτῳ dedi ex l. l., ubi τῷδε; — tum ἀπὸ τῶν ἐνυπνίων Parr. 3.; — ἀφηγέεται γάρ vulgo, sed γάρ omisi cum E. K.; male etiam puncto distinguebatur post γένηται; — ταῦτα pro τοιαῦτα G.

ἔστι — πνεῦμα.] καί ante ἀθρόον cum Lind. ex l. l., unde ipse τό etiam adscivi; utrumque vulgo om.

ὅταν — κεῖται.] Pro εἶτα πάλιν Parr. 3. εἶτ' αὖθις, quae est lectio l. l.

αὕτη — ἄλλως.] βαδίσῃ om. J.; post βαδίσῃ Lind. καὶ ὁ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος, quae lectio vulg. l. l.

4. τέτανοι — τρεῖς.] cf. lib. de Aff. intt. § 52. p. 389. vol. II.

ἢν — ἀνέρχεται.] ἑλκοῦνται vulg., cum Lind., Littr. dedi lectionem l. l.; — δύναται I., Lind.; — ἐβεβρώκει H.; sed Ionica forma latet etiam l. l. in lectione editionum antiquarum ἐβέβρωκεν, quod omisso ε altero, natum ex ἐβεβρώκεεν,

ε'. Ὁ δὲ ὀπισθότονος, — τὰ μὲν ἄλλα πάσχει διὰ πλῆθος τὰ αὐτὰ, γίγνεται δὲ ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ· νοσέει δὲ [1] ἢ ἀπὸ ξυνάγχης, ἢ ἀπὸ σταφυλῆς, ἢ τῶν [2] ἀμφιβραγχίων ἐμπύων [3] γενομένων· ἐνίοισι δὲ καὶ ἀπὸ τῆς κεφαλῆς πυρετῶν γενομένων σπασμὸς ἐπιγίγνεται· ἤδη δὲ καὶ ὑπὸ τρωμάτων. Οὗτος ἕλκεται [4] εἰς τοὔπισθεν καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον πέπηγε καὶ τὰ στήθεα, καὶ οἰμώζει, καὶ οὕτω σπᾶται σφόδρα, ὥστε μόλις κατέχεσθαι ὑπὸ τῶν παρεόντων μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν.

5. In distentione ad posteriora, opisthotono dicta, in reliquis eodem ut plurimum modo afficitur aeger. Oritur autem cum ad posteriores cervicis tendones, aut ex angina, aut uva, aut locis ad tonsillas purulentis affectus fuerit. Quibusdam etiam ex capite febribus obortis convulsio accidit, tum vero etiam ex vulneribus. Hic in posteriora distrahitur et prae dolore dorsum et pectus rigescit et lamentatur et tam vehementer convellitur, ut vix ab iis, qui adsunt, contineatur, quin e lecto excidat.

ϛ'. Ὁ δὲ τέτανος ἧσσον θανατώδης τῶν πρόσθεν. Γίγνεται δὲ ἀπὸ τῶν αὐτῶν καὶ σπᾶται πᾶν τὸ σῶμα ὁμοίως.

6. Alia nervorum distentio minus quam priores letalis; ex iisdem autem oritur eodemque modo totum corpus convellitur.

ζ'. Καῦσος [5] δὲ τοῖσι προειρημένοισι οὐχ ὁμοίως γίγνεται· * Φῦσαι γὰρ ἅπαξ ὡς [6] ἠναγκάσθαι πυριάσασθαι. Δίψα μὲν οὖν πολλὴ ἔχει τὸν ἄνθρωπον καὶ πυρετὸς σφοδρός. Γλῶσσα δὲ ῥήγνυται τρηχυνομένη καὶ ξηρὴ γίγνεται, καὶ τὸ χρῶμα αὐτῆς τὸ μὲν πρῶτον ὠχρόν ἐστι, οἷόν περ εἴωθε, προϊόντος δὲ τοῦ χρόνου μελαίνεται, καὶ [7] εἰ μὲν ἐν ἀρχῇσι μελαίνοιτο, θάσσους αἱ κρίσιές εἰσι, ἢν δὲ ὕστερον, χρονιώτεραι.

7. At febris ardens non similiter ut praedicta oritur. . . . . Sitis igitur multa et vehemens febris hominem detinet. Lingua autem exasperata finditur et resiccatur coloreque primum quidem pallida est, uti consuevit, procedente vero tempore nigrescit. Quodsi quidem per initia nigrescat, celeriores iudicationes fiunt; sin postea, tardiores.

η'. Ἰσχιάδες δὲ ἀπὸ τῶνδε μάλιστα γίγνονται τοῖσι πολλοῖσι· ἢν [8] εἰληθῇ ἐν ἡλίῳ πουλὺν χρόνον, καὶ τὰ ἰσχία διαθερμανθῇ, καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ τὸ ἐνεὸν τοῖσι ἄρθροισι ὑπὸ τοῦ καύματος. Ὡς δ' ἀναξηραίνεται καὶ πήγνυται, [9] τόδε μέγα τεκμήριον· ὁ γὰρ νοσέων ἐνστρέφεσθαι καὶ κινέειν τὰ ἄρθρα οὐ

8. Coxendicum morbi plerisque ex his potissimum causis oriuntur: si quis diutius in sole versetur et coxendices incaluerint humorque, qui in articulis inest, ab ardore resiccatus fuerit. Quod autem resiccetur et concrescat, id magno est indicio. Aeger enim articulos prae dolore, qui in iis est, neque inflectere, nec

[1] καὶ ἀπὸ σ. — [2] ἀντιβραχίων. — [3] γινομένων. — [4] ἐς. — [5] δέ om. — [6] ἠνάγκασται. — [7] ἢν — μελαίνηται. — [8] ἔλθῃ. — [9] τόδε om.

ita ut ibi quoque ἐβεβρώκεε dandum sit; — ἔρχεται cett., ἀνέρχεται ex l. l.

5. ὁ δὲ — τρωμάτων.] Vid. ibid. § 55. p. 390.; — διά om. K.; — ἀντιβραγχίων vulg., cum Lind., Littr. dedi lect. l. l.; — τῆς ante κεφαλῆς vulgo om., addunt Parr. 3. et l. l.; — πυρετῶν ἐπιγεγενημένων vulg., ἐπιγενομένων Parr. 3., sed compositum incongruum, quare γενομένων, uti l. l., scripsi; mavisne γεγενημένων? non adversor.

οὗτος — οἰμώζει.] καί ante οἰμώζει cum Lind., Littr. ex l. l. adscivi; exciderat e vulg.

καὶ οὕτω — ἐκπίπτειν.] vulgo καί abest et οὗτος scribitur; sed dedi lect. ex lib. l.; — κατέχουσιν οἱ παρεόντες Parr. 3.; — κατέχεσθαι Lind., κατέχεται vulg.

6. ὁ — ὁμοίως.] vid. § 54. l. l., p. 391.

7. καῦσος — πυριάσασθαι.] comparant de morbis III. 6. p. 250. vol. II.; — δέ omm. Parr. 3.; — Φύσει pro Φῦσαι Parr. 6., Φλύει Lind.; Latine Corn., Foës. locum reddunt, quasi πυρέξαι scriptum esset: itaque Littr., licet fateatur incertam esse emendationem, dedit: Φύσει γὰρ ἅπας ὡς ἠναγκάσθαι πυρέξαι. Est tamen hoc eiusmodi, ut nemo intelligat. Ego, quum exitum non reperiam, exhibeo vulgatam asterisco notatam.

δίψα — σφοδρός.] δίψαι μὲν οὖν πολλαί Parr. 2.

8. ἰσχιάδες — καύματος.] cf. de Intt. aff. § 51. p. 386. vol. II.; — ἔλθῃ vulg., sed dudum ex l. l. εἰληθῇ expresserunt, aut dederunt.

ὡς — ξυμπεπηγέναι.] τόδε omm. Parr. 3., uti V., quae lectio non prava; — vulgo τοῦ ξυμπεπηγέναι τοὺς σπον-

δύναται ὑπὸ τῆς ἀλγηδόνος τῶν ἄρθρων καὶ τοῦ ξυμπεπηγέναι. Ἀλγέει δὲ μᾶλλον τὴν ὀσφὺν καὶ τοὺς σπονδύλους τοὺς ἐκ πλαγίου τῶν ἰσχίων καὶ τὰ γούνατα· ἵσταται δὲ ἡ ὀδύνη πλεῖστον χρόνον ἐν τοῖσι βουβῶσι [1]ἅμα καὶ ἐν τοῖσι ἰσχίοισι ὀξεῖα καὶ καυματώδης· καὶ ἤν τις αὐτὸν ἀνιστῇ [2]ἢ μετακινέῃ, οἰμώζει ὑπὸ τῆς ἀλγηδόνος, ὅσον ἂν μέγιστον [3]δύνηται· ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίγνεται καὶ ῥῖγος καὶ πυρετός. Γίγνεται δὲ ἀπὸ χολῆς καὶ φλέγματος, γίγνεται δὲ καὶ ἀπὸ αἵματος· καὶ ὀδύναι παραπλήσιοι ἀπὸ πάντων τούτων καὶ ῥῖγος καὶ πυρετὸς ἐνίοτε [4]ἐπιλαμβάνει βληχρός· ἀλλὰ χρὴ ὧδε μελετῆν.

movere potest et quia constricti sunt. Dolor autem magis est ad lumbos et vertebras, quae ex obliquo coxendicum sitae sunt, et ad genua. Dolor autem acutus et aestuosus plurimo tempore in inguinibus simul et in coxendicibus insistit; et si quis eum erigat, aut de loco moveat, ingemiscit quam maxime potest prae dolore. Interdum vero etiam convulsio et rigor et febris supervenit. Oritur autem a bile et pituita, oritur etiam a sanguine, et dolores ab omnibus his sunt similes et rigor et febris levis interdum prehendit. Sed ita morbum tractare oportet.

θ'. Ἴκτερος δέ ἐστι τοιόσδε, ὁ ὀξὺς καὶ ταχέως ἀποκτείνων· ἡ χροιὴ ὅλη σιδιοειδὴς σφόδρα [5]ἐστὶ ἢ χλωροτέρη, καθὰ καὶ οἱ σαῦροι οἱ χλωροί· παρόμοιος δέ οἱ ὁ χρὼς, καὶ ἐν τῷ οὔρῳ ὑφίσταται οἷον ὀρόβιον πυρρὸν, καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει· ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται, καὶ ξύεται τὰ ἑωθινὰ, ἄσιτος ἐὼν, τὰ ἔνδοθεν· ἔπειτα μύζει τὰ σπλάγχνα ὡς ἐπιτοπολύ. Καὶ ὁκόταν ἀνιστῇ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. [6]Οὗτος ὡς ἐπιτοπολὺ θνήσκει ἐντὸς τεσσαρεσκαίδεκα [7]ἡμερέων· ταύτας δὲ διαφυγὼν ὑγιαίνει.

9. Morbus regius acutus et qui cito perniciem adfert est eiusmodi: color totus mali Punici corticem admodum refert, vel viridior est, quemadmodum lacerti virides; simile illi corpus est et in urina quod subsidet, velut ervum rubrum; et febris et horror levis detinet. Interdum vero etiam vestem stragulam habere non sustinet, sed matutino tempore ieiunus intus mordetur et raditur, deinde ut plurimum viscera strepitum edunt et si quis eum erigat, aut alloquatur, non sustinet. Hic fere intra dies quatuordecim moritur, quos si effugerit, convalescit.

ι'. Ἡ δὲ περιπνευμονίη τοιάδε ποιέει· πυρετός [8]τε ἰσχυρὸς ἴσχει, καὶ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνέει· καὶ ἀπορίη καὶ ἀδυναμίη ἔχει, καὶ ῥιπτασμὸς, καὶ ὀδύναι ὑπὸ τὴν

10. In pulmonis inflammatione haec eveniunt: febris vehemens detinet, crebra est et calida respiratio, anxietudo et impotentia vexat et corporis iactatio dolorque sub scapulis, ad

[1] ἀλλὰ καί. — [2] οὐ μετακινέεται οἰμώζει δὲ ὑπό. κ. τ. λ. — [3] ὀδυνῆται. — [4] δὲ ἐπιλαμβ. — [5] δ' ἐστί χλωρ. — [6] οὗτος ἐπὶ τὸ πουλύ. — [7] ἡμέρας. — [8] τε om.

δύλους. unde τοὺς σπονδ. reieci, qua de re dixi ad l. l.
ἀλγέει — πυρετός.] Totam periodum omm. Parr. 3.; — ἐκ τοῦ πλαγίου vulg., ἐκ πλαγίων Parr. 3., unde ἐκ πλαγίου dedi; — ἀλλὰ καί vulg., ἅμα καί Lind., Littr. ex l. l.; — ἀνιστῇ οὐ μετακινέεται vulg., ἀνιστῇ ἢ μετακινέῃ (μέγα κινέῃ Lind.) Parr. 3., Littr.; — οἰμώζει δέ vulg., δέ omm. Parr. 3., Lind., Littr.; — δή pro ἄν Parr. 3.; — ὀδυνῆται vulgo, δύνηται H., Lind., Littr.
γίγνεται — μελετῆν.] ἀπὸ χολῆς καὶ φλέγματος Foës. Latine, Lind. ex l. l.; — καὶ φλ. abest e vulgata; — καὶ ἀπὸ αἵματος sine praevio γίνεται δέ L.; — ἀπὸ πάντων τῶν νοσημάτων vulgo, quod quum ineptius sit quam ut ab inepto compilatore profectum putem, dedi quod lib. de Intt. aff. legitur; — ἐνίοτε δέ vulg., sed δέ omm. Parr. 4., Lind., Littr. — Vide tamen quam ineptus homo sit, qui haec consarcinavit: excerpit ἀλλὰ χρὴ ὧδε μελετῆν et curandi methodum silentio supprimit!

9. ἴκτερος — πολύ.] cf. de Morbis III. 11. p. 254. vol. II.; — δὲ ὁ τοιόσδε Lind. ex l. l., unde ego τοιόσδε ὁ dedi, quod in vulg. om.; — ἡ χροιὴ δέ cett., δέ abiicio, cf. l. l.; — ὀξύς τε καί Parr. 2., cf. l, l.; — σφόδρα δέ ἐστι χλωροτέρη vulg., sed δέ omm. H. K.; textum dedi cum Littréo ex l. l.; — ἢ pro καθὰ καί Parr. 3.; — οἱ χλωροί dedi ex lib. l., vulgo οἱ χλωρότεροι, cuius vitii origo aperta; — δὲ καὶ ὁ χρώς Parr. 3., uti l. l.; — τὰ ἔνδοθέν οἱ μύζει ὡς ἐπιτοπουλύ pro τὰ — ἐπιτοπολύ Lind.
οὗτος — ὑγιαίνει.] ὑγιαίνοι K., ὑγιής H. — Summatim de hoc capitulo tenendum comparationem cum loco simili ex lib de Intt. aff. docere plura hîc minus apte expressa esse quam illîc, sed non facile distingui num librarius an compilator noster culpandus sit.
10. ἡ — παραφροσύναι.] cf. de Morbis III. 15. p. 258. vol. II.; — ταῦτα ποιέει J.; — ἔχει ponitur post ῥιπτασμός in Parr. 2.; — περὶ τὴν ὠ. vulgo, ὑπό dedi cum Parr.

ὠμοπλάτην καὶ ἐς τὴν κληῗδα καὶ ἐς τὸν τιτθὸν, καὶ βάρος ἐν τοῖσι στήθεσι, καὶ παραφροσύναι. Ἔστι δ' ὅτε καὶ ἀνώδυνός ἐστι, ἕως ἂν ἄρξηται βήσσειν, πολυχρονιωτέρη δὲ ἐκείνης καὶ χαλεπωτέρη. Τὸ δὲ σίαλον λευκὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. Ἡ δὲ γλῶσσα ξανθὴ, προϊόντος δὲ τοῦ χρόνου μελαίνεται· [1] ἢν μὲν οὖν ἐν ἀρχῇ μελαίνηται, θάσσους αἱ ἀπαλλαγαί· ἢν δὲ ὕστερον, σχολαίτεραι· [2] τελευτῶσα δὲ καὶ ῥήγνυται, κἢν προσθῇς τὸν δάκτυλον, ἔχεται· [τὴν δὲ ἀπαλλαγὴν τῆς νούσου σημαίνει ἡ γλῶσσα, ἅπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως.] Ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον, τὸ πλεῖστον δὲ εἴκοσι καὶ μίαν, καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα, καὶ καθαίρεται ἅμα τῇ βηχὶ τὸ μὲν πρῶτον πουλὺ καὶ ἀφρῶδες σίαλον, ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὅταν ὁ πυρετὸς ἀκμάζῃ καὶ ὑγρὴ ἔῃ ἡ περιπνευμονίη, [3] παχύτερον· ἢν δὲ μὴ, οὔ· ἐνάτῃ δὲ καὶ δεκάτῃ ὑπόχλωρον καὶ ὕφαιμον· δωδεκάτῃ δὲ καὶ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. [Ὧν ὑγραί εἰσι αἱ [4] φύσιες καὶ διαθέσιες τοῦ σώματος, καὶ ἡ νοῦσος ἰσχυρή· ὧν δὲ ἥ τε φύσις καὶ ἡ [5] κατάστασις τῆς νούσου ξηρὴ, ἧσσον οὗτοι.]

iugum et mammam, in pectore pondus et deliria. Interdum vero, quoad tussis coeperit, sine dolore est, sed illa longior et molestior est. Primis diebus sputum album et spumosum exspuit, lingua vero flava est, sed procedente tempore nigrescit. Si igitur per initia nigrescat, celeriores sunt iudicationes, postea vero tardiores. Tandem etiam lingua finditur et si digitum admoveris, adhaerescit. Haec accidunt diebus ad minimum quatuordecim, ut plurimum vero uno et viginti, quo tempore vehementer tussit unaque cum tussi reiicit primum quidem copiosa sputa et spumosa, at septimo atque octavo die cum febris in vigore et humida pulmonis inflammatio fuerit, crassius, alioqui minime, nono vero et decimo die aliquantulum ex viridi pallescens et subcruentum, duodecimo autem et ad decimum quartum usque copiosum et purulentum.

ια'. Περὶ δὲ κρισίμων [6] ἡμερέων ἤδη μέν μοι καὶ πρόσθεν λέλεκται· κρίνονται δὲ οἱ πυρετοὶ τεταρταῖοι, ἑβδομαῖοι, ἑνδεκαταῖοι, [7] τεσσαρεσκαιδεκαταῖοι, ἑπτακαιδεκαταῖοι, εἰκοστῇ πρὸς τῇ μιῇ· ἐκ δὲ τούτων τῶν ὀξέων τριακοσταῖοι, [8] εἶτα τεσσαρακοσταῖοι, εἶτα ἑξηκοσταῖοι· ὅταν δὲ τούτους τοὺς ἀριθμοὺς ὑπερβάλλῃ, χρονίη ἤδη γίγνεται ἡ κατάστασις τῶν πυρετῶν.

11. Ac de iudicatoriis diebus iam quidem etiam ante a me dictum est. Iudicantur autem febres quarto die, septimo, undecimo, decimo quarto, decimo septimo, uno et vigesimo. Post hos vero acutos trigesimo, deinde quadragesimo, postea sexagesimo. Ubi vero hos numeros superant, diuturna iam evadit febrium conditio.

[1] ἢν — μελαίνη τοι θάσσους. — [2] τελευτῶσα. — [3] βραχύτερον. — [4] φυσι καὶ διαθέσις (sic). — [5] στάσις. — [6] ἡμερέων. — [7] τεσσαρεσκαιδ. om. [8] εἶτα τεσσαρακ. abest.

2. et l. l.; — καὶ ἐς τὴν κλ. καὶ ἐς τὸν τ. scripsi cum Parr. 2. et l. l., vulgo utrumque ἐς abest.

ἔστι — πρῶτον.] ἔσται vulg., ἔστι Littr, cum mss. 7.; — δ' οἷσι Lind. ex l. l.; — χρονιωτέρη Parr. 3.

ἡ δὲ — ὁμοίως.] οὖν om. K.; — μελαίνοιτο vulg., cum Lind. ex l. l. subiunctivum dedi; — τελευτῶσαι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα vulg. τελευτῶσι Parr. 3., Lind., Littr., l. l., sed parum recte: vid. emendanda ad calcem vol. II.; requiritur τελευτῶσα et ἡ γλῶσσα pro scholio eiiciendum est; — ὥσπερ pro ἅπερ in varr. lectt. adnotat Littr. Uncinis intersepta eieci ex l. l.

ταῦτα — πυῶδες.] ὑγρὰ (ὑγρή Lind. cf. l. l.) εἴη (ᾖ Parr. 3., Littr.) vulg.; ex εἴη dedi ἔῃ; — tum βραχύτερον pro παχύτερον Parr. 4.; — καὶ παχύτ. H. K.; — εἰ δὲ μή H.; — καί ante μέχρι ex H. I. J. recepi; — τεσσαρεσκαίδεκα sine τῆς Parr. 3.

[ὧν — οὗτοι.] De his uncinis interseptis vide adn. ad l. l. p. 258. seq.

11. περὶ — πυρετῶν] εἰκοστῇ πρώτῃ E., Lind., εἰκοστῇ καὶ πρώτῃ H. K.

ΠΕΡΙ ΙΗΤΡΟΥ.

ΑΔΗΛΟΥ ΤΙΝΟΣ ΙΑΤΡΟΥ ΝΕΩΤΕΡΟΥ ΣΥΓΓΡΑΜΜΑ ΕΣΤΙΝ.

DE MEDICO.

INCERTI CUIUSDAM MEDICI RECENTIORIS SCRIPTUM EST.

ΠΕΡΙ ΙΗΤΡΟΥ.

α'. Ἰητροῦ μέν ἐστι προστασίη ὁρῆν εὔχρως τε καὶ εὔσαρκος πρὸς τὴν ὑπάρχουσαν αὐτῷ φύσιν· ἀξιοῦνται γὰρ ὑπὸ τῶν πολλῶν οἱ μὴ εὖ διακείμενοι τὸ σῶμα αὐτοὶ, οὐδ' ἂν ἑτέρων ἐπιμεληθῆναι καλῶς· ἔπειτα πρέπει αὐτὸν καθαρείως ἔχειν ἐσθῆτί τε χρηστῇ καὶ χρίσμασι εὐόδμοισι· πρὸς ἅπαντα ταῦτα γὰρ ἡδέως ἔχειν ξυμβαίνει τοὺς νοσέοντας. Δεῖ δὲ σκοπέειν τάδε περὶ τὴν ψυχήν· — σώφρονα μὴ μόνον τὸ σιγᾶν, ἀλλὰ καὶ περὶ τὸν βίον πάνυ εὔτακτον εἶναι· μέγιστα γὰρ ἔχει πρὸς δόξαν ἀγαθά· τὸ δὲ ἦθος εἶναι καλὸν καὶ ἀγαθόν· τοιοῦτον δ' ὄντα πᾶσι καὶ σεμνὸν καὶ φιλάνθρωπον καὶ ἐπιεικέα· τὸ γὰρ προπετὲς καὶ τὸ πρόχειρον καταφρονεῖται, κὴν πάνυ χρήσιμον ᾖ, σκοπέειν δὲ ἐπὶ τῆς ἐξουσίης· τὰ γὰρ αὐτὰ παρὰ τοῖς αὐτοῖς σπανίως ἔχοντα ἀγαπᾶται. Σχήματι δὲ,

DE MEDICO.

1. Medico auctoritatem conciliat si bene coloratus et optime habito sit corpore pro sua natura. Qui enim ipsi non bene habito sunt corpore, apud vulgum neque aliorum recte curam habere putantur. Tum eum decet munde se habere vestimento apto et bene olentibus unguentis. Omnia enim haec aegrotantibus iucunda esse solent. Circa animum haec eum spectare oportet; continentem non solum ut taceat, sed in reliqua etiam vita moderatum esse. Quod ad comparandam gloriam plurimum illi adfert adiumenti. Bonis etiam ac honestis sit moribus, unaque gravitatem cum humanitate coniunctam habeat et cum aequitate; nam temeraria proclivitas et promptitudo, quamvis valde sit utilis, despectui est. At considerandum quando his uti liceat. Eadem enim apud eosdem, cum rara sunt, aestimantur. Quod ad gestum atti-

1. ἰητροῦ — νοσέοντας.] Vulgo: τὸ μὲν γράμμα ἐστὶν ἰητροῦ προστασίη καὶ παράγγελμα πῶς χρὴ κατασκευάζειν ἰητρεῖον· ἰητροῦ μὲν εἶναι προστασίην ὁρῆν εὔχρως τε καὶ εὔσαρκος ἔσται πρὸς τὴν ὑπάρχουσαν αὐτῷ φύσιν. Haec olim liberavi adnotatione τὸ μὲν γράμμα (fortasse σύγγραμμα) ἐστὶ παράγγελμα πῶς χρὴ κατασκευάζειν ἰητρεῖον. Reliqua tunc describenda visa sunt quemadmodum ea exhibui et Littr. edidit. In iis, quae sequuntur, vulgata fert ἀξιοῦνται γὰρ ὑπὸ τῶν πολλῶν οἱ μὴ εὖ διακείμενοι τὸ σῶμα οὕτως ὡς οὐδ' ἂν ἑτέρων ἐπιμεληθῆναι καλῶς. Unde olim eieci οὕτως ὡς simul [δύνασθαι] ἐπιμεληθῆναι scribens. Littréus οὕτως servavit, δύνασθαι non recepit; et nunc quidem δύνασθαι non requiri puto, sed οὕτως omnino perinde ac ὡς emblema esse alienum; fieri possit etiam ut οὕτως ortum sit ex αὐτοί, quod in antithesi cum ἑτέρων requiri videtur; — potius tamen credo οὕτως esse emblema, αὐτοί excidisse e contextu. Porro vulgata ἔπειτα περὶ αὐτῶν καθαίρειν (αὐτοῦ καθορῆν pro αὐτῶν καθαίρειν L.) ὡς ἔχειν ἐσθῆτι (χρῆσθαι h. l. interponit Lind.) χρηστῇ κ. τ. λ., — et ἔπειτα τὰ περὶ αὐτὸν καθαρῶς ἔχει Merc. varr. lectt., Zuing., Lind. Ipse olim proposueram, quod nunc exhibeo, sed Littr. partim Mercurialis lectionem amplexus edidit ἔπειτα τὰ περὶ αὐτὸν καθαρίως ἔχειν, ἐσθῆτι χρηστῇ κ. τ. λ., quod constare non potest: nempe non τὰ περὶ τὸν ἰητρὸν καθαρείως ἔχει ἐσθῆτι χρηστῇ, sed αὐτὸς ὁ ἰητρὸς καθαρείως ἔχει ἐσθῆτι χρηστῇ; unde fit, ut περί ferri non possit, sed necesse sit περί in πρέπει mutare. Tum post εὐόδμοις vulgatae abieci ὀδμὴν ἔχουσιν ἀνυπόπτως, quod Littr. retinuit quidem, sed scholion refert inepte in textum illatum, olim ad εὐόδμοις adscriptum, non ferendum.

δεῖ — ἀγαπᾶται.] δεῖ δὲ τοῦτον (τοῦτο C. U.) σκοπέειν τάδε περὶ τὴν ψυχὴν σώφρονα vulg. Cum Littréo eiicio τοῦτον s. τοῦτο, sed ille τόν ante σώφρονα de coniectura exhibet; quod autem dicit „il faut lire τήν ou τόν. Je préfère τόν," eiusmodi est, ut partim tantum consentiam; nimirum τήν nullo modo congruit, τόν requiritur si post σώφρονα distinguas; sin ante, eo non opus est. Tum τὸ (τῷ U.) σιγᾶν vulg. et dein ἀλλὰ καὶ περὶ τὸν βίον πάνυ εὔτακτον, ubi Littréus [τό] ante πάνυ εὔτακτον intulit. Equidem malui εἶναι addere post εὔτακτον, quo pacto sequentia structurâ melius cum his congruunt. Ex codd. E. Q.' recepi καὶ ἐπιεικέα, quod excidisse videtur e vulgata, non emblema esse in his libris. Tum σκοπὸν δὲ ἐπὶ κ. τ. λ. vulg.; Foës. σκοπεῖν coniecit, Petrequin σκεπτέον, quod recepit Littr., sed procul dubio sola Foësii coniectura probanda, quam Ionice scriptam dedi. Tandem σπανίως ἔχουσι vulgo; σπανίως ἔχοντα reposuit Littr., quem sequor.

σχήματι — ἥκιστα.] σχήμασι ceteri, de meo sing. num.

ἀπὸ μὲν προσώπου ξύννουν μὴ πικρῶς· αὔθαδες γὰρ δοκέει εἶναι καὶ μισάνθρωπον· ὁ δὲ εἰς γελῶτα ἀνιέμενος καὶ λίην ἱλαρὸς, φορτικὸς ὑπολαμβάνεται· φυλακτέον δὲ τὸ τοιοῦτον οὐχ ἥκιστα. Δίκαιον δὲ πρὸς πᾶσαν ὁμιλίην εἶναι· χρὴ γὰρ πολλὰ ἐπικουρέειν δικαιοσύνην· πρὸς δὲ ἰητρὸν οὐ μικρὰ ξυναλλάγματα τοῖσι ἀρρωστέουσί ἐστι· καὶ γὰρ ἑωυτοὺς ὑποχειρίους ποιέουσι τοῖσι ἰητροῖσι καὶ πᾶσαν ὥρην ἐντυγχάνουσι γυναιξὶ, παρθένοισι, τοῖσι ἀξίοισι πλείστου κτήμασι· ἐγκρατέως οὖν δεῖ πρὸς ἅπαντα ἔχειν ταῦτα. Τὴν μὲν οὖν ψυχὴν καὶ τὸ σῶμα οὕτω διακεῖσθαι.

β'. Τὰ δὲ ἐς τὴν ἰητρικὴν τέχνην παραγγέλματα, δι' ὧν ἔστι εἶναι τεχνικὸν, ἀπ' ἀρχῆς ξυνοπτέον, ἀφ' ὧν καὶ μανθάνειν ἂν ὤνθρωπος ἄρξαιτο· τὰ τοίνυν ἐν ἰητρείῳ θεραπευόμενα σχεδὸν μανθανόντων ἐστί. Δεῖ δὲ πρῶτον μὲν τόπον ἔχειν οἰκεῖον, ἔσται δὲ τοῦτο ἐὰν μήτε πνεῦμα ἐς αὐτὸν παραγιγνόμενον ἐνοχλῇ, μήθ' ἥλιος ἢ αὐγὴ λυπέῃ. Φῶς δὲ τηλαυγὲς τοῖσι μὲν θεραπεύουσι ἄλυπον, οὐχ ὁμοίως δὲ τοῖσι θεραπευομένοισι ὑπάρχει· πάντως μὲν οὖν τοιαύτην τὴν αὐγὴν μάλιστα φευκτέον, δι' ἣν ξυμβαίνει τοὺς ὀφθαλμοὺς νοσέειν· τὸ μὲν οὖν φῶς τοιοῦτον εἶναι παρήγγελται· τοῦτο δὲ, ὅπως μηδαμῶς ἐναντίως ἕξει τῷ προσώπῳ τὰς αὐγάς· προσενοχλεῖ γὰρ τὴν ὄψιν ἀσθενέως ἔχουσαν· πᾶσα δ' ἱκανὴ πρόφασις ἀσθενέοντας ὀφθαλμοὺς ἐπιταράξαι· τῷ μὲν οὖν φωτὶ τοῦτον τὸν τρόπον χρηστέον ἐστί. Τοὺς δὲ δίφρους ὁμαλοὺς εἶναι τοῖσι ὕψεσι ὅτι μάλιστα, ὅπως κατ' αὐτοὺς ὦσι. Χαλκώματι δὲ πλὴν τῶν ὀργάνων μηδενὶ χρῆσθαι· καλλωπισμὸς γάρ τις εἶναί μοι δοκεῖ φορτικὸς

nis eruptiones, nisi abscessus succedant, ex quibus ii sunt optimi, qui maxime cruenti. Qui vero in pectore dolores sentiunt et temporis tractu extenuantur, tussi et difficultate spirandi conflictantur, si neque febres prehendant, neque suppurationes succedant, ex iis percontari oportet, si quando tussiunt et difficulter spirant, num etiam concretum quiddam et parvum, olens per tussim reiiciant.

η'. Περὶ δὲ ποδαγριώντων τάδε· ὅσοι μὲν [6] γέροντες περὶ τοῖσι ἄρθροισι ἐπιπωρώματα ἔχουσι καὶ τρόπον [7] ἀταλαίπωρον ζῶσι κοιλίας ξηρὰς ἔχοντες, οὗτοι μὲν πάντες ἀδύνατοι ὑγιέες γίγνεσθαι ἀνθρωπίνῃ τέχνῃ, ὅσον ἐγὼ οἶδα· ἰῶνται [8] δὲ τούτους ἄριστα μὲν δυσεντερίαι, ἢν ἐπιγένωνται, ἀτὰρ καὶ ἄλλαι ἐκτήξιες ὠφελέουσι κάρτα αἱ ἐς τὰ κάτω χωρία ῥέπουσαι. Ὅστις δὲ νέος ἐστὶ καὶ ἀμφὶ τοῖσι ἄρθροισι οὔπω ἐπιπωρώματα ἔχει καὶ τὸν τρόπον ἐστὶ ἐπιμελής τε καὶ φιλόπονος καὶ κοιλίας ἀγαθὰς ἔχων ὑπακούειν πρὸς τὰ ἐπιτηδεύματα, οὗτος δὴ ἰητροῦ γνώμην ἔχοντος ἐπιτυχὼν ὑγιὴς ἂν γένοιτο.

8. At de his, qui podagra tentantur, ista nobis dicenda videntur. Qui in senectute callos induratos in articulis habent et citra laborem vitam degunt cum alvo sicca, ii sane omnes, ut sentio, humana arte sanari nequeunt. His certe succedentes intestinorum difficultates optime medentur, quin et quaecumque aliae colliquationes infernae eos valde iuvant. Iuvenis vero, cui necdum circum articulos calli induruerunt, cuique victus ratio curae est, ad laborem est impiger alvumque habet vitae instituto probe cedentem, is sane prudentem nactus medicum, sanus evadet.

θ'. Τῶν δ' ὑπὸ τῆς ἱερῆς νόσου λαμβανο-

9. Ex morbo sacro aegerrime emergunt qui-

[1] ἐπιγένωνται. — [2] αἱματηρότεται. — [3] ἐκπυημάτων. — [4] καί. — [5] ἐκβήσσωσι. — [6] ἢ γέροντες. — [7] ταλαίπωρον. — [8] μέν.

Littr.; vulgo om.; — καὶ τῷ στήθει D.; — καὶ μετὰ τὴν ἀναρρ. om. K.; — καὶ πυρετοὶ οἱ (οἵ J. α.) (ante πλ. addit κάρτα J., δέ Lind.) πλεῖσται vulg.; Littr. οἱ in οὐ mutavit, equidem οἱ servare malo et οὐ ante διατελέουσι inferre: — καί ante δίψαν H., καί om. vulg.; — φέροντες vulg., φέρουσι F. G., Littr.; — εἰ — ἐπιγένωνται vulgo, ἐπιγίνονται Littr. partim propter εἰ, partim quia aoristum minus probaret; equidem malo εἰ in ἢν mutare servato aoristo.

ὁκόσοισι — ἐκβήσσουσι.] καὶ δύσπνοιαι γίνονται vulgo; de meo δύσπνοοι scripsi, uti paulo post δύσπνοοι ἔωσι; structura loci facit ut adiectivum praeferam; — ἐκπυημάτων edd. antt., mss. 6.; — ἔωσι καὶ (ante καί addunt εἰ K., Mack.; ἢ pro καί alia m. H.) ξυνεστραμμ. vulg.; textum descripsi quemadmodum Littr.; — μικρήν vulg., μικρόν edd. antt., mss. 7., Littr.; — ἐκβήσσωσι vulg., ἐκβήσσουσι Littréus propter mutatam lectionem in illis.

8. περὶ — ῥέπουσαι.] περὶ δὲ (δέ om. G.) ποδαγριόντων in titulo F. G., — π. δὲ π. τάδε om. K., — δέ om. Ald., — ποδαγρώντων mss. 6., Littr.; — μὲν ἢ (ἤ om. K.) γ. ἢ (ἤ om. Lind.) vulg.; equidem prius ἤ cum K. omitto; alterum in καί muto; — ταλαίπωρον vulg., emendarunt Coraës, Littr; — ἀδύνατον F.; — ἰῶνται μὲν (δέ pro μέν H. alia manu) τούτους vulg.; Coraës pro vulgato μέν desideravit μέντοι; Littréus δέ ex H. recepit; — αἱ ante ἐς τὰ κάτω om. J.

ὅστις — γένοιτο.] οὗτος δὲ ἰητροῦ codd. 4.; δή in his omm. duo alii.

9. τῶν — σώματος.] ὁκόσοισι δ' ἂν vulg., δ' omm. mss. 6. et omittendum esse dudum viderunt; — ξυμβήσεται vulg. ξυμβήσηται D. H. U., Opsop., Littr., ξυμβήσοιτο J., ξυμβῇ

μένων χαλεπώτατοι μὲν ἐξίστασθαι, ὁκόσοισι ἂν ἀπὸ παιδὸς [1] ξυμβῇ τε καὶ ξυνανδρωθῇ τὸ νόσημα· ἔπειτα δὲ ὅσοισι ἂν γένηται ἐν ἀκμάζοντι τῷ σώματι· μετὰ δὲ τούτους ὅσοις ἂν γένηται τὸ νόσημα μηδὲν προσημαῖνον, ὁκόθεν ἄρχεται τοῦ [2] σώματος. Οἷσι δὲ ἀπὸ τῆς κεφαλῆς δοκέει ἄρχεσθαι, ἢ ἀπὸ τοῦ πλευροῦ, ἢ ἀπὸ τῆς χειρὸς, ἢ [3] τοῦ ποδὸς, εὐπετέστερα ἰῆσθαι· διαφέρει [4] δὲ καὶ ταῦτα· τὰ γὰρ ἀπὸ τῆς κεφαλῆς τούτων χαλεπώτατα· ἔπειτα δὲ ἀπὸ τοῦ πλευροῦ· τὰ δὲ ἀπὸ τῶν χειρῶν τε καὶ ποδῶν μάλιστα οἷά τε ἐξυγιάζεσθαι. Ἐπιχειρέειν δὲ χρὴ τὸν ἰητρὸν εἰδότα τὸν τρόπον τῆς ἰήσιος, ἢν ἔωσι νέοι τε καὶ φιλόπονοι· πλὴν ὅσων αἱ φρένες τι κακὸν ἔχουσι, ἢ εἴ τις ἀπόπληκτος γέγονε· αἱ [5] μὲν γὰρ μελαγχολικαὶ ἐκστάσιες οὐ λυσιτελέες· αἱ δὲ ἄλλαι ἀποστάσιες [6] αἱ ἐς τὰ κάτω τρεπόμεναι πᾶσαι ἀγαθαί· ἄρισται δὲ καὶ ἐνταῦθα πολλῷ αἱ αἱματηρόταται. Ὁκόσοι δὲ γέροντες ἤρξαντο λαμβάνεσθαι, ἀποθνήσκουσί τε μάλιστα καὶ ἢν μὴ ἀπόλωνται, τάχιστα ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου, ὑπὸ δὲ τῶν ἰητρῶν ἥκιστα ὠφελέονται.

buscum una a puero increscit morbus et in virilem aetatem simul adolescit; deinde quibus corpore maxime vigente ortus est; post hos, quibus morbus accidit, neque ante in corporis partibus aliquis venientis mali signum est. Quibus vero ex capite initium ducere videtur, aut latere, aut manu, aut pede, ii facilius sanantur. Haec tamen etiam inter se differunt. Ex his namque molestissimi sunt qui a capite originem trahunt, deinde ex latere, qui vero a manibus ac pedibus praecipue sanitatem recuperant. His autem manum admovere medicum oportet, qui recte curationis rationem tenuerit, ubi iuvenes fuerint et laboribus dediti, nisi si cui mens male sit affecta, aut quis attonitus fuerit; melancholicae enim mentis emotiones non prosunt. Reliqui vero abscessus, qui ad inferna tendunt, probantur longeque optimi eo loco censendi sunt, qui maxime cruenti. At qui senes corripi coepti sunt praecipue moriuntur, ac nisi pereant, celerrime sua sponte servantur, minimumque a medicis iuvantur.

ι'. Οἷσι δὲ τῶν παιδίων ἐξαπίνης οἱ ὀφθαλμοὶ διεστράφησαν, ἢ μεῖζόν τι κακὸν ἔπαθον, ἢ φύματα ὑπὸ τὸν αὐχένα ἐφύη, ἢ ἰσχνοφωνότεροι ἐγένοντο, ἢ βῆχες ξηραὶ προσέχουσι χρόνιοι, ἢ ἐς τὴν γαστέρα μείζοσι γενομένοισι ὀδύνη φοιτᾷ καὶ οὐκ ἐκταράσσεται, ἢ ἐν τοῖσι πλευροῖσι [7] διαστρέμματα ἔχουσι, ἢ φλέβας παχέας [8] περὶ τὴν γαστέρα κιρσώδεας, ἢ ἐπίπλοον καταβαίνει, ἢ ὄρχις

10. Pueri vero, quibus oculi derepente pervertuntur, aut peius affecti sunt, aut tubercula sub cervicem enascuntur, aut aliquantulum lingua haesitant, aut tusses siccae trahentes permanent, aut, ubi adoleverint, ad ventrem dolor contendit, neque conturbatur, aut latera distorquentur, aut venae crassae circa ventrem in varices convertuntur, aut omentum descendit, aut testis intumuit, aut manus extenuatur et

[1] ξυμβήσεται καὶ ξυνανδρ. — [2] νοσήματος. — [3] τοῦ om. — [4] γάρ. — [5] μέν om. — [6] εἰς sine αἱ. — [7] διεστραμμένα. — [8] περί om.

τε de meo. Post τῷ σώματι legi solet: τῆς ἡλικίης εἴη δ' ἂν ἀπὸ εἴκοσι καὶ πέντε ἐτέων ἐς πέντε καὶ τεσσαράκοντα ἔτεα, quod scholion eieci; — τὸ νούσημα pro τοῦ σώματος J.

οἷσι — ἐξυγιάζεσθαι.] τῆς ante κεφαλῆς omm. X. ρ.; — τοῦ ante ποδός J. K., Littr., vulgo om.; — ἰῆσθαι D. H., Littr., ἰᾶσθαι vulg.; — διαφέρει γάρ vulgo, διαφέρει δέ K.'; — καί om. K.; — τε post χειρῶν omm. U. ρ., Littr., — τῶν ante ποδῶν omm. mss. 7.; — ἐξυγιαίνεσθαι ceteri, ἐξυγιάζεσθαι de meo.

ἐπιχειρέειν — αἱματηρόταται.] δὲ χρὴ τούτοισι vulgo, τούτοισι omitto cum X; — ἢ ἔωσι οἱ ἄνθρωποι ceteri, οἱ ἄνθρ. eiicio; emblema alienum est; — ὅσον vulgo, ὅσων lego cum J.; — μέν omm. mss. 4.; — γάρ om. H.; — αὗται ἐκστάσιες omnes; mihi αὗται otiosum emblema videtur, quod abigo; — ἀποστάσιες de meo adscripsi; Corn. voluit πᾶσαι ἀποστάσιες pro τρεπόμεναι πᾶσαι; Littréus vulgatam defendit, ἐκστάσιες paulo ante idem quod ἀποστάσιες significare affirmans; mihi locus vitiosus videtur eumque fere eodem modo, quo Corn., restituere studui; — πολλοί D. pro πολλῷ; — αἱματηρότατοι edd. antt., mss. 5.

ὁκόσοι — ὠφελέονται.] μή om. K.; — ἥκιστ' Opsop.

10. οἷσι — γενόμενον.] τόν ante αὐχένα omm. D. X.; — προσέχουσι χρόνιοι K., vulgo ordine inverso χρ. πρ.; — χρό-

μέγας γέγονε, ἢ χεὶρ λεπτὴ καὶ ἀκρατὴς, ἢ ποὺς, ἢ κνήμη ξύμπασα ἐχωλώθη, ἄτερ προφάσιος ἄλλης, τούτοισι πᾶσι εἰδέναι ὅτι ἡ νοῦσος προεγένετο πρὸ τούτων ἁπάντων καὶ οἱ μὲν πλεῖστοι τῶν τρεφόντων τὰ παιδία ἐρωτωμένοι ὁμολογήσουσι, [1]τοὺς δὲ καὶ λανθάνει καὶ οὐ φασὶ εἰδέναι τοιοῦτον οὐδὲν γενόμενον.

impotens redditur, aut pes et tibia tota citra aliam occasionem claudicat, — in his omnibus animadvertendum est, morbum ista omnia praecessisse; id quod plerique eorum, qui pueros educant, interrogati fatebuntur; quidam etiam, quod eos lateat, tale quid accidisse se scire negant.

ια'. Τὸν [2]δὲ περὶ τῶν ἑλκέων μέλλοντα γνώσεσθαι, ὅκως ἕκαστα τελευτήσει, πρῶτον μὲν χρὴ τὰ εἴδεα τῶν ἀνθρώπων ἐξεπίστασθαι, τά [3]τε ἀμείνω πρὸς τὰ ἕλκεα καὶ τὰ κακίω· ἔπειτα τὰς ἡλικίας εἰδέναι, ὁποίῃσι ἕκαστα τῶν ἑλκέων δυσαπάλλακτα γίγνεται· τά τε χωρία ἐπεσκέφθαι τὰ ἐν τοῖσι σώμασι, ὅσον διαφέρει [4]τὰ ἕτερα τῶν ἑτέρων· τά τε ἄλλα ὁκοῖα ἐφ' ἑκάστοισι [5]ἐπιγίγνεται ἀγαθά [6]τε καὶ κακὰ εἰδέναι. Εἰδὼς μὲν γὰρ ἄν τις ταῦτα πάντα, [7]εἰδείη ἂν καὶ ὅκως ἕκαστα ἀποβήσεται, μὴ εἰδὼς δὲ ταῦτα, οὐκ ἂν εἰδείη, ὅκως αἱ τελευταὶ ἔσονται ἀμφὶ τῶν ἑλκέων. Εἴδεα μὲν [8]γὰρ ἀγαθά ἐστι τὰ τοιάδε· ἐλαφρὰ καὶ ξύμμετρα καὶ εὔσπλαγχνα, καὶ μήτε σαρκώδεα ἰσχυρῶς, μήτε σκληρά· κατὰ δὲ χρῶμα ἔστω λευκὰ, ἢ μέλανα, ἢ ἐρυθρά· ταῦτα γὰρ πάντα ἀγαθὰ ἄκρητα ἐόντα· εἰ δ' εἴη [9]μιξόχλωρον, ἢ χλωρὸν, ἢ πελιδνὸν τὸ χρῶμα, κάκιον γίγνεται. Τὰ δὲ εἴδεα ὅσα ἂν τοῖσι προγεγραμμένοισι τἀναντία πεφύκῃ, εἰδέναι χρὴ κακίω ἐόντα. Περὶ δὲ ἡλικιῶν, φύματα μὲν [10]ἔμπυα καὶ τὰ χοιραδώδεα, ταῦτα πλεῖστα [11]τὰ παιδία ἴσχουσι, καὶ ῥᾷστα ἐξ αὐτῶν ἀπαλλάσσει· τοῖσι [12]δὲ γεραιτέροισί τε τῶν παιδίων καὶ νεηνίσκοισι φύεται μὲν ἐλάσσω, χαλεπώτερον δὲ ἐξ αὐτῶν ἀπαλλάσσουσι. Τοῖσι δὲ ἀνδράσι

11. At ulcera qui nosse volet qualem quaeque exitum habitura sint, is inprimis quidem hominum naturas animadvertere debet, quaenam ad ulcera melius, quaenam etiam deterius affectae sint. Deinde aetates in quibus sua cuiusque generis ulcera non facile profligantur. Locos etiam corporis in considerationem adhibere, quantum alii aliis praestent. Ac praecipue quaenam horum cuique bona malave accedant, nosse debet. His si quidem omnibus cognitis, quaenam cuiusque eventa futura sint facile assequetur. Neque existimandum est eum, qui haec non cognoverit, quinam futuri sint ulcerum exitus perspicere posse. Corporis autem naturae probandae sunt leves, moderatae, firmis visceribus praeditae, neque admodum carnosae, neque durae, tum quae colore sunt albo, aut nigro, aut rubro. Hae enim omnes probandae, si purae sunt. Deterius est, si ex pallido mixtum colorem, aut pallidum, aut lividum habeant. Quae vero naturae supra positis adversantur, eas deteriores esse constat. Quod ad aetates autem attinet, tubercula quidem suppurata, atque eadem strumosa magna ex parte pueros exercent facileque ex his levantur. At iisdem, ubi paulum aetate processerint, atque adoluerint, nascuntur quidem minus ac difficilius tolluntur. Viris autem id genus tubercula

1 τὰς δέ. — 2 δέ om. — 3 δέ. — 4 θάτερον θατέρων. — 5 ἐπιγένηται. — 6 τε om. — 7 εἴδη ἂν et paulo post εἰδὴ (sic). — 8 γάρ om. — 9 μιξήχλωρον. — 10 ἔμπυα γίνεται. — 11 τῶν παιδίων. — 12 δέ om.

νιαι Ops., Lind.; — προσεγένετο K.; — λανθάνειν vulg., λανθάνει mss. 6., Ops., Lind., Littr.; — οὐδέν omm. D. K., in D. rest. alia manu.

11. τὸν — εἰδέναι.] γνώσ. μέλλ. cod. ρ.; — θάτερα θατέρων cett.; — ὁκοῖα τὰ ἐφ' vulg., sed τε pro τά edd. antt., mss. 7., Opsop., Littréus τε reiecit; — ἐπιγένηται cod. α.; — τε καὶ κακά om. J.

εἰδὼς — ἑλκέων.] εἰδῇ bis vulgo, ubi recte J. εἰδείη, quod recepi.

εἴδεα — γίγνεται.] λευκὸν ἢ μέλαν ἢ ἐρυθρόν vulgo, sed J. sequor; — μιξόχροον idem, μιξόχλωρα U.; — χρῶμα et supra versum σῶμα cod. ρ.

περὶ δὲ — ἀπαλλάσσουσι.] ἔμπυα γίνεται vulgo, γίνεται abiecit Littr.; — χοιρώδεα vulgo, χοιραδώδεα recte Lind.; — τῶν παιδίων vulg., τὰ παιδία Littr. de suo.

τοῖσι δὲ — ὑπερβάλωσι.] ἐλάχιστα γίνεται pro οὐ κάρτα

τὰ μὲν τοιαῦτα φύματα οὐ κάρτα ἐπιγίγνεται· τὰ δὲ κηρία δεινὰ καὶ οἱ κρυπτοὶ καρκῖνοι οἱ ὑποβρύχιοι, καὶ οἱ ἐκ τῶν ἐπινυκτίδων ἕρπητες, ἔστ' ἂν ἑξήκοντα ἔτεα συχνῷ ὑπερβάλωσι. Τοῖσι δὲ γέρουσι τῶν μὲν τοιουτοτρόπων φυμάτων οὐδὲν ἐπιγίγνεται· οἱ δὲ καρκῖνοι οἱ κρυπτοὶ καὶ οἱ ἀκρόπαθοι γίγνονται, καὶ ξυναποθνήσκουσι. Τῶν δὲ χωρίων μασχάλαι δυσιητότεραι καὶ κενεῶνές τε καὶ μηροί· ἀποστάσιές τε γὰρ ἐν αὐτοῖσι γίγνονται καὶ ὑποστροφαί. Τῶν δὲ περὶ ἄρθρα ἐπικινδυνότατοι οἱ μεγάλοι δάκτυλοι καὶ μᾶλλον οἱ τῶν ποδῶν. Οἷσι δὲ τῆς γλώττης ἐν τῷ πλαγίῳ ἕλκος γίγνεται πολυχρόνιον, καταμαθεῖν τῶν ὀδόντων ἥν τις ὀξὺς τῶν κατ' αὐτό.

ιβ'. Τὰ δὲ τρώματα θανατωδέστερα μὲν τὰ ἐς τὰς φλέβας τὰς παχείας τὰς ἐν τῷ τραχήλῳ τε καὶ τοῖς βουβῶσι, ἔπειτα τὰ ἐς τὸν ἐγκέφαλον καὶ ἐς τὸ ἧπαρ, ἔπειτα τὰ ἐς ἔντερον καὶ ἐς κύστιν. Ἔστι δὲ ταῦτα πάντα ὀλέθρια ἐόντα ἰσχυρῶς οὐχ οὕτως ἄφυκτα ὡς δοκέει· τά τε γὰρ χωρία ὀνόματα ἔχοντα [1]ταὐτὰ μέγα διαφέρει καὶ οὐχ οἱ αὐτοὶ τρόποι. Πολὺ δὲ διαφέρει τοῦ αὐτοῦ ἀνθρώπου τοῦ σώματος ἡ παρασκευή· ἔστι μὲν γὰρ ὅτε οὔτ' ἂν πυρετήνειε οὔτε φλεγμήνειε τρωθείς· ἔστι δ' ὅτε καὶ ἄνευ προφάσιος ἐπυρέτηνε ἂν καὶ φλεγμανθείη τι τοῦ σώματος πάντως. [2]Ἀλλ' ὅτε ἕλκος ἔχων [3]μὴ παραφρονέει εὐπετέως τε φέρει τὸ τρῶμα, [4]ἐγχειρέειν χρὴ τῷ τρώματι ὡς ἀποβησομένῳ κατὰ λόγον τῆς ἰητρείης τε καὶ τῶν

non admodum fiunt, verum favi formidabiles et cancri abditi, tametsi et ex pustulis noctu inquietantibus, quas ἐπινυκτίδας vocant, ulcera serpentia, quos herpetes nominant, donec annos sexaginta longe superarint. Senibus vero ex huiusmodi tuberculis nullum accidit, at cancri latentes quique summa corporis infestant, fiunt et ad mortem comitantur. Ex locis difficilius sanantur alae, ac laterum inanitates et femora. In his namque abscessus et recidivae fiunt. In his, quae circum articulos contingunt, in maximum discrimen praecipitant pollices ac praecipue pedum. Quibus vero ad linguae latus ulcus fit diuturnum, animadvertendum ex dentibus, qui iuxta sunt, num aliquis acutus sit.

12. Vulnera autem fere quidem mortem afferunt, quae magnas venas quae sunt in collo et inguinibus laeserunt, deinde quae cerebrum et hepar, deinceps quae in intestina et vesicam pertingunt. Quae sane omnia magnam perniciem afferunt, non eam tamen, ut, quod quidam existimant, nemo ex iis servari possit. Loci enim, qui eadem habent nomina, multum inter se differunt neque iidem sunt modi. Multumque etiam eiusdem hominis corporis constitutio differt; interdum enim neque febricitabit, neque inflammationem suscipiet ex vulnere; interdum vel sine causa manifesta omnino febricitabit et inflammabitur pars aliqua corporis. At ubi is qui ulcere infestatur non delirat et vulnus facile perfert, ad vulnus aggredi oportet, quod ex arte medica et eorum quae con-

[1] τὰ αὐτά. — [2] ἄλλην ὅτε. — [3] μή om. — [4] ἐγχειρέει τι τῷ τρ.

ἐπ. J.; — οἱ ἕρπητες multa mss.; — ὑπερβάλλωσι ceteri, aoristum de meo dedi.

τῶν δὲ χωρίων — ὑποστροφαί.] ὑπόστασιες vulgo, ἀποστάσιες (D. emend. al. m.) (H. al. m.) X. P.' Q.'; fateor me non plane scire utrum praestet; ἀποστ. dedi, quia cum ὑποστροφαί, quod sequitur, magis congruere videbatur et credebam fieri potuisse, ut praepositio huius compositi ad nostrum ἀποστάσιές transferretur, adeo ut in ὑποστάσιες abiret.

οἷσι — αὐτό.] καταμαθεῖν δεῖ τῶν J.

12. τὰ δὲ — κύστιν.] τάς [τε] ἐν τῷ τραχ. Lind.; Mack.; — ἔπειτα τὰ ἐς τὸν ἐγκεφ. Lind., Mack., vulgo τά om.; — ἔπειτα ἐς ἔντερον X.; — ἐς τὸ ἔντερον Lind.; — καὶ τὰ ἐς κύστιν mss. 5.

ἔστι — τρόποι.] πάντα ταῦτα U. ρ.; — ταῦτα vulgo, ubi Littr. recte ταὐτά dedit; — Darembergius legere voluit οἱ τρόποι αὐτοί, vel οἱ τόποι αὐτοί, quae ratio displicet Littréo; — sed tamen τά τε γὰρ χωρία ὀνόματα ἔχοντα ταὐτὰ μέγα διαφέρει καὶ οἱ αὐτοὶ τρόποι sanum sensum non refert. Me iudice καὶ οὐχ οἱ αὐτοὶ τρόποι legere oportet.

πολὺ — πάντως.] αὐτοῦ τοῦ ἀνθρώπου K.'; — οὔτ' ἂν φλεγμ. D. X.

ἀλλ' — ἐπιγιγνομένων.] ἀλλ' ἣν (ἄλλην codd. 5., ἄλλος Ald., ἥν om. K.) ὅ τε (ὅδε Lind.) ἕλκος ἔχων παραφρονέει (παραφρονέειν J., παραφρονέει Ald., mss. 6., Opsop., περιφρονέει vult Foës. in adn.) vulgata; textum descripsi quemadmodum Littr.; — φέρῃ vulgo, φέρει Ald., mss. 8., Opsop., Littr.

ἐπιγιγνομένων. Ἀποθνήσκουσι μὲν γὰρ οἱ ἄνθρωποι ὑπὸ τρωμάτων παντοίων· πολλαὶ μὲν γὰρ φλέβες εἰσὶ καὶ λεπταὶ καὶ παχεῖαι, αἵτινες [1] *αἱμορραγοῦσαι ἀποκτείνουσι, ἢν αὐτῷ τύχωσι ὀργῶσαι,* [2] *ἃς ἐν ἑτέρῳ καιρῷ διακόπτοντες ὠφελέουσι τὰ σώματα. Πολλὰ δὲ τῶν τρωμάτων ἐν χωρίοισί τε εἶναι εὐήθεσι καὶ οὐδέν τι δεινὰ φαινόμενα οὕτως ὠδύνησε, ὥστε μὴ δύνασθαι ἀναπνεῦσαι· ἄλλοι δὲ ὑπὸ τῆς ὀδύνης* [3] *τοῦ τρώματος οὐδὲν δή τι δεινοῦ ἐόντος, τὸ μὲν πνεῦμα ἀνήνεγκαν, παρεφρόνησαν δὲ καὶ πυρετήναντες ἀπέθανον·* [4] *ὅσοι γὰρ ἂν ἢ τὸ σῶμα πυρετῶδες ἔχωσι ἢ τὰς γνώμας θορυβώδεας, τὰ τοιαῦτα πάσχουσι. Ἀλλὰ χρὴ μήτε ταῦτα θαυμάζειν, μήτε ὀρρωδέειν κεῖνα, εἰδότα ὅτι αἵ ψυχαί τε καὶ τὰ σώματα πλεῖστον διαφέρουσι αἱ τῶν ἀνθρώπων, καὶ δύναμιν ἔχουσι μεγίστην. Ὅσα μὲν οὖν τῶν τρωμάτων καιροῦ ἔτυχον, ἢ σώματός τε καὶ γνώμης τοιαύτης, ἢ ὀργῶντος οὕτω τοῦ σώματος, ἢ μέγεθος* [5] *τοσαῦτα ἦν ὥστε μὴ δύνασθαι καταστῆσαι τὸν ἄνθρωπον* [6] *ἐς τὴν ἴησιν καταφρονέοντα, τοῖσι μὲν ἐξίστασθαι χρὴ ὁποῖα ἂν ᾖ, πλὴν τῶν ἐφημέρων λιποθυμιῶν· τοῖσι δ' ἄλλοισι πᾶσι ἐπιχειρέειν, νεοτρώτοισι ἐοῦσι, ὡς ἂν τούς τε πυρετοὺς διαφεύγωσι καὶ τὰς αἱμορραγίας τε καὶ τὰς νομὰς* [7] *περιεσόμενοι. Ἀτρεκέστατα δὲ καὶ ἐπὶ* [8] *πλεῖστον χρόνον τὰς φυλακὰς αἰεὶ τῶν δεινοτάτων ποιέεσθαι· καὶ γὰρ δίκαιον οὕτως.*

ιγ'. Αἱ δὲ νομαὶ θανατωδέσταται μὲν ὧν αἱ σηπεδόνες βαθύταται καὶ μελάνταται καὶ

sequuntur ratione adhibita, speratum exitum est habiturum. Ex cuiusvis enim generis vulneribus moriuntur homines. Multae namque in corporibus venae tum tenues, tum crassae insunt, quae sanguinis profusione mortem adferunt, si forte turgeant, quas alia occasione pertundunt atque ita corporibus prosunt. Non pauca autem vulnera, quae in contemnendis locis ac nulla re formidabilia esse videntur, tantum dolorem inferunt, ut aegri respirare nequeant. Quidam vero prae vulneris dolore, licet id minime periculosum sit, spiritum quidem traxerunt, delirio vero et febre perierunt. Quibus enim aut corpus ad febrem est opportunum, aut mens prompte perturbatur, iis talia accidunt. Sed haec mirari aut formidare desinet qui illud in animum induxerit quod et cuiusque animi et corpora plurimum inter se differunt et praestant. Vulnera igitur, quae talem occasionem aut corpus, aut mentem nacta sunt, aut adeo concitatum sanguinem, aut magnitudinem tantam habent, ut homo ad curationem componi mentis licet compos nequeat, ab iis quidem, cuiusque modi sint, praeter diarias animi defectiones, abstinere oportet. Ceteris vero omnibus recens illatis manum admovere oportet, quo febres et sanguinis profluvia et depascentia ulcera effugere possint qui sunt superfuturi. Diligentissime autem ac diutissime adversus ea, quae maxime terrent, munire se aequum est.

13. Nomae vero maxime sunt letales, quae putredines altissime descendentes habent, sunt-

[1] *αἱμορραγοῦσι.* — [2] *αἳ ἐν ἑκατέρῳ καιρῷ διακ.* — [3] *τοῦ* om. — [4] *οἷσι γὰρ ἂν ᾖ.* — [5] *τοιαῦτα ἢ ὥστε.* — [6] *ἐς.* — [7] *περιεσόμενον.* — [8] *πλέον.*

ἀποθνήσκουσι — σώματα.] *καί* ante *λεπταί* om. X.; — *αὐσι τοῦ* K. pro *αὐτῷ*; — plerique libri *ὀργῶσι*, sed cod. ρ. *ὀργῶσαι*.

πολλὰ — πάσχουσι.] *δεινὸν φαινόμενον* D. X.; — *ὠδύνησε ἡ πληγή* ceteri; equidem *ἡ πληγή*, quod extra structurae nexum infertur, eieci; — *ἀναπαῦσαι* pro *ἀναπνεῦσαι* unum ms. Foësii, *ἀναπνεῦσαι μηδὲ ἀναπαῦσαι* Lind., Mack., ridicule! — *δέ* pro *δή* I., *δή* om. K.; — *ἔχουσι* vulg., *ἔχωσι* Littr. cum mss. 7.

ἀλλὰ — μεγίστην.] *πλείστην διαφ.* J., *πλεῖστα διαφ.* D. X.

ὅσα — περιεσόμενοι.] *καιροῦ* in *χωρίου* mutatum voluit Daremb.; Calvus: „vulnera cum temporis occasionem non commodam locumve periculosum nanciscuntur." Num inde efficere liceat illum *καιροῦ καὶ χωρίου ἐπικινδύνου* legisse, quod Littréus opinatur, dubito; puto illum *καιροῦ* ita interpretatum esse Latine; nihil mutandum videtur. — Dein *ὀργῶντος τοῦ αἵματος* L., cod. vetustus apud Foës., Opsop., Lind., Mack.; — *ᾗ* vulg., *ἦν* D. X., Littr. Ad vulgatum *καταφρονέοντα* cf. Foës. in Oecon. in voce, ubi de Galeni glossa ad h. l. agitur. Tum *διαφεύγουσι οἱ ἄνθρωποι* vulgo; *οἱ ἄνθρ.* emblema est ultro repudiandum. — Vulgo *περιεσομένων*, quod sane male defendit Opsop., quum sine dubio *περιεσόμενοι* sit legendum. Littréus de suo *φυλασσόμενον* pro *περιεσόμενοι*, quae innovatio otiosa; argumentum, quo Littréus eam defendit, petitum ex sequenti periodo, mihi levius videtur.

13. *αἱ δὲ — γίγνονται.*] *ἀναδιδόασι* J., *ἀναδιδοῦσι* vulg.; — *ἀποτείνουσι* Lind.

ξηρόταται· πονηραὶ δὲ καὶ ἐπικίνδυνοι, ὅσαι μέλανα ἰχῶρα ἀναδιδόασι· αἱ δὲ λευκαὶ καὶ μυξώδεες τῶν σηπεδόνων ἀποκτείνουσι μὲν ἧσσον, ὑποστρέφουσι δὲ μᾶλλον καὶ χρονιώτεραι γίγνονται. Οἱ δ' ἕρπητες ἀκινδυνότατοι πάντων [1]τῶν ἑλκέων, ὅσα νέμεται, δυσαπάλλακτοι δὲ μάλιστα κατά γε τοὺς κρυπτοὺς καρκίνους. Ἐπὶ πᾶσι δὲ τοῖσι τοιούτοισι πυρετόν τε ἐπιγενέσθαι ξυμφέρει μίαν ἡμέρην καὶ πῦον ὡς λευκότατον καὶ παχύτατον· λυσιτελεῖ δὲ καὶ σφακελισμὸς νεύρου, [2]ἢ ὀστέου, ἢ καὶ ἀμφοῖν, [3]ἐπί γε τῇσι βαθείῃσι σηπεδόσι καὶ μελαίνῃσι· πῦον γὰρ ἐν τοῖσι σφακελισμοῖσι ῥεῖ πουλὺ καὶ λύει τὰς σηπεδόνας.

que nigerrimae et siccissimae. Vitiosae quoque et in periculum praecipitant, quae saniem nigram reddunt. At albae et mucosae putredines mortem quidem afferunt minus, sed potius recidivas faciunt et diutius perseverant. Herpetes autem ex his, quae depascendo serpunt, minimum habent periculi, at secundum abditos cancros difficilius tolluntur. Ac his omnibus febrem uno die succedere confert et pus quam maxime candidum et crassum. Prodest quoque in alte conditis et nigris putredinibus nervi sideratio, aut ossis, aut amborum. Pus enim multum in siderationibus effluit et putredine liberat.

ιδ'. Τῶν δὲ ἐν τῇ κεφαλῇ τρωμάτων θανατωδέστατα [4]μὲν τὰ ἐς τὸν ἐγκέφαλον, ὡς καὶ προγέγραπται· δεινὰ δὲ καὶ τὰ τοιαῦτα πάντα, ὀστέον ψιλὸν μέγα, ὀστέον [5]ἐμπεφλασμένον, ὀστέον κατερρωγός· εἰ δὲ καὶ τὸ στόμα τοῦ ἕλκεος σμικρὸν εἴη, ἡ δὲ ῥωγμὴ τοῦ ὀστέου ἐπὶ πολὺ [6]παρατείνοι, ἀκινδυνότερόν ἐστι· ταῦτα δὲ πάντα δεινότερα γίγνεται κατὰ ῥαφήν τ' ἐόντα καὶ τῶν χωρίων αἰεὶ τὰ ἐν τοῖσι ἀνωτάτω τῆς κεφαλῆς. Πυνθάνεσθαι δὲ χρὴ ἐπὶ πᾶσι τοῖσι ἀξίοις λόγου τρώμασι, ἢν ἔτι νεότρωτοι αἱ πληγαὶ ἔωσι, ἢ βλήματα, εἰ κατέπεσε ὥνθρωπος, [7]ἢ εἰ ἐκαρώθη· ἢν γάρ τι τούτων ᾖ γεγονὸς, φυλακῆς [8]πλείστης δεῖται, ὡς τοῦ ἐγκεφάλου ἐσακούσαντος τοῦ τρώματος. Εἰ δὲ μὴ νεότρωτος εἴη, ἐς τἄλλα σημεῖα σπέπτεσθαι καὶ βουλεύεσθαι. Ἄριστον μὲν οὖν μήτε πυρετῆναι τὸν τὸ ἕλκος ἔχοντα ἐν τῇ κεφαλῇ, μηθ' αἷμα [9]ἐπαναρραγῆναι αὐτῷ, μήτε φλεγ-

14. Quod ad vulnera capitis attinet, praecipue mortem afferunt, ut antea scripsimus, quae cerebrum attingunt; quin et huiusmodi omnia terrent, os insigne denudatum, os medium desidens, os diffissum. At si ulceris osculum exiguum fuerit, ossis vero fissura longe pertingat, maius periculum subest. Quae omnia magis terrent, ubi iuxta suturam accidunt, et in summa capitis parte exsistunt. Perscrutari autem convenit in omnibus effatu dignis capitis vulneribus, ubi adhuc recentes plagae sunt aut ictus, num qui laesus fuit conciderit, aut profundo sopore correptus fuerit. Hoc enim in casu maiore cura opus est, nimirum quod vulnus cerebrum senserit. Quodsi recens plaga non fuerit, alia signa in considerationem ac consilium adhibere oportet. Praestat igitur eum, qui capitis ulcere laborat, neque febricitare, neque insuper sanguinis profusionem, aut inflammationem, aut dolorem aliquem accedere;

[1] τῶν om. — [2] ἢ καὶ ὁ. — [3] ἐπεί τε. — [4] δέ. — [5] ἐμπεπλασμένον. — [6] παραμείνει. — [7] ἢ ἐκκαρωθῇ. — [8] πλείονος. — [9] ἐπαρραγῆναι.

οἱ — καρκίνους.] δέ J., Lind.; — γε om. J., τε D. X.; κατά mihi est praepositio locum significans, ubi herpetes oriantur.

ἐπὶ — σηπεδόνας.] τοῖσι τουτέοισι J.; — ἐπιγίνεσθαι J., α., Lind.; — μίην pro πῦον J., πύελον cod. ρ.; — ἢ καὶ ὀστέοιν vulg., καί omm. J. K., Littr.; — ἤ ante καὶ ἀμφοῖν om. K.; — ἐπί τε vulg., ἐπί γε Littr.; recte, ut opinor, quemadmodum supra κατά γε legitur.

14. τῶν — κεφαλῆς.] ἐν κεφ. vulg., ἐν τῇ κεφ. Ald., mss. 7., Littr.; — ἐμπεπλασμένον vulgo, emendavit Opsop.; — ῥογμή Ald., mss. 3.; — παραμείνοι vulg., παραμένοι D., παρατείνοι Littr. ex Foësii Latinis. Vulgo καὶ κατὰ ῥαφήν τὲ ὄντα κ. τ. λ.; mihi redundare visum est καί ante κατά, adeo ut delerem.

πυνθάνεσθαι — τρώματος.] εἰ βλήματα Littr. de suo; vulgo ἢ βλήματα εἴη ἤ; ego ἤ servo ante βλήματα, sed εἴη ἤ ex ἢ εἰ ortum puto, nempe pro ἤ post εἴη codd. 4., ed. Bas., Opsop. legunt εἰ; — porro εἰ γάρ J., qui dein ἐστί pro ᾖ.

ἄριστον — παραμένειν.] Ante τὸν τὸ ἕλκος ἔχοντα ferunt μηδ' ἅμα codd. 4., μηθ' ἅμα Aldus, alia mss. 5., unde μηδαμᾶ Littréus; ego cum vulgatâ omitto; nam ortum est

μονὴν μηδεμίαν [1] ἢ ὀδύνην ἐπιγενέσθαι· εἰ δέ τι τούτων ἐπιφαίνοιτο, ἐν ἀρχῇσί τε γίγνεσθαι ἀσφαλέστατον, καὶ ὀλίγον χρόνον παραμένειν. Ξυμφέρει δὲ ἐν τῇσι ὀδύνῃσι [2] καὶ τὰς φλεγμονὰς τὰς ἐπὶ τοῖσι ἕλκεσι ἐπιγίγνεσθαι, τῇσι δ' αἱμορραγίῃσι πῦον ἐπὶ τῇσι φλεψὶ φαίνεσθαι· τοῖσι δὲ πυρετοῖσι ἃ ἐν τοῖσι ὀξέσι νοσήμασι ἔγραψα [3] ξυμφέρειν ἐπὶ τούτοισι γενέσθαι, ταῦτα καὶ ἐνθάδε λέγω ἀγαθὰ εἶναι, τὰ δ' ἐναντία κακά. Ἄρξασθαι δὲ πυρετὸν ἐπὶ κεφαλῆς [4] τρώσι τεταρταίῳ, ἢ ἑβδομαίῳ, ἢ ἑνδεκαταίῳ, θανατῶδες [5] μάλα. Κρίνεται δὲ τοῖσι πλείστοισι, ἢν μὲν τεταρταίου ἐόντος τοῦ ἕλκεος πυρετὸς ἄρξηται, ἐς τὴν [6] ἑνδεκάτην· ἢν δ' ἑβδομαῖος ἐὼν πυρετήνῃ, ἐς τὴν τεσσαρεσκαιδεκάτην ἢ ἑπτακαιδεκάτην· ἢν δὲ τῇ ἑνδεκάτῃ ἄρξηται πυρεταίνειν, ἐς τὴν εἰκοστήν, ὡς ἐν τοῖσι πυρετοῖσι διαγέγραπται τοῖσι ἄνευ προφασίων ἐμφανέων γενομένοισι. Τῇσι δ' ἀρχῇσι τῶν πυρετῶν ἤν τε παραφροσύνη ἐπιγένηται, ἤν τε ἀπόπληξίς τῶν μελέων τινὸς, εἰδέναι τὸν ἄνθρωπον ἀπολούμενον, ἢν μὴ παντάπασι ἢ τῶν καλλίστων τι [7] σημείων ἐπιγένηται, ἢ σώματος ἀρετὴ [8] ὑποκέηται· ἔτι γὰρ αὕτη [9] ἡ ἐλπὶς γίγνεται σωτηρίης· χωλὸν δὲ γενέσθαι τὸ ἄρθρον, ἐς ὃ ἀπεστήριξε, ἀναγκαῖόν ἐστι, ἢν ἄρα καὶ περιγένηται ὁ ἄνθρωπος.

ιε'. Τὰ δὲ τρώματα τὰ ἐν τοῖσι ἄρθροισι μεγάλα [10] μὲν ἐόντα καὶ τελέως ἀποκόπτοντα τὰ νεῦρα [11] τὰ ξυνέχοντα, εὔδηλον ὅτι χωλοὺς ἀποδείξει. Εἰ δὲ ἐνδοιαστὸν εἴη ἀμφὶ τῶν νεύρων, ὅπως ἔχοι, ὀξέος [12] μὲν ἐόντος

aut si eorum quippiam appareat, circa initia tutissimum est fieri paucoque tempore perseverare. Confert quoque in doloribus etiam inflammationes, quae in ulceribus fieri assolent, supervenire. In sanguinis autem profusionibus pus in venis conspici. Quae etiam in morbis acutis febribus conferre scripsi, ea in his conducere bonoque his esse, ut contraria mala, existimanda sunt. At febris in capitis vulnere die quarto, aut septimo, aut undecimo exorta valde exitialis est. Quamplurimis autem iudicationem subit, si quarto quidem ulceris die febris coeperit, undecimo. Si vero die septimo febricitarit, decimo quarto aut decimo septimo. Quodsi undecimo febris coeperit, vigesimo, velut scriptum est, in febribus, quae ex non evidentibus causis originem trahunt. At si febrium initiis delirium succedat, aut aliquod membrum sideretur, de hominis morte existimatio facienda est, nisi aut prorsus optimum aliquod signum supervenit, aut corporis virtus subsit; haec enim spes salutis adhuc restat; at claudum fieri articulum, in quem malum decubuit, necesse est, si modo aeger superstes futurus est.

15. Magna autem vulnera, quae in articulis fiunt, si penitus abscissi nervi sunt, qui continebant, absque dubio claudos reddent. Sin dubium sit, quomodo nervi affecti sint, si quidem ex acuto telo recta plaga est, ea transversa

[1] ἤ om. — [2] καὶ φλεγμονὰς τὰς. — [3] ξυμφέρει. — [4] τρώματι. — [5] δὲ μάλα. — [6] δεκάτην. — [7] σημεῖον. — [8] ὑπόκειται. ἀλλ' ὑποσκέπτεσθαι τὸν τρόπον τῷ ἀνθρώπῳ. ἔτι γὰρ. — [9] ἡ om. — [10] μέν om. — [11] καὶ συνέχοντα sine τά. — [12] μὴ ἐόντος.

e sequenti μηθ' αἷμα; — tum μηδὲ φλεγμ. vulg., μήτε φλεγμ. J. ρ., Lind., Mack., Littr.; — post φλεγμ. vulgata μηθ' ἅμα, quod tamen deëst in mss. 9. et Aldo et omissum est a Littréo; — ἤ ante ὀδύνην de suo Littr.

ξυμφέρει — κακά.] Littréus de suo τῇσι φλεγμονῇσι pro τάς φλεγμονάς. quo facto sententiam plane incongruam profert; — ἐν τοῖσι ἕλκεσι J. pro ἐπὶ τοῖσι ἕλκεσι; — ξυμφέρειν cum mss. nonnullis Littréus, ubi vulgo falso ξυμφέρει.

ἄρξασθαι — μάλα.] pro τρώσι mss. 5., Lind., Mack. τρώματι; — μᾶλλον pro μάλα nonnulla mss.

κρίνεται — γενομένοισι.] ἐς τὴν δεκάτην D. X.; — εἰ δ' J., δ' omm. K. H. X.; — γινομένοισι vulgo, aor. de meo.

τῇσι — ὁ ἄνθρωπος.] ἀπολλύμενον ceteri, futurum de meo; — εἰ μή J.; — σημεῖον vulg., σημείων D., Littr.; — ὑπόκειται vulg., ὑποκέηται L., Opsop., Lind., Mack., quod recipio; ὑπόκειται non est subiunctivus. Post ὑποκέηται legi solet: ὑποσκεπτέσθω τὸν τρόπον τῷ ἀνθρώπῳ, in quibus saltem ἐπισκέπτεσθαι legendum; sed recte haec eiicienda esse vidit Littréus.

15. τὰ — ἀποδείξει.] ἐόντα Ionice ex J. Littréus; — τά ante ξυνέχοντα om. K.

εἰ — σημεῖα.] ἀπὸ τῶν νεύρων J.; — ἔχει cod. ρ., ἔχοι cett.; — legebatur ὀρθὸν τὸ τρῶμα, in qua lectione loci Littréus putavit εἶναι in εἰδέναι esse mutandum, quod reapse dedit; mihi solum ὀρθόν post τὸ τρῶμα inferendum visum

τοῦ βέλεος τοῦ ποιήσαντος τὸ τρῶμα, ὀρθὸν [1]εἶναι ἄμεινον ἐπικαρσίου· εἰ δ' εἴη βαρύ τε καὶ ἀμβλὺ τὸ τρῶσαν, οὐδὲν διαφέρει· ἀλλ' ἔς τε τὸ βάθος τῆς πληγῆς σκέπτεσθαι καὶ τἄλλα σημεῖα. Ἔστι δὲ τάδε· πῦον ἢν ἐπιγένηται ἐπὶ τὸ ἄρθρον, σκληρότερον ἀνάγκη γενέσθαι· ἢν δὲ καὶ οἰδήματα ξυμπαραμείνῃ, σκληρὸν ἀνάγκη πουλὺν χρόνον τοῦτο τὸ χωρίον γίγνεσθαι καὶ τὸ οἴδημα, ὑγιέος ἐόντος τοῦ ἕλκεος, παραμένειν· [2]καὶ βραδέως ἀνάγκη ξυγκάμπτεσθαί τε καὶ ἐκτείνεσθαι ὁκόσα ἂν τοῦ ἄρθρου καμπύλου ἐόντος θεραπεύηται. Οἷσι δ' ἂν καὶ νεῦρον δοκέῃ ἐκπεσεῖσθαι, ἀσφαλέστερον τὰ περὶ τῆς χωλώσιος προλέγειν, ἄλλως τε καὶ ἢν [3]τῶν κάτωθεν νεύρων ἤ τι ἐκλυόμενον· γνώσει δὲ τούτοισι, οἷσι νεῦρον μέλλει ἐκπίπτειν· πῦον λευκόν τε καὶ παχὺ καὶ πουλὺν χρόνον ὑπορρεῖ· ὀδύναι τε καὶ φλεγμοναὶ γίγνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. Τὰ δ' αὐτὰ ταῦτα γίγνεται καὶ ὀστέου μέλλοντος ἐκπεσεῖσθαι. Τὰ δὲ ἐν τοῖσι ἀγκῶσι διακόμματα ἐν φλεγμονῇ μάλιστα ἐόντα ἐς διαπύησιν ἀφικνέεται καὶ τομάς τε καὶ καύσιας.

melior. Quodsi grave fuerit et retusum quod vulnus inflixit, nihil inest discriminis. Sed et vulneris altitudo et alia signa consideranda sunt. Sunt autem ista. Pus si ad articulum accedat, duriorem eum reddi necesse est. Quodsi etiam tumores simul perseverarint, necesse est ad eum locum in multum tempus durum esse et sano quoque ulcere tumorem permanere. Et necesse est lente et inflecti et extendi, ubi recurvato articulo curatio adhibita est. At quibus fore ut nervus excidat speratur, iis cum maiore fiducia claudicationem praedixeris, idque tum maxime si quis nervorum inferiorum exsolutus fuerit. Nervus autem qui excidet his indiciis deprehenditur; si pus album crassumque et diuturnum sub eo effluit, doloresque et inflammationes ad articulum circa initia oriuntur. Quae etiam accidere solent ubi os excidet. Quae in cubitis discissa sunt, praecipue cum inflammatione, ad suppurationem sectionemque et ustionem perveniunt.

ις'. Ὁ δὲ νωτιαῖος μυελὸς ἢν νοσέῃ, [4]ἤν τε ἐκ πτώματος, ἤν τε ἐξ ἄλλης τινὸς προφάσιος, ἤν τε [5]ἀπὸ τοῦ αὐτομάτου, τῶν τε σκελέων ἀκρατὴς γίγνεται ὁ ἄνθρωπος, ὥστε μηδὲ θιγγανόμενος ἐπαΐειν, καὶ τῆς γαστρὸς καὶ τῆς κύστιος, ὥστε τοὺς μὲν πρώτους χρόνους μήτε κόπρον, μήτε οὖρον διαχωρέειν, ἢν μὴ πρὸς ἀνάγκην. Ὅταν δὲ παλαιότερον γένηται τὸ νόσημα, οὐκ ἐπαΐοντι τῷ

16. At vero si spinalis medulla aut ex casu, aut alia quapiam externa causa, aut sua sponte laborarit, et crurum impotentiam facit, ut ne tactum quidem percipiat aeger, et ventris et vesicae, adeo ut primis diebus ne stercus quidem aut urina nisi coacte reddatur. Quodsi morbus inveteraverit, et stercus et urina aegro inscio prodit, tandemque non longo post intervallo perit.

[1] εἶναι ἄμεινον ἐπικάρσιον. — [2] καὶ βραδέως om. — [3] τὸ κάτωθεν νεῦρον. — [4] εἴ τε. — [5] ἀποταυτομάτου.

est; nam proxime cohaerent τοῦ ποιήσαντος τὸ τρῶμα; — ἐς τό Lind., Littr., ubi vulgo ἔσται, J. L. α. ἔστι, exempll. quaedam apud Foës. ἔς τε; iam vero ἐς τὸ βάθος τε dederunt Lind., Littr.; equidem opinatus sum ἔσται re ipsa esse ἔς τε et ἔς τε τὸ β. esse dandum; — σημεῖον mss. 6. apud Littr.

ἔστι — θεραπεύηται.] συμπαραμένοι J. U.; — τοῦτο τὸ χωρίον πουλὺν χρ. J.; — παραμένειν (addit καὶ βραδέως in marg. H.) ἀνάγκη συγκ. τε καὶ ἐκτ. (addunt βραδέως Lind., Mack.) ὁκόσα vulg.; cum Littréo recipio lect. e marg. codicis H. eodemque atque ille modo interpungo. — Ceterum θεραπεύεται K. U. ρ. — Confer Celsum V. 26. 28., unde Opsopoeum falso effecisse aliquid in nostro libro h. l. deësse scribit Littr.; mihi quoque emendata lectione ex cod. H. nihil deësse videtur.

οἷσι — ἀρχῇσι.] ἀσφαλεστέρως ceteri, de coniectura mutavi; — τῆς χωλώσιος Ald., mss. 4., Lind., Mack., Littr., τῆς om. vulg.; — vulgo ἢ ante προλέγειν, quod num εἴη esse debeat, quaerit Littr.; equidem ἢ ex paulo post sequenti ἢ natum et abiiciendum esse arbitror; — ἤν [τι] τῶν Lind., Mack.; — τὸ κάτωθεν νεῦρον cod. α., κάτω H., τι pro τό K.', Mack. ante ἐκλυόμενον; — vulgo γνώσῃ δὲ τοῖσι νεῦρον μέλλον ἐκπίπτειν; Lind. in his τούτοισι pro τοῖσι; vides quomodo mihi locus emendandus sit visus.

τὰ δ' ἄλλα — ἐκπεσεῖσθαι.] γίνονται cod. ρ.

16. ὁ δὲ — χρόνῳ.] εἰ νοσέει J.; — εἴτε ἐκ mss. 9.; — τρώματος pro πτώματος X.; — ἤν τε ἀπὸ αὐτομ. om. X., ἀπ' Lind., Mack.; — πρὸς ἀνάγκης mss. 9.; — ἐπιόντι vulg., ἐπείγοντι K.', ἐπαΐοντι D. X., Lind., Mack.; — δια-

ἀνθρώπῳ ἥ τε κόπρος διαχωρέει καὶ τὸ οὖρον· ἀποθνήσκει δὲ μετὰ ταῦτα οὐ πολλῷ ὕστερον χρόνῳ.

ιζ'. Ὧν δὲ [1]ἐμπίπλαται αἵματος ἡ φάρυγξ πολλάκις τῆς ἡμέρης τε καὶ τῆς νυκτὸς ἑκάστης, οὔτε κεφαλὴν προαλγήσαντι, οὔτε βηχὸς ἐχούσης, οὔτε ἐμέοντι, οὔτε πυρετοῦ λαμβάνοντος, οὔτε ὀδύνης ἐχούσης οὔτε τοῦ στήθεος οὔτε τοῦ μεταφρένου, [2]τούτου κατιδεῖν ἐς τὰς ῥῖνας καὶ τὴν φάρυγγα· [3]ἢ γὰρ ἕλκος τι ἔχων φανεῖται ἐν τῷ χωρίῳ τούτῳ, ἢ βδέλλαν.

17. Quibus vero fauces sanguine frequenter et noctu et interdiu replentur, dum neque capitis dolor praegressus fuerit, neque tussis, neque vomitus, neque febris prehenderit, neque pectoris aut dorsi dolor tenuerit, in his nares et fauces inspiciendae, num quod ulcus eo in loco, aut hirudo compareat.

ιη'. Ὀφθαλμοὶ δὲ λημῶντες ἄριστα ἀπαλλάσσουσι, ἢν τό τε δάκρυον καὶ ἡ λήμη καὶ τὸ οἴδημα ἄρξηται ὁμοῦ γενόμενα, ἤν τε τὸ μὲν δάκρυον τῇ λήμῃ μεμιγμένον ᾖ καὶ μὴ θερμὸν ἰσχυρῶς, [4]ἡ δὲ λήμη λευκή τε ᾖ καὶ μαλθακή, τό τε οἴδημα ἐλαφρόν τε καὶ λελυμένον· — [5]εἰ γὰρ οὕτω ταῦτ' ἔχοι, ξυμπλάσσοιτ' ἂν ὁ ὀφθαλμὸς ἐς τὰς νύκτας ὥστε ἀνώδυνος εἶναι· καὶ ἀκινδυνότατον οὕτως ἂν εἴη καὶ ὀλιγοχρονιώτατον. Εἰ δὲ τὸ δάκρυον χωρέει πουλὺ καὶ θερμὸν ξὺν ὀλιγίστῃ λήμῃ καὶ σμικρῷ οἰδήματι, εἰ μὲν ἐκ τοῦ ἑτέρου τῶν ὀφθαλμῶν, χρόνιον μὲν κάρτα γίγνεται, ἀκίνδυνον δέ· καὶ ἀνώδυνος οὗτος ὁ τρόπος ἐν τοῖσι μάλιστα. Τὴν δὲ κρίσιν ὑποσκέπτεσθαι, τὴν μὲν πρώτην, ἐς τὰς εἴκοσι ἡμέρας· ἢν δ' ὑπερβάλλῃ τοῦτον τὸν χρόνον, ἐς τὰς τεσσαράκοντα προσδέχεσθαι· ἢν δὲ μηδ' ἐν ταύτῃσι [6]παύηται, ἐν τῇσι ἑξήκοντα κρίνεται. Παρὰ [7]πάντα δὲ τὸν χρόνον τοῦτον ἐνθυμεῖσθαι τὴν λήμην, ἢν τῷ [8]δακρύῳ τε μίσγηται καὶ λευκή τε καὶ μαλθακὴ [9]γίγνηται, μά-

18. Oculi gramiosi optimum habent successum, si simul lacryma et gramia et tumor coeperint, atque si lacryma gramiae permixta, neque vehementer calida fuerit, gramia vero alba et mollis et tumor levis ac solutus sit. His enim sic se habentibus noctu oculus conglutinabitur, ut dolorem non sentiat; isque casus minime periculosus minimeque diuturnus fuerit. At si lacryma multa et calida cum paucissima gramia et exiguo tumore idque ex altero oculo profluat, valde diuturnum id quidem, sed sine periculo fit, idque lippitudinis genus prae omnibus doloris expers est. Iudicatio, quae primum fit, circa vigesimum diem exspectanda; quod tempus si superat, quadragesimo die exspectanda est, aut si neque in his desinat, in sexaginta diebus solvitur. At toto tempore ad gramiam attentum esse oportet, num lacrymae misceatur et alba et mollis fiat, idque praecipue sub iudicationis tempus, tum namque ubi finitur, id evenire solet. Quodsi haec utrumque oculum invaserunt, maius est

[1] ἐπίμπλατο. — [2] τούτου. — [3] ἢν — φανῆται. — [4] ἢν (sic). — [5] εἴη γάρ. — [6] παύσηται. — [7] πάντα om. — [8] δακτύλῳ. — [9] γίνεται δ' ὑπὸ τοὺς κρ.

χωρέει — τῶν δὲ χωρίων in cap. 20. non procul ab initio om. in J.

17. ὧν δὲ — βδέλλαν.] πολλάκις γάρ D. K.' Q.'; — βηχὸς οὔσης cod. ρ.; — οὔτε ἐμέοντι — ἐχούσης om. K.; — τούτων κατιδεῖν Littr., volente Opsopoeo; ego nihil muto; — ἢν ἕλκος vulg., ἢν γὰρ ἕλκος mss. 7., ἢ γὰρ ἕλκος D. K. ρ.; — φανῆται vulg., φανεῖται D. K. ρ., Mack.; — βδέλλης K.; — Gal. ex h. l. exponit βδέλλαν; nullus dubito quin animalculum voluerit noster; commentum Dioscoridis, sive cuiuscumque fuerit, esse βδέλλαν h. l. φλέβα κιρσώδη, ridiculum est.

18. ὀφθαλμοὶ — ὀλιγοχρονιώτατον.] ἐπαλλάττουσι ceteri, ἀπαλλάσσουσι de meo; — dein vulgo γενόμενα. Ἢν δὲ κ. τ. λ., sed Opsop. haec cum antecedentibus coniuncta voluit; punctum post γενόμενα tollendum et tum ἤν τε τὸ μέν legendum censuit; non obsecutus est Littr.; ego cum Opsopoco consentio; — ἔχει pro ἔχοι G.; — ὀφθαλμούς et ἀνωδύνους D.; — ὁ ante ὀφθ. de meo.

εἰ — μάλιστα.] τρόπος. ἐν τοῖσι μάλιστα τήνδε κρίσιν vulg.; rectius distinxit Littr. et τὴν δέ scripsit.

τὴν — κρίνεται.] δ' ἐν ταύτῃσι μή K.; — παύσηται K. α.

παρὰ — ποιήσει.] ἢν ἐν τῷ δακτύλῳ (sed δακρύῳ dudum emendarunt) vulg.; Mack. σύν pro ἐν voluit; cum L., Opsop., Lind. ἐν omitto; — τε ante μίσγηται om. K.; — γένηται D.; — ποιήσοι cod. ρ.

λιστα δ' ὑπὸ τοὺς χρόνους τοὺς κρισίμους· ἢν γὰρ μέλλῃ παύεσθαι, ταῦτα ποιήσει. Εἰ δὲ οἱ ὀφθαλμοὶ ἀμφότεροι ταῦτα πάθοιεν, ἐπικινδυνότεροι γίγνονται ἑλκωθῆναι· ἡ δὲ κρίσις ἐλάσσονος χρόνου ἔσται. Λῆμαι δὲ ξηραὶ ἐπώδυνοι κάρτα, κρίνονται δὲ ταχέως, ἢν μὴ τρῶμα λάβῃ ὁ ὀφθαλμός. Οἴδημα δὲ ἢν μέγα ᾖ, ἀνώδυνόν τε καὶ ξηρὸν, ἀκίνδυνον· εἰ δὲ εἴη ξὺν ὀδύνῃ, κακὸν μὲν ξηρὸν ἐὸν, καὶ ἐπικίνδυνον ἑλκῶσαί τε τὸν ὀφθαλμὸν καὶ ξυμφῦσαι· δεινὸν δὲ καὶ ξὺν δακρύῳ τε ἐὸν καὶ ὀδύνῃ· εἰ γὰρ δάκρυον [1]χωρέει θερμὸν καὶ ἁλμυρὸν, κίνδυνος τῇ τε κόρῃ ἑλκωθῆναι καὶ τοῖσι βλεφάροισι. Εἰ δὲ τὸ μὲν οἴδημα κατασταίη, δάκρυον δὲ πουλὺ ἐπιχέεται πολὺν χρόνον καὶ λῆμαι [2]εἰσὶ, τοῖσι μὲν ἀνδράσι βλεφάρων ἐκτροπὴν προλέγειν, τῇσι δὲ γυναιξὶ καὶ τοῖσι παιδίοισι ἕλκωσιν καὶ τῶν βλεφάρων ἐκτροπήν. Ἢν δὲ λῆμαι χλωραὶ ἢ πελιδναὶ ἔωσι καὶ δάκρυον πουλὺ καὶ θερμὸν, καὶ ἐν τῇ κεφαλῇ καῦμα ᾖ, [3]καὶ διὰ τοῦ κροτάφου ὀδύναι ἐς τὸν ὀφθαλμὸν καταστηρίζωσι, καὶ ἀγρυπνίη τούτοισι ἐπιγένηται, ἕλκος ἀνάγκη γενέσθαι ἐν τῷ ὀφθαλμῷ· ἐλπὶς δὲ καὶ ῥαγῆναι τὸν τοιοῦτον. Ὠφελέει δὲ [4]ἢ πυρετὸς ἐπιγενόμενος ἢ ὀδύνη ἐς τὴν ὀσφὺν στηρίξασα. Προλέγειν δὲ [5]δεῖ τούτοισι τὰ ἐσόμενα [6]ἔς τε τὸν χρόνον σκεπτόμενον ἔς τε τὰ ἐκ τοῦ ὀφθαλμοῦ ῥέοντα καὶ ἐς τὰς περιωδυνίας τε καὶ ἀγρυπνίας.

ulcerum periculum, sed brevi solventur. Gramiae autem siccae vehementes dolores afferunt, brevi tamen solvuntur, nisi oculus vulnus acceperit. Tumor vero magnus doloris expers et siccus sine periculo est. Quodsi cum dolore est, siccus quidem malus metusque est, ne oculum exulceret ac palpebrae coeant. Formidabilis quoque est, ubi cum lacryma coniunctum dolorem habet. Nam si lacryma calida et salsa profluit, in pupilla et palpebris exulcerationis periculum est. At si tumor quidem constiterit, lacryma vero multa diutius effunditur et gramiae tenent, viris quidem palpebrarum eversionem recte praedixeris, et mulieribus et pueris exulcerationem et palpebrarum eversionem. Si vero gramiae pallidae aut lividae fuerint, lacrimaque multa et calida, caput ardor occupet, ex temporibus ad oculum dolor tendat insomniaque his accesserit, ulcus in oculo factum esse necesse est, atque ne rumpatur metus est. Iuvat autem vel succedens febris, vel dolor in lumbos firmatus. His vero futurorum praedictionem recte institues, si et temporis et eorum, quae ex oculo fluunt, rationem inieris, tum etiam gravissimorum dolorum et vigiliarum.

ιθ'. Ἐπὴν δὲ [7]τὸν ὀφθαλμὸν οἷόν τε ᾖ κατιδεῖν, ἢν μὲν εὑρεθῇ ἐρρωγώς τε καὶ διὰ τῆς ῥωγμῆς [8]ὑπερέχουσα ἡ ὄψις, πονηρὸν καὶ χαλεπὸν καθιδρύσαι· [9]ἢν δὲ καὶ σηπεδὼν ὑπῇ τῷ τοιούτῳ, τελέως ἄχρηστος ὁ ὀφθαλμὸς γίγνεται. Τοὺς δ' ἄλλους τρόπους τῶν ἑλ-

19. Sed ubi oculum introspicere licet, si quidem ruptum inveneris et per rimam pupilla exstiterit, malum significat, nec facile restituitur. Quodsi etiam putredo subsit, nulli amplius est usui. Reliqua vero ulcerum genera praedicere licet et locos et putredines et altitudinem

[1] χωρέοι. — [2] ἔωσι. — [3] διὰ τούτου κροτ. sine praevio καί. — [4] ἢ om. — [5] δεῖ om. — [6] ἔσται τὸν χρ. — [7] καὶ τὸν ὀ. — [8] ὡς ὑπερέχουσα. — [9] εἰ.

λῆμαι — ὀφθαλμός.] ἐπικίνδυνοι K. pro ἐπώδυνοι.
οἴδημα — βλεφάροισι.] χωρέοι codd. 4.
εἰ δὲ — ἐκτροπήν.] ἔωσι vulg.. εἰσί de suo Littr.
ἢν δὲ — τοιοῦτον.] καὶ πελιδναί vulg., ἢ πελ. Ald., mss. 3., Lind., Littr.; — τὸν τοιοῦτον K.' (nempe τὸν ὀφθαλμόν), τὸ τοιοῦτον vulg.
ὠφελέει — στηρίξασα.] vulgo καί post δέ, ubi de meo ἤ dedi; καί, uti V., omm. mss. 6. Littréi; — ἡ ὀδύνη H.; — ὀφρύν exemplaria quaedam apud Foës., ὀφθαλμόν cod. ρ. pro vulgato ὀσφύν; — στηρίζουσα mss. 4.
προλέγειν — ἀγρυπνίας.] δέ omm. D. H.; — [καὶ] ἐς τάς Lind., unde καί dedi, quod abesse solet.
19. ἐπὴν — γίγνεται.] δὲ καὶ τόν vulg., καί omm. D. Littr.; — ἐρρωγός vulg., quare τι pro τε Lind., sed ἐρρωγώς Littr. cum mss. 3.; — κατιδρύσαι cod. α.
τοὺς — γίγνεσθαι.] σκεπτομένους vulg., σκεπτόμενον Littr. de suo; — γάρ K.', Lind., Mack., Littr., γάρ vulgo abest.

κέων ἐς τὰ χωρία σκεπτόμενον προλέγειν καὶ τάς τε σηπεδόνας καὶ βαθύτητας· ἀναγκαῖον [1]γὰρ κατὰ τὴν ἰσχὺν τῶν ἑλκέων τὰς οὐλὰς γίγνεσθαι. Οἷσι μὲν οὖν ῥήγνυνται οἱ ὀφθαλμοὶ καὶ μέγα ὑπερίσχουσι, ὥστε ἔξω τὴν ὄψιν τῆς χώρης εἶναι, ἀδύνατοι ὠφελέεσθαι καὶ χρόνῳ καὶ τέχνῃ ἐς τὸ βλέπειν· τὰ δὲ σμικρὰ μετακινήματα τῶν ὀψίων οἷά τε καθιδρύεσθαι, ἢν μήτε κακὸν ἐπιγένηται μηδὲν, ὅ τε ἄνθρωπος νέος ᾖ.

intuenti. Pro ulcerum enim magnitudine cicatrices fieri necesse est. Quibus igitur rumpuntur oculi multumque exstant, adeo ut pupilla loco mota esse videatur, iis neque ullo tempore, neque arte, ut videant, opem ferre licet. At parvae pupillarum dimotiones restitui possunt, dum ne quid mali accesserit et iuvenis sit aeger.

κ'. Αἱ δὲ ἐκ τῶν ἑλκέων οὐλαὶ, οἷσι ἂν μὴ κακόν τι ἄλλο προσῇ, πᾶσαι [2]οἷαί τε ὠφελέεσθαι καὶ ὑπὸ τῶν χρόνων καὶ ὑπὸ τῆς τέχνης, μάλιστα δὲ αἱ νεώταταί τε καὶ ἐν τοῖσι [3]νεωτάτοισι τῶν σωμάτων. Τῶν δὲ χωρίων μάλιστα μὲν αἱ ὄψιες βλάπτονται ἑλκούμεναι, ἔπειτα [4]τὸ ὑπεράνω τῶν ὀφρύων, ἔπειτα δὲ καὶ ὅ τι ἂν ἄγχιστα ᾖ τούτων τῶν τόπων. Αἱ δὲ κόραι γλαυκούμεναι, ἢ ἀργυροειδέες γενόμεναι, ἢ κυάνεαι, οὐδὲν χρηστόν· τούτων δὲ ὀλίγῳ ἀμείνους, ὁκόσαι ἢ σμικρότεραι φαίνονται, ἢ εὐρύτεραι, ἢ γωνίας ἔχουσαι, εἴτ' ἐκ προφασίων τοιαῦται γενοίατο, εἴτ' αὐτόματοι. Ἀχλύες καὶ νεφέλαι καὶ αἰγίδες ἐκλεαίνονταί τε καὶ ἀφανίζονται, ἢν μὴ τρῶμά τι ἐπιγένηται ἐν τούτῳ τῷ χωρίῳ, ἢ πρόσθεν τύχῃ οὐλὴν ἔχων ἐν τῷ χωρίῳ τούτῳ, ἢ πτερύγιον. Ἢν δὲ [5]παράλαμψις γένηται, εἰ πουλὺν χρόνον [6]παραμένοι καὶ τρηχεῖά τε καὶ [7]παχεῖα εἴη, μνημόσυνον ὑποκαταλείπει.

20. Ulcerum vero cicatrices, si non aliud malum subsit, omnes et a tempore et ab arte iuvari posse existimandae sunt, ac praecipue quae recentissime et in iuvenilibus corporibus contractae sunt. Ex locis autem insignem facit noxiam pupillae acies si exulceretur, secundum eam id quod est supra supercilium, deinde vero quidquid his locis fuerit proximum. Pupillae quoque caesium, aut argenteum, aut coeruleum colorem nactae improbandae sunt. His aliquanto meliores existimandae sunt, quae aut minores, aut ampliores apparent, aut angulos habent, sive id ex manifesta causa, sive sponte accidat. Caligines et nubeculae et subalbicantes cicatrices, aegides dictae, exteruntur atque evanescunt, nisi eo in loco vulnus aliquod subortum sit, aut illic antea cicatrix aut unguis fuerit. Quodsi in oculi nigro resplendens cicatrix nata sit, si diutius perseveret et aspera et crassa fuerit, vestigium sui relinquit.

[1] *γάρ* om. — [2] *οἴεσθαι.* — [3] *νεοτέροισι.* — [4] *τό.* — [5] *παράληψις.* — [6] *παραμένη.* — [7] *παχείη καὶ μνημοσύνην ὑποκ.*

οἷσι — ᾖ.] *μετά* vulgo, *μέγα* Coraës ad lib. de Aëre, aq. l., p. 40.; — *τῆς χώρης τὴν ὄψιν* Lind., Opsopoeo obsecutus; — *ἀδύνατον* Mack.; — *μετὰ κινήματος* D.; — *ἴηται* pro *οἷά τε* D. H.

20. *αἱ δὲ — σωμάτων.*] *οἴεσθαι* vulg., sed *οἷόν τε* pro eo scripserunt dudum tum in mss., tum in edd.; — *νεωτέροισι* cod. *α.*, Lind., Mack., cf. lectt. Voss.

τῶν δὲ — τόπων.] *ἑλκόμενοι* vulg., *ἑλκόμεναι* plures libri, *ἑλκούμεναι* H. al. m., Ops., Lind.

αἱ δὲ — αὐτόματοι.] *γινόμεναι* cett., aor. de meo dedi; — *ὀλίγαι* vulg., *ὀλίγῳ* Kühn., Littr.; — *αὐτόματοι* J., Littr., *αὐτόμαται* vulg.

ἀχλύες — πτερύγιον.] *αἰγιάδες* Lind., vid. Gal. in gloss. in voce *ἀγλίη*; — *τύχοι* J. et *ἔχον* idem.

ἢν δὲ — ὑποκαταλείπει.] *παράλειψις* J., *παράληψις* vulg., *παράλαμψις* Gal. in gloss., L., K.', Foës. in adn., Littr.; — *καί* D., H. al. m., Q.', Littr., *καί* om. vulg.; — *γένηται ἀπολευκάνῃ τοῦ μέλανος μόριόν τι, εἰ π. χρ. παραμένῃ, καὶ τρηχείη τε καὶ παχείη, καὶ μνημ. καταλιπεῖν* vulgata; — sed *ἀπολευκάνοι* J., *ἀπολευκάνει* Q.', Ops., *ἀπολευκαίνει* Lind., Mack. Ante *εἰ* addunt *ὡς* Opsop., Foës. in not., Lind., *ὥστε* K.'; — *παραμένοι* J., Ops., Lind., *παραμείνῃ* D.; — *τρυχύοι τε καὶ παχύοι* J.; — *παχείη εἴη* Opsop., Lind., Littr.; — *οἵη τε* de suo Littréus, vulgo abest. — Antiquiores illi interpretes igitur voluerunt: *ἢν δὲ παράλαμψις γένηται, ἀπολευκαίνει τοῦ μέλανος μόριόν τι, ὡς, εἰ πουλὺν χρόνον παραμένοι καὶ τρηχείη τε καὶ παχείη εἴη, καὶ μνημόσυνον καταλιπεῖν.* Littréus dedit: *ἢν δὲ παράλαμψις γένηται, καὶ ἀπολευκάνῃ τοῦ μέλανος μόριον τι, εἰ πουλὺν χρόνον παραμένοι καὶ τρηχείη τε καὶ παχείη εἴη, οἵη τε καὶ μνημόσυνον ὑποκαταλιπεῖν.* — Sed ego sic sentio: *καὶ ἀπολευκάνῃ τοῦ μέλανος μόριόν τι* est glossa ad *παράλαμψις* spectans, vide Galeni glossarium in voce *παράλαμψις*, adeo ut legere oporteat: *Ἢν δὲ παράλαμψις γένηται, εἰ πουλὺν χρόνον παραμένοι καὶ τρηχεῖά τε καὶ παχεῖα εἴη, μνημόσυνον καταλείπει.*

κα'. Αἱ δὲ κρίσιες ὡς ἐν τοῖσι πυρετοῖσι ἔγραψα, [1]οὕτω καὶ ἐνθάδε ἔχουσι. Ἀλλὰ χρὴ τὰ σημεῖα ἐκμαθόντα, ὡς διαγέγραπται ἐφ' ἑκάστῃσι, προλέγειν τὰς διαφορὰς τῶν [2]ὀφθαλμιῶν· τὰς μὲν πουλυχρονίους, ὅταν τὰ κάκιστα τῶν σημείων ἐπιγένηται, τὰς δὲ ὀλιγοχρονίους, ὅταν τὰ σημεῖα προφαίνηται τὰ ἄριστα· τότε δὲ προλέγειν ἑβδομαίας παύσεσθαι, ἢ ἐγγὺς τούτων, καὶ ἄλλως ἀσφαλῶς νομίζειν ἔχειν· τὰς δὲ ὑποστροφὰς προσδέχεσθαι, οἷσι ἂν ῥάστωναι γένωνται μήτ' ἐν ἡμέρῃσι κρισίμοισι, μήτε σημείων ἀγαθῶν ἐπιφανέντων. Πάντων δὲ χρὴ μάλιστα τὴν κατάστασιν τοῦ οὔρου ἐν τοῖσι περὶ τοὺς ὀφθαλμοὺς ἐνθυμεῖσθαι· οἱ γὰρ καιροὶ ὀξέες.

21. Iudicationes vero non secus atque in febribus scripsi, ita et hic se habent. Sed cum didiceris signa, quemadmodum in singulis descripta sunt, lippitudinum differentias praedicere oportet: longas, quando pessima signa sunt oborta; breves, cum optima signa ante apparuerint: tunc autem eas septimo die aut proximis finitum iri praedicere oportet et reputare eas periculo omnino vacare. Quibus autem levamentum adfuerit, si id neque iudicatoriis diebus, neque cum bonis signis contingat, in iis recidivae metuendae sunt. Inprimis vero in oculorum affectibus urinae status in considerationem adhibendus est. Occasio namque praeceps est et lubrica.

κβ'. Αἱ δὲ δυσεντερίαι ξὺν πυρετῷ μὲν ἢν ἐπίωσι, ἢ ποικίλοισι διαχωρήμασι, ἢ ξὺν φλεγμονῇ ἥπατος, ἢ ὑποχονδρίου, ἢ γαστρὸς, ἢ ὅσαι ἐπώδυνοι, ἢ ὅσαι τῶν σιτίων ἀπολαμβάνουσι δίψαν τε παρέχουσι, αὗται μὲν πᾶσαι πονηραί· καὶ [3]ὃς ἂν πλεῖστα ἔχῃ τούτων τῶν κακῶν, τάχιστα ἀπολεῖται· ᾧ δ' ἂν ἐλάχιστα τῶν τοιούτων προσῇ, πλεῖσται αὐτῷ ἐλπίδες. Ἀποθνήσκουσι δὲ ὑπὸ ταύτης τῆς νόσου μάλιστα παιδία τὰ πενταετέα καὶ γεραίτερα ἔς τε τὰ δεκαετέα· αἱ δ' ἄλλαι ἡλικίαι ἧσσον. Ὅσαι δὲ τῶν δυσεντεριῶν λυσιτελέες, τὰ μὲν κακὰ ταῦτα οὐκ ἐμποιέουσι, αἷμα δὲ καὶ ξύσματα διαχωρήσαντα [4]ἐπαύσαντο ἑβδομαῖα, ἢ τεσσαρεσκαιδεκαταῖα, ἢ εἰκοσταῖα, ἢ τεσσαρακονθήμερα, ἢ ἐντὸς τούτων τῶν χρόνων. Τὰ τοιαῦτα γὰρ διαχωρή-

22. At tormina ea quidem omnia mala sunt, quae cum febre invadunt, aut variis alvi recrementis, aut iecoris inflammatione, aut praecordiorum, aut ventris, aut quaecumque doloribus cruciant, aut cibos cohibent sitimque inferunt. Ac celerrime is perit, quum maxima pars horum malorum occupat. Huic vero plurimum inest spei, cui horum paucissima adsunt. Isque morbus praecipue pueros a quinto anno perimit et qui eum superant ad decimum usque; ceterae aetates tutiores sunt. Utilia autem tormina sunt, quae his malis non affligunt. At ubi sanguis et strigmenta per alvum reiecta fuerint, septimo die desinunt, aut decimoquarto, aut vigesimo, aut quadragesimo, aut intra hoc tempus. Huiusmodi namque deiectiones etiam eos qui ante fuerunt in corporibus morbos tollunt, invetera-

[1] οὕτως. — [2] ὀφθαλμῶν ὄντα τὰ κάκιστα τῶν σημείων ἐπιγένηται τὰς δὲ πολυχρονίους τῶν ὀφθαλμῶν ὡς διαγέγραπται ἐφ' ἑκάσταισι τὰς δὲ ὀλιγοχρονίους ὅταν τὰ σημεῖα προφαίνηται τὰ ἄριστα. — [3] ὅσα ἄν. — [4] ἐπαύσαντο.

21. *αἱ δὲ — ἔχουσι.*] *ὡς ἐν* om. cod. ρ.; — *οὕτως* H. *ἀλλὰ — φανέντων.*] *χρηστά* al. m. *χρή τά* I.; — *κατὰ τάς* sine *μέν* K.: — *διαφορὰς τῶν ὀφθαλμιῶν* (*ὀφθαλμῶν* codd. 9.) *ὅταν τὰ κάκιστα τῶν σημείων ἐπιγένηται, τὰς δὲ* (*δέ* om. Opsop., Foës. in adn., *μέν* pro *δέ* Lind.) *πολυχρονίους* (*πουλυχρονίους* H.) *τῶν ὀφθαλμιῶν* (*ὀφθαλμῶν* F. G.) (*ὅταν — ὀφθαλμῶν* om. K.) *ὡς διαγέγραπται ἐφ' ἑκάστῃσι* (*ἑκάστοισι* J. ρ.) *τὰς* (*τούς* K.) *δὲ ὀλιγ.* vulg.; — Littr. dedit *διαφορὰς τῶν ὀφθαλμῶν, ὡς διαγέγραπται ἐφ' ἑκάστῃσι, τὰς δὲ πουλυχρονίους τῶν ὀφθαλμιῶν ὅταν τὰ κάκιστα τῶν σημείων ἐπιγένηται, τὰς δὲ ὀλιγοχρονίους, ὅταν τὰ σημεῖα προφάνηται τὰ ἄριστα.* Qua in re ab eius ratione deflexerim, textus descriptus docet. Porro *τό τε* Morellius, Foës. in adn., Mack., *τότε γάρ* Corn., *τότε δέ* de meo; particula deëst, sed malo *δέ* quam *γάρ* supplere; — *ἑβδομαίους* K.; — *παύσασθαι* vulg., *παύσεσθαι* mss. 4., *παύεσθαι* unum ρ.; — *κρισίμῃσι* J.

πάντων — ὀξέες.] *ὑπόστασιν* quaedam exempll. apud Foës.; pro *οὔρου* Lind. *ὥρου*; nempe Opsop. aut hoc aut *ὅλου* voluit pro *οὔρου*. Voluit *ὥρου* ex Erot., qui in voce *ὡρέοντα* habet *ὥρος γὰρ ὁ χρόνος.* — Littr. nihil tangendum opinatur: neque mihi videtur quidquam novandum. Ex *ὥρου* et *ὅλου* hoc maxime placeat, nec tamen congruum mihi videtur.

22. *αἱ — ἐλπίδες.*] *ἢ ποικίλοισί τε διαχ.* ceteri; *τε* abieci; — *ἔχει πλεῖστα* J.; — *ἐλπίδες αὐτῷ* X.

τὰ τοιαῦτα — ἀπαλλάσσειν.] *ἢν πλείονι χρόνῳ* vulg.,

ἐν — περαίνουσαι.] τούτων cod. θ.; voluit puto librarius ἐν δὲ τούτων; — αἱ δὲ πρός cod. θ.; — ἐπιφοράν idem; — ἄστρον idem.

τὸ θερμότατον — ἀτρεμίζον.] κρατέει cod. θ. pro vulgato ἐπικρατέεται; — διέποντα πάντα H.; — ἕκαστα pro πάντα cod. θ.; — ἄοικτον cod. θ., ἄψοφον vulg., ἄψηρον L., ἄϊκτον Littr.: — ψυχῆς E. H. K. P.' Q.'; — νοῦς cod. θ.; — κιν., μει., διαλλ. om. idem; — διάταξις F. G. I. J.; — ἔγερσις cod. θ.; — καί ante ἐκεῖνα omm. F. G. I. J.; — ἀτρεμίζον Zuing., Lind., Mack., Littr., ἀτρεμίζων vulg.. ἀτρεμέει, ἀτρεμίζει aliae sunt lectt. mss., ἀτρεμέος (ἀτρεμαῖος voluit) ἥσταται (ἵσταται.) Cod. J.

11. οἱ δὲ — μιμέονται.] γινώσκοντας vulg., γιγνώσκοντας cod. θ. utroque loco; — οὐ om. G.

πάντα — ὁμολογεόμενος.] ὑπεναντίον vulg., ὑπεναντίων E., ὑπεναντίος cod. θ.

νόμος — διαφέρει.] φύσις E. L. θ., Zuing., Lind., Mack., Littr., φύσιος vulg.; — διαπρησσόμεθα cod. θ., Zuing. in marg., Littr., διαπρησσόμενα vulg.; — νόμον μὲν ἔθεσαν E. H. P.' Q.' θ., Zuing., Lind.. Mack., Littr., μὲν γάρ in his I.; — ἄνθρωποι ἔθεσαν cod. θ.; — φύσιν δή Ald., E. I. J.; — πάντων E. H. θ., Mack., Littr., πάντες vulg.; — θεὸς διεκόσμησεν pr. m. in θ.; — ἃ J., Littr., τά vulg.; — διέθεσαν priore loco θ., altero J. θ., quod recepi pro vulgato ἔθεσαν.

ἑωυτοῖσι, οὐ γιγνώσκοντες περὶ ὧν ἔθεσαν· Φύσιν δὲ [1] πάντων θεοὶ διεκόσμησαν· [2] ἃ μὲν οὖν ἄνθρωποι διέθεσαν, οὐδέκοτε κατὰ τωὐτὸ ἔχει, οὔτε ὀρθῶς, οὔτε μὴ ὀρθῶς· ὁκόσα δὲ θεοὶ διέθεσαν, αἰεὶ ὀρθῶς ἔχει· καὶ τὰ ὀρθὰ καὶ τὰ μὴ ὀρθὰ τοσοῦτον διαφέρει.

ignorantes de quibus statuerunt. Naturam vero omnium dii certo ordine constituerunt. Quae igitur homines constituerunt, ea numquam eodem modo se habent, sive recta, sive non recta sint. Quae vero dii constituerunt, ea semper recte habent. Ac recta et non recta tantum inter se differunt.

ιβ'. Ἐγὼ [3] δὲ δηλώσω τέχνας φανερὰς ἀνθρώπου παθήμασι ὁμοίας ἐούσας καὶ φανεροῖσι καὶ ἀφανέσι. Μαντικὴ τοιόνδε· τοῖσι φανεροῖσι μὲν τὰ ἀφανέα γιγνώσκειν καὶ τοῖσι ἀφανέσι τὰ φανερὰ, καὶ τοῖσι ἐοῦσι τὰ μέλλοντα, [4] καὶ τοῖσι ἀποθανοῦσι τὰ ζῶντα, καὶ τῶν ἀξυνέτων ξυνίασι, ὁ μὲν εἰδὼς αἰεὶ ὀρθῶς, ὁ δὲ μὴ εἰδὼς ἄλλοτε ἄλλως. Φύσιν ἀνθρώπου καὶ [5] βίον ταῦτα μιμέεται· ἀνὴρ γυναικὶ [6] ξυγγενόμενος παιδίον [7] ἐποίησε, τῷ φανερῷ τὸ ἄδηλον γιγνώσκων, ὅτι οὕτως ἔσται. Γνώμη ἀνθρώπου ἀφανὴς, γιγνώσκουσα τὰ φανερὰ, ἐκ παιδὸς ἐς ἄνδρα μεθίσταται, τῷ ἐόντι τὸ μέλλον [8] γιγνώσκει· [9] διότι οὐχ ὅμοιον τὸ ἀποθανὸν τῷ ζώοντι, τῷ τεθνηκότι τὸ ζῶον οἶδε. Ἀξύνετον γαστήρ· ταύτῃ ξυνίεμεν ὅτι διψῇ ἢ πεινῇ. Ταῦτα μαντικῆς τέχνης καὶ φύσιος ἀνθρωπίνης πάθεα, τοῖσι μὲν γιγνώσκουσι αἰεὶ ὀρθῶς, τοῖσι δὲ μὴ γιγνώσκουσι αἰεὶ ἄλλοτε ἄλλως.

12. At hominis artes manifestas affectionibus tum manifestis, tum obscuris similes esse demonstrabo. Divinationis hoc munus est, ut ex manifestis obscura quidem cognoscat, ex obscuris manifesta, et ex praesentibus quae futura sunt, ex mortuis viventia; quae intelligentia carent intelligunt semper quidem recte qui doctus est, indoctus vero alias aliter. Hominis naturam haec quoad fieri potest imitantur. Vir cum muliere congressus puerum facit, ex manifesto obscurum cognoscens, id ita futurum esse. Mens humana obscura manifesta cognoscens e puero in virum transit, praesenti futurum cognoscit; quia id quod mortuum est dissimile est viventi, ex mortuo vivum cognoscit. Venter cum intelligentia careat, ex eo intelligimus quod sitit, aut esurit. Hae divinandi artis et naturae humanae affectiones sunt, gnaris semper recte, ignaris vero semper alias aliter.

ιγ'. [10] Τέχνῃσι τὸν σίδηρον περιτήκουσι, πνεύματι ἀναγκάζοντες τὸ πῦρ τὴν ὑπάρχουσαν τροφὴν ἀφαιρέονται, ἀραιὸν δὲ ποιήσαντες παίουσι καὶ ξυνελαύνουσι, ὕδατος δὲ ἄλλου [11] τροφῇ ἰσχυρὸν γίγνεται. Ταὐτὰ πάσχει

13. In artibus ferrum colliquefaciunt, spiritu ignem cogentes praesens alimentum adimunt; cum vero rarum fecerint, feriunt et cogunt; alius vero aquae alimento validum fit. Eadem homini a paedotriba contingunt, —

[1] πάντες. — [2] τά. — [3] δέ om. — [4] καί om. — [5] οἷον. — [6] συγκενόμενος. — [7] ἐποίεε. — [8] γινώσκει. — [9] οὐχ ὅμοιον ἀπὸ θ. ζώοντι τῷ τ. — [10] τέχνης. — [11] τροφή.

12. ἐγὼ δὲ — ἀφανέσι.] δέ cod. θ., Zuing., Lind., Mack., Littr.; vulgo δέ abest.

μαντικὴ — ἄλλως.] τοῖσι μὲν φανεροῖσι cod. θ.; — γινώσκει E. θ.; — καὶ τοῖσι ἀφανέσι mss. 7., Lind., Littr.; vulgo καί om.; — καὶ τοῖσι ἀποθανοῦσι cod. θ., Littr., καί om. vulg.; ἄλλοτε ἄλλος E.

φύσιν — ἔσται.] καὶ οἷον vulg., καθ' οἷον Lind., καὶ ὡς οἷόν τε K.', καὶ βίον cod. θ., Mack., Littr.; — γυναικός F. G.; — ἐποίεε vulg., ἐποιέετο E., ἐποίησε θ., Mack., Littr.; — τῷ om. E., γινώσκειν vulg., γινώσκει cod. θ., Mack., γινώσκων Lind., quem sequor.

γνώμη — οἶδε.] γινώσκειν E. H., Littr., γινώσκει vulg.; — οὐχ ὅμοιον ἀπὸ θανάτου (ἀπὸ θανάτου Ald., Parr. 4., Lind., ἀποθανών cod. θ., Mack.) ζώοντι (ζῶντι cod. θ.) τῷ τεθνηκότι τὸ ζῶον οἶδε (οἶδεν τὸ ζῶον cod. θ.) vulg. Unde Littr. effecit οὐχ ὁ μὴ ὢν ἀπὸ θανάτου, ζῶον δὲ, τῷ τεθνηκότι τὸ ζῶον οἶδε, quod num quis intelligat, dubito. Vide num placeant, quae ipse de coniectura exhibui.

ἀξύνετον — πεινῇ.] ἡ γαστήρ K.'

ταῦτα — ἄλλως.] παθήματα cod. θ.; — γιγνωσκ. cod. θ. bis, γινώσκ bis vulg.; — ἄλλη G.

13. τέχνῃσι — γίγνεται.] Vulgo σιδήρου ὄργανα τέχνης, sed illud σιδήρου ὄργανα mihi inscriptio esse videtur marginalis, quam abiicio; — τέχνης vulgo, τέχνῃσι cod. θ., Littréus; — ἀφαιρέοντες vulgo, ἀφαιρέονται codex θ.; — τροφή E. I.

ταὐτὰ — γίγνεται.] ταῦτα cett.; — ἄνθρ. ceteri: — ἀναγκαζομένου cod. θ.; — ἀραιούμενα κόπτεται sine δέ

ὤνθρωπος ὑπὸ παιδοτρίβου· τὴν ὑπάρχουσαν τροφὴν πυρὶ ἀφαιρέεται, ὑπὸ [1]πνεύματος ἀναγκαζόμενος· ἀραιούμενος δὲ κόπτεται, τρίβεται, καθαίρεται, ὑδάτων δὲ [2]ἐπαγωγῇ ἄλλοθεν [3]ἰσχυρὸς γίγνεται.

praesens alimentum igne adimitur, dum a spiritu cogitur; rarefactus vero tunditur, fricatur, purgatur, aquis autem aliunde inductis robustus evadit.

ιδ'. Καὶ οἱ γναφέες τωὐτὸ διαπρήσσονται· λακτίζουσι, [4]κόπτουσι, ἕλκουσι, λυμαινόμενοι ἰσχυρότερα ποιέουσι, κείροντες τὰ ὑπερέχοντα καὶ παραπλέκοντες καλλίω ποιέουσι· ταὐτὰ πάσχει [5]ὤνθρωπος.

14. Fullones quoque idem faciunt: pedibus calcant, feriunt, trahunt, sordes abluendo robustiora reddunt; quae supereminent deradendo et annectendo pulchriora efficiunt. Eadem etiam homini contingunt.

ιε'. Σκυτέες τὰ ὅλα [6]κατὰ μέρεα διαιρέουσι καὶ τὰ μέρεα ὅλα ποιέουσι, τάμνοντες δὲ καὶ κεντέοντες τὰ σαθρὰ ὑγιέα ποιέουσι. Καὶ ὤνθρωπος δὲ τωὐτὸ πάσχει· ἐκ τῶν ὅλων μέρεα διαιρέεται, καὶ ἐκ τῶν μερέων ξυντιθεμένων ὅλα γίγνεται· κεντεόμενοί τε καὶ τεμνόμενοι τὰ σαθρὰ ὑπὸ τῶν ἰητρῶν [7]ὑγιάζονται· καὶ [8]τόδε ἰητρικῆς, τὸ λυπέον ἀπαλλάσσειν καὶ ὑφ' οὗ πονέει ἀφαιρέοντα ὑγιέα ποιέειν. Ἡ φύσις [9]αὐτόματα ταὐτὰ ἐπίσταται· καθήμενος πονέει, ἀναστῆναι, κινεύμενος πονέει, ἀναπαύσασθαι, καὶ ἄλλα τοιαῦτα ἔχει ἡ φύσις ἰητρικῆς.

15. Sutores tota in partes dividunt et partes in tota transformant, secantes vero et pungentes lacera integra reddunt. Idemque homo patitur; ex integris partes discerpuntur et e partibus compositis tota fiunt; puncti et resectis corruptis a medicis ad sanitatem restituuntur; quin hoc medicae artis munus est, quod laedit removere et quod dolorem facit adimendo sanum reddere. Natura sponte sua eadem facere novit; cum sedens dolet, assurgere; cum ex motu dolet, requiescere, aliaque huius generis ex arte medica natura habet.

ιϛ'. Τέκτονες πρίοντες ὁ μὲν ὠθέει, ὁ δὲ ἕλκει· τωὐτὸ [10]ποιέειν ἀμφότερα φέρει· τρυπῶσι, ὁ μὲν ἕλκει, ὁ δὲ ὠθέει· πιεζόντων τὸ μὲν ἄνω ἕρπει, τὸ δὲ κάτω· [11]μείω ποιέοντες πλείω ποιέουσι καὶ πλείω ποιέοντες μείω ποιέουσι, φύσιν τε ἀνθρώπου μιμέονται. Πνεῦμα

16. Fabri lignarii dum serra secant alter trudit, alter trahit; idem facere utrumque fert; perforant, alter trahit, alter trudit; cum premunt partim sursum vergit, partim deorsum; comminuentes plura faciunt, et plura facientes comminuunt; naturamque hominis imitantur.

[1] τοῦ πν. — [2] ὑπαγ. — [3] ἰσχυρῶς. — [4] παίουσι λυμαινόμενοι κόπτουσιν, ἕλκουσιν λυμαινόμενοι ἰσχυρ. — [5] ὁ ἄνθρ. — [6] κατὰ μ. διαιρέοντες ταμν. [7] ὑγιαίνοντα. — [8] ζώει ἰητρική. — [9] αὐτομάτη. — [10] ποιέει. — [11] μεῖον.

cod. θ.; — ὑπὸ τῶν δε pro ὑδάτων δέ idem; — ὑπαγωγῇ vulg., ἐπαγωγῇ Zuing. in marg., θ.; hoc solum congruit cum comparatione in extremis periodi superioris.

14. καὶ — ὤνθρωπος.] τοῦτο cod. θ.; — vulgatum παίουσι, λυμαινόμενοι om. θ.; — πλυνόμενοι Zuing. in marg., Lind., Mack.; — κείροντες — ποιέουσι om. G.; — ταῦτα ceteri; — ὁ ἄνθρ. vulg., ἄνθρ. cod. θ.. ὤνθρ. E. H., Littr.

15. σκυτέες — ποιέουσι.] τὰ ὅλα κατὰ (καὶ τά E.) μέρεα διαιρέοντες (διαιρέουσι E. K. Q.', Mack.) τέμνοντες (τάμνοντες Parr. 5.) vulg., — τὰ ὅλα καὶ τὰ μέρεα διαιρέουσι καὶ τὰ μέρεα ὅλα (ὅλα om. H.) ποιέουσι τέμνοντες (τάμνοντες H.) θ.; textum descripsi, sicuti Littr., nisi quod hic principio καὶ τά pro vulgato κατά recepit, quod displicet.

καὶ — ποιέων.] ἄνθρ. ceteri; — ταῦτα pro τωὐτό cod. θ.; — ἐκ τῶν γὰρ ὅλων Lind.; — γίγνεται cod. θ., γίνεται cett.; — κεντούμενοι δέ cod. θ.; — τὰ σεσηπότα J.; — ὑγραίνονται καὶ ζῶσι (ζώῃ H.) ἰητρική vulg., ὑγιαίνονται· καὶ τόδε ἰητρικῆς cod. θ., Littr.; equidem in hac lectione ὑγιάζονται de meo dedi; — ἀπαλλάσσει vulg.; cum Littréo sequor θ.; — ἀφαιρέουσα Zuing. in marg., Lind., Mack.; — ποιεῖ Lind., Mack.; — cod. Lat. Littréi exprimere videtur τί γὰρ ἄλλο ποιέει ἡ ἰητρική. εἰ μὴ τὸ λυπέον ἀπαλλάσσειν καὶ ὑφ' οὗ πονέει ἀφαιρέειν καὶ ὑγιέα ποιέειν τὸν ἄνθρωπον;

ἡ φύσις — ἰητρικῆς.] ταῦτα ceteri; — τὰ ἄλλα τὰ τοιαῦτα sine καί cod. θ.; — ἡ ante φύσις om. pr. m. in H.

16. τέκτονες — μιμέονται.] τωὐτό mss. 5., Lind., Mack., τὸ αὐτό vulg.; — ποιέοντες cod. θ., ποιέει Parr. 5., cf. lectt. V.; — ἀμφοτέρως vulgo, ἀμφότερα de meo; — φέρει om. θ.. συμφέρει Zuing. in marg.; — πιεζόντων syllaba πι erasa cod. θ., ὁ πιέζων τὸν ἄνω ἕλκει K.', Mack.; equidem τὸ μέν explevi cum Zuing. in marg., Lind.; — μεῖον οἷοι ἐόντες πλείω ποιέουσι vulg., μείω (μεῖον Zuing., Lind., Mack.) πλείω ποιέουσι cod. θ.; — καὶ πλείω ποιέοντες μείω ποιέουσι supplevit Littr. auctoritate codicis sui Latini; — τε omm. K. θ.

πνεῦμα — ἕρπει.] τὸ πνεῦμα cod. θ.; — τὸ δ' αὐτό

τὸ μὲν ἕλκει, τὸ δὲ ὠθέει· τωὐτὸ ποιέειν [1] ἀμφότερα φέρει· σίτων τὰ μὲν κάτω πιέζεται, τὰ δὲ ἄνω ἕρπει. Ἀπὸ μιῆς ψυχῆς [2] διαιρευμένης πλείους καὶ μείους, καὶ μέζονες καὶ ἐλάσσονες.

Spiritum partim trahit, partim trudit; idem facere fert utrumque. Ciborum pars deorsum premitur, pars sursum vergit. Ab uno animo in partes diviso plures et pauciores, maiores et minores fiunt.

ιζ'. Οἰκοδόμοι ἐκ διαφόρων ξύμφορον [3] ἐργάζονται, τὰ μὲν ξηρὰ ὑγραίνοντες, τὰ δὲ ὑγρὰ ξηραίνοντες, τὰ μὲν ὅλα διαιρέοντες, τὰ δὲ διῃρημένα ξυντιθέντες· μὴ οὕτω δὲ ἐχόντων οὐκ ἂν ἔχοι [4] ἢ δεῖ. Δίαιταν ἀνθρωπίνην μιμέονται, τὰ μὲν ξηρὰ ὑγραίνοντες, τὰ δὲ ὑγρὰ ξηραίνοντες, τὰ μὲν ὅλα διαιρέουσι, τὰ δὲ διῃρημένα ξυντιθέασι, ταῦτα πάντα διάφορα ἐόντα ξυμφέρει τῇ φύσι.

17. Qui domos construunt ex rebus differentibus unam convenientem efficiunt, sicca quidem humectantes, humida vero siccantes et tota quidem in partes secantes, secta vero coniungentes. Quae nisi ita se haberent, non se haberent, uti oportet. In quo victus rationis, quae homini debetur, quaedam imitatio est; dum sicca quidem humectant, humida vero siccant, tota in partes secant, sicca vero coniungunt. Haec omnia cum differentia exsistant, natura conveniunt.

ιη'. Μουσικῆς ὄργανον ὑπάρξαι δεῖ πρῶτον ἐν ᾧ δηλώσει ἃ βούλεται ἁρμονίῃ· ξυντάξιες ἐκ τῶν αὐτῶν οὐχ αἱ αὐταὶ, ἐκ τοῦ ὀξέος, ἐκ τοῦ βαρέος, ὀνόματι μὲν ὁμοίων, φθόγγῳ δὲ οὐχ ὁμοίων· [5] τὰ πλεῖστα διάφορα μάλιστα ξυμφέρει, καὶ τὰ ἐλάχιστα διάφορα ἥκιστα ξυμφέρει· εἰ δὲ ὁμοῖα πάντα ποιήσει τις, οὐκ ἔνι τέρψις· αἱ πλεῖσται μεταβολαὶ καὶ πολυειδέσταται μάλιστα τέρπουσι. Μάγειροι ὄψα σκευάζουσι ἀνθρώποισι [6] ἐκ διαφόρων, ξυμφόρων, παντοδαπὰ ξυγκρίνοντες, ἐκ τῶν αὐτῶν οὐ τὰ αὐτὰ, βρῶσιν καὶ πόσιν ἀνθρώπῳ· ἢν δὲ πάντα ὁμοῖα ποιήσωσι, οὐκ ἔχει τέρψιν· οὐδ' εἰ ἐν [7] τῷ αὐτῷ πάντα [8] ξυντάξειεν, οὐκ ἂν ἔχοι ὀρθῶς. Γλῶσσα μουσικὴν μιμέεται διαγιγνώσκουσα μὲν τὸ γλυκὺ

18. In musica primum organon esse debet, in quo concentus quae vult declarabit. Compositiones ex iisdem non eaedem, ex acuto et gravi, nomine quidem similibus, sono vero non similibus. Quae plurimum differunt, maxime conveniunt, quae minimum differunt, minime conveniunt. Quod si quis omnia similia faciat, nulla erit delectatio. Plurimae et maxime variae mutationes delectant. Coqui obsonia hominibus dum apparant, cuiusvis generis differentia, non eadem ex iisdem homini ad cibum et potum conferunt. Sin omnia similia faciant, nullam habent oblectationem, neque si eodem omnia connectant, ea utique recte se habeant. Lingua musicam imitatur et ex his, quae illabuntur, quod dulce est et acidum dignoscit. Pulsatis instru-

[1] ἀμφότερα. — [2] διαφερομένης. — [3] ἐργάζοντες. — [4] ἰδίως δίαιταν. — [5] τὰ δὲ πλ. — [6] ἐκ διαφόρων παντοδαπὰ ξυγκρίνοντες. — [7] τῷ om. — [8] συνταράξειεν.

vulg., τωὐτό cod. θ.; — ποιέει idem, ποιέειν καί E. H. K.; — ἀμφοτέρως vulg., ἀμφοτέρω K., ἀμφότερα de meo; — φέρει σίτων om. θ.

17. οἰκοδόμοι — δεῖ.] συμφόρων om. θ.; — ἐργάζοντες Ald., mss. 6., Zuing., Lind., Mack.; — τὰ μὲν ἄλλα διαιρ. mss. 5.; — ἰδίως vulg., ηδει (sic) cod. θ., unde ἢ δεῖ Littr.

δίαιταν — φύσι.] μιμέονται K.', Zuing. in marg., Lind., Mack., μιμέεται vulg.; — ἄλλα pro ὅλα codd. 4.; — τῇ φύσι om. θ.

18. μουσικῆς — τέρπουσι.] ἁρμονίην E. (sec. m. in H.) K., ἁρμονίης σύνταξις cod. θ., συντάξιας E. K.; — οὐχ ἑαυταί K.; — καὶ ἐκ τοῦ βαρ. cod. θ., Mack.; — φθόγγων cod. θ.; — ὁμοίαν E.; — μᾶλλον idem pro μάλιστα; — τὰ δέ pro καὶ τά mss. 6.; — τὰ δὲ ὁμ. pro εἰ δὲ ὁμ. cod. θ.; — ποιήσῃ vulg., ποιήσει Bas., mss. 7., Mack., Littr.; — ἔτι pro ἔνι cod. θ.; — πολυειδέστατοι E. K.

μάγειροι — ὀρθῶς.] ἐκ ante διαφόρων omm. Ald., Parr. 6., θ., Littr.; mihi salvo sensu loci abesse non posse videtur; — συμφόρων solus θ. praebuit Littréo; — τωὐτά I. J., ταῦτα cod. θ.; — ἀνθρώπων vulgo, ἀνθρώπῳ cum ι subscripto ex θ. adnotat Littr.; — εἰ — ποιήσει cod. θ., ἢν — ποιήσῃ vulg.; — ποιήσωσι Mack., τῷ ante αὐτῷ E. H. K., θ., Mack., Littr., vulgo om.; — συνταράξειεν mss. 7.

Γλῶσσα — λύπη.] Vulgo: Κρούεται τὰ κρούματα ἐν μουσικῇ τὰ μὲν ἄνω, τὰ δὲ κάτω. Γλῶσσα μουσικὴν μιμέεται διαγινώσκουσα μὲν τὸ γλυκὺ καὶ τὸ ὀξὺ τῶν προσπιπτόντων, καὶ τὰ (τά omm. Ald., mss. 6.) διάφωνα (καὶ ξύμφωνα addunt θ., Mack., Littr.) κρούεται δὲ τοὺς φθόγ-

καὶ τὸ ὀξὺ τῶν προσπιπτόντων. Κρούεται *τὰ κρούματα ἐν μουσικῇ τὰ μὲν ἄνω, τὰ δὲ κάτω· καὶ τὰ διάφωνα καὶ ξύμφωνα κρούεται ἄνω καὶ κάτω· καὶ οὔτε τὰ ἄνω κάτω κρουόμενα ὀρθῶς ἔχει, οὔτε τὰ κάτω ἄνω· καλῶς δὲ ἡρμοσμένης λύρης,* [1]*τῇ ξυμφωνίῃ τέρψις, ἀναρμόστου δὲ λύπη.*

ιθ'. [2]Νακοδέψαι *τείνουσι, τρίβουσι, κτενίζουσι, πλύνουσι· ταὐτὰ παιδίων θεραπηΐη.* Πλοκέες *ἄγοντες κύκλῳ πλέκουσι, ἀπὸ τῆς ἀρχῆς ἐς τὴν ἀρχὴν τελευτῶσι· τωὐτὸ περίοδος ἐν τῷ σώματι, ὁκόθεν ἄρχεται, ἐπὶ τοῦτο τελευτᾷ.*

κ'. Χρυσίον *ἐργαζόμενοι κόπτουσι, πλύνουσι, τήκουσι πυρὶ μαλακῷ, ἰσχυρῷ δὲ οὐ ξυνίσταται· ἀπεργασάμενοι πρὸς πάντα χρῶνται· ἄνθρωπος σῖτον κόπτει, πλύνει, ἀλήθει, πυρώσας χρῆται, ἰσχυρῷ μὲν πυρὶ ἐν* [3]*τῷ σώματι οὐ ξυνίσταται, μαλθακῷ δέ.*

κα'. Ἀνδριαντοποιοὶ *μίμησιν σώματος ποιέουσι πλὴν ψυχῆς, — γνώμην δὲ ἔχοντα οὐ ποιέουσι, — ἐξ ὕδατος καὶ γῆς, τὰ ὑγρὰ ξηραίνοντες καὶ τὰ ξηρὰ ὑγραίνοντες ἀφαιρέονται ἀπὸ τῶν ὑπερεχόντων καὶ προστιθέασι πρὸς τὰ ἐλλείποντα, ἐκ τοῦ ἐλαχίστου πρὸς τὸ μέγιστον αὔξοντες.* Ταὐτὰ *πάσχει καὶ ὤνθρωπος, αὔξεται ἀπὸ τοῦ ἐλαχίστου ἐς τὸ μέγιστον, ἐκ τῶν ὑπερεχόντων ἀφαιρούμενος, τοῖσι ἐλλείπουσι προστιθεὶς, τὰ ξηρὰ ὑγραίνων καὶ τὰ ὑγρὰ ξηραίνων.*

κβ'. Κεραμέες *τροχὸν δινέουσι καὶ οὔτε πρόσω, οὔτε ὀπίσω* [4]*προχωρέει, ἀμφοτέρως ἅμα τοῦ ὅλου ἀπομίμημα τῆς περιφορῆς·*

mentis musicis tum supra, tum infra soni eduntur. Et dissonantes et consonantes supra et infra eduntur et neque superiores soni infra eliciti, neque infimi supra, recte se habent. Recte compositâ lyrâ e concentu oblectatio, male compositâ molestia oritur.

19. Qui pelles subigunt, radunt, terunt, pectunt, lavant. Eadem est, quae circa pueros adhibetur cura. Qui nectunt, aut texunt, fila in orbem ducendo plicant, a principio in principium desinunt. Idem est circuitus in corpore, ut unde incipit, eodem desinat.

20. Qui aurum ad opus adhibent, tundunt, lavant, blando igne liquant, neque enim vehementi coit, quod ubi elaboraverunt, ad omnia illo utuntur. Triticum homo tundit, lavat, molit eoque igne subacto utitur, neque vehementi quidem igne in corpore conficitur, sed leni.

21. Statuarii corporis imitationem sectantur, animo excepto, neque enim mentem habentia fingunt, ex aqua et terra, dum quae sunt humida siccant et quae sicca sunt humectant, et quae superant demunt, et ad ea, quae deficiunt, adiiciunt ex minimo ad maximum incrementum perveniendo. Eadem homini etiam contingunt, ex minimo ad maximum incrementum deducitur, dum quae superant detrahit, et quae deficiunt apponit, sicca humectando et humida siccando.

22. Qui figlinam exercent, rotam versant, quae neque antrorsum, neque retrorsum procedit, utroque modo simul imitatio circuitus

[1] *τῆς συμφωνίας τέρψιν.* — [2] *σκυτοδέψαι.* — [3] *τῷ* om. — [4] *χωρεῖ.*

γους ἄνω καὶ κάτω, καὶ οὔτε τὰ ἄνω κάτω κρουόμενα ὀρθῶς ἔχει, οὔτε τὰ κάτω ἄνω (*ἄνω κάτω* cod. θ.) *καλῶς δὲ* (*δ'* E. H. θ.) *ἡρμοσμένης* (*διηρμοσμένης* pro *δὲ ἡρμ.* K.) *γλώττης* (*γλώσσης* E. H. K., Littr.) *τῆς συμφωνίης* (*τῇ συμφωνίῃ* cod. θ., Littr.) *τέρψις, ἀναρμόστου δὲ λύπη.* — Mihi haec pessime turbata et eo modo descripta sensu cassa videntur; quomodo restituere studuerim textus descriptus ostendit.

19. *νακοδέψαι — θεραπηΐη.*] *νακοδ.* cod. θ., Littr., *σκυτοδέψαι* vulg.; — *ταῦτα* cett.

πλοκέες — τελευτᾷ.] *τοῦτο* cett., *τωὐτό* de meo; — *ἐπὶ τούτω* H.

20. *χρυσίον — δέ.*] *ἐργαζόμενοι* Lind., *ἐργάζονται* vulg.; — *μαλθακῷ* Lind.; — *δ' οὐ* E. H. K., θ.; — *συνίσταται* cod. θ., Lind., Mack., Littr., *συνίστανται* vulg.; — *ἀπειργασμένοι* cod. θ.; — *χρῶνται* om. idem; — *μαλακῷ* E. F. I. θ.

21. *ἀνδριαντοποιοὶ — αὔξοντες.*] *τοῦ σωμ.* K.; — *δ' ἔχοντα* E. H. K.; — *δέχοντα* pro *δὲ ἔχοντα οὐ* cod. θ.; — *καὶ τὰ ξ. ὑγραίνοντες* Zuing. in marg., θ., Mack., Littr.; vulgo om.; — *καί* ante *προστιθ.* omm. pr. m. in H., θ.; — *πρὸς τὰ ἐλλείποντα προστιθέασι* cod. θ.; — *ἐς τὸ μήκιστον* idem.

ταὐτὰ — ξηραίνων.] *ταῦτα* cett.; — *ὁ ἄνθρ.* vulgo, *καὶ ἄνθρ.* Parr. 5., θ.; unde *καὶ ὤνθρ.* dedi; — *ἐκ τοῦ ἐλαχ.* H. K. θ.; — *καί* ante *τὰ ὑγρά* om. J.

22. *κεραμέες — ὀργάνοισι.*] *οὔτε πρόσω, οὔτε ὀπίσω προχωρέει* cod. θ., *οὔτε ὀπίσω οὔτε πρόσω χωρεῖ* (*χωρέει* E. H. K. Q.', Mack., *προχωρέει* Littr.) vulg.; — *καὶ ἀμ-*

ἐν δὲ τῷ αὐτῷ ἐργάζονται [1] περιφερομένῳ παντοδαπὰ, οὐδὲν ὁμοῖον τὸ ἕτερον τῷ ἑτέρῳ [2] ἐκ τῶν αὐτῶν τοῖσι αὐτοῖσι ὀργάνοισι. Ὥνθρωποι ταὐτὰ πάσχουσι καὶ τἄλλα ζῶα, ἐν τῇ αὐτῇ περιφορῇ πάντα ἐργάζονται, ἐκ τῶν αὐτῶν [3] ὁμοῖον οὐδὲν τοῖσι αὐτοῖσι ὀργάνοισι, ἐξ ὑγρῶν ξηρὰ ποιέοντες καὶ ἐκ τῶν ξηρῶν ὑγρά.

universi. In eadem autem in orbem mota conficiunt omnigena, nihil simile alteri ex iisdem, iisdemque instrumentis. Hominibus et reliquis animantibus eadem contingunt: in eodem circuitu omnia efficiunt ex iisdem, simile nihil iisdem instrumentis, dum ex humidis sicca faciunt et ex siccis humida.

κγ'. Γραμματικὴ τοιόνδε· σχημάτων ξυνθέσιες, σημήϊα φωνῆς ἀνθρωπίνης, δύναμις τὰ παροιχόμενα μνημονεῦσαι, τὰ ποιητέα δηλῶσαι· δι' ἑπτὰ σχημάτων ἡ γνῶσις· ταὐτὰ πάντα ἄνθρωπος διαπρήσσεται καὶ ὁ ἐπιστάμενος γράμματα καὶ ὁ μὴ ἐπιστάμενος. Δι' ἑπτὰ σχημάτων [4] καὶ ἡ αἴσθησις ἡ ἀνθρώπων, ἀκοὴ ψόφων, ὄψις φανερῶν, ῥὶν ὀδμῆς, γλῶσσα ἡδονῆς καὶ ἀηδίης, στόμα διαλέκτου, σῶμα ψαύσιος θερμοῦ ἢ [5] ψυχροῦ, πνεύματος διέξοδοι ἔσω καὶ ἔξω· διὰ τούτων γνῶσις ἀνθρώποισι.

23. In grammatica tale quid inest: figurarum compositiones, quae sunt humanae vocis notae, facultas quae praeterierunt in memoriam revocandi et quae facienda sunt demonstrandi. Per septem figuras cognitio habetur. Eadem omnia homo tum literarum gnarus, tum earum rudis conficit. Per septem figuras sensus homini contingit: auditione soni percipiuntur, visione manifesta cernuntur, nasus odores, lingua suavia et insuavia discernit, os sermonem format, corpore calidi et frigidi tactus percipitur. Spiritus intro et foras permeat. Ac per haec hominibus cognitio contingit.

κδ'. Ἀγωνίη, [6] παιδοτριβίη τοιόνδε· διδάσκουσι παρανομέειν κατὰ νόμον, ἀδικέειν δικαίως, ἐξαπατέειν, κλέπτειν, ἁρπάζειν, βιάζεσθαι τὰ κάλλιστα καὶ αἴσχιστα· ὁ μὴ ταῦτα ποιέων, κακὸς, ὁ δὲ ταῦτα ποιέων, ἀγαθός· ἐπίδειξις τῆς τῶν πολλῶν ἀφροσύνης, θεῶνται ταῦτα καὶ κρίνουσι [7] ἕνα ἐξ ἁπάντων ἀγαθὸν, τοὺς δὲ ἄλλους κακούς· πολλοὶ θαυμάζουσι, ὀλίγοι γιγνώσκουσι. Ἐς ἀγορὴν ἐλθόντες ὥνθρωποι ταὐτὰ διαπρήσσονται· ἐξαπατῶσι πωλέοντες καὶ ὠνεόμενοι· ὁ πλεῖστα ἐξαπατήσας, οὗτος θαυμάζεται.

24. Ars palaestrica et eorum, qui puerorum curam habent, tale quid est. Docent ex instituto leges violare, iure iniuriam inferre, decipere, furari, rapere, vim pulcherrimis ac turpissimis inferre. Quae qui non facit, malus est, qui vero facit, bonus, quod vulgi imprudentiam arguit; haec spectant et unum prae omnibus probant, reliquos vero vituperant. Multi admirantur, pauci cognitionem habent. Eadem homines in foro perpetrant, dum vendendo et emendo decipiunt. Qui plurimum decepit, eum admirantur. Qui ex potu insaniunt eadem peragunt:

[1] εἴδη περιφερ. — [2] ἐκ τοῦ αὐτοῦ ἄνθρωποι ταῦτα πάσχουσι. — [3] οὐδὲν ὅμοιον. — [4] καί om. — [5] ξηροῦ. — [6] παιδοτρίβαι τοῖον διδασκ. — [7] ἕν.

φοτέρωσε vulg., ἀμφοτέρως cod. θ. sine καί; — ὅλου ἀπόμιμα τῆς περιφορῆς cod. θ.. ὅλου μιμητὴς περιφερής vulg.; — μιμητής in codicis θ. lectionem introduxit Littr.; equidem μίμημα s. ἀπομίμημα in ea lego; — post ἐργάζονται vulgo εἴδη, Ald. ἤδη. sed voculam plane omittunt pr. m. in H., θ., Littr; — περιφερομένῳ cod. θ., περιφερομένων vulg.; — τοῖσι δὲ αὐτοῖσι ὀργάνοισι ex solo θ. Littréus, vulgo om.

ὥνθρωποι — ὑγρά.] ἄνθρωποι ταῦτα ceteri; — οὐδὲν ὅμοιον E. H. I. J., θ.

23. γραμματικὴ — ἐπιστάμενος.] τοιῶνδε E. K.; — συνθέσεις cod. θ., σύνθεσις vulg.; — ἀνθρωπίνης φωνῆς idem; — „septem vel quinque litteris nota.” Cod. Lat. Littréi; — ταῦτα ceteri.

δι' ἑπτὰ — ἀνθρώποισι.] καί omm. G. I.; — αἱ αἰσθήσεις ἀνθρώπων cod. θ., ἀνθρωπείη E. Q.'; — ψόφους cod. θ.; — φανερῶς idem; — ῥῖνες idem; — θερμοῦ ἢ ξηροῦ I. J.; — ἔξω καὶ εἴσω E. H., θ.; — ἀνθρώποισι γνῶσις cod. θ.

24. ἀγωνίη — γιγνώσκουσι.] ἀγνωσίη παιδοτριβίη cod. θ., παιδοτρίβαι vulg., sed cod. Lat. item exprimit παιδοτριβίη, quare Littr. hoc in vulgatam introduxit; — τοιόνδε E. θ., Littr. τοιόν vulg.; — τὰ αἴσχιστα καὶ κάλλιστα cod. θ.; — τῆς τῶν E. et sec. m. in H., τῆς omm. cett.; — ἕν Parr. 6., θ., pro ἕνα; — κακῶς cod. θ.; — θωμάζουσι cod. θ., θωυμάζουσι Lind.; — ὀλίγοι δέ Lind., Mack.

ἐς — θαυμάζεται.] ἄνθρωποι ceteri; — ταὐτά Littr., ταῦτα cett., — ἐξ ἁπάντων εἶν ἄνθρωποι cod. θ., pro ἐξαπατῶσι; eodem autem loco ἄνθρωποι ferunt E. H.; — ὠνεύμενοι cod. θ.; — θωμάζεται idem.

Πίνοντες καὶ μαινόμενοι ταὐτὰ διαπρήσσονται. Τρέχουσι, παλαίουσι, μάχονται, κλέπτουσι, ἐξαπατῶσι, εἷς ἐκ πάντων κρίνεται. Ὑποκριταὶ καὶ ἐξαπατηταὶ πρὸς ἰδιώτας λέγουσι [1] ἄλλα καὶ Φρονέουσι ἕτερα, οἱ αὐτοὶ ἐξέρπουσι καὶ ἐσέρπουσι οὐχ οἱ αὐτοί· ἔνι ἀνθρώπῳ ἄλλα μὲν [2] λέγειν, ἄλλα δὲ ποιέειν, καὶ τὸν αὐτὸν μὴ εἶναι τὸν αὐτὸν, καὶ ὁτὲ μὲν ἄλλην ἔχειν γνώμην, ὁτὲ δὲ ἄλλην. Οὕτω μὲν αἱ τέχναι πᾶσαι τῇ ἀνθρωπίνῃ Φύσι ἐπικοινωνέουσι.

κε'. Ἡ δὲ ψυχὴ, ὥσπερ μοι καὶ προείρηται, ξύγκρησιν ἔχουσα πυρὸς καὶ ὕδατος, ἐσέρπει ἐς πᾶν ζῷον, ὅ τι περ ἀναπνέει, καὶ δὴ καὶ ἐς ἄνθρωπον πάντα καὶ νεώτερον καὶ πρεσβύτερον. Αὔξεται δὲ οὐκ ἐν πᾶσι ὁμοίως, ἀλλ' ἐν μὲν τοῖσι νέοισι τῶν σωμάτων, ἅτε ταχείης ἐούσης τῆς περιΦορῆς καὶ τοῦ σώματος ὄντος αὐξίμου, ἐκπυρουμένη καὶ λεπτυνομένη καταναλίσκεται ἐς τὴν αὔξησιν τοῦ σώματος· ἐν δὲ τοῖσι πρεσβυτέροισι, ἅτε βραδέης ἐούσης τῆς κινήσιος καὶ δὴ ψυχροῦ τοῦ σώματος, καταναλίσκεται ἐς τὴν μείωσιν τοῦ ἀνθρώπου. Ὁκόσα δὲ τῶν σωμάτων ἀκμάζοντά ἐστι καὶ ἐν τῇσι ἡλικίῃσι [3] τῇσι γονίμῃσι, δύναται τρέΦειν καὶ αὔξειν· [4] δυνάσται δὲ ἄνθρωποι· ὅστις δύναται πλείστους ἀνθρώπους τρέΦειν, οὗτος ἰσχυρός· ἀπολειπόντων δὲ τῶν παρ' αὐτοῦ τρεΦομένων, οὗτος ἀσθενέστερος. Τοιοῦτον καὶ ἕκαστα τῶν σωμάτων· ὁκοῖα [5] πλεῖστα δύναται τρέΦειν, ταῦτα

currunt, luctantur, pugnant, furantur, decipiunt, unus omnibus praefertur. Histriones et deceptores vulgo coram alia dicunt, alia sentiunt. Iidem irrepunt et exeunt minime iidem. Homini enim datum est alia quidem dicere, alia facere, eundemque non esse eundem, et interdum quidem aliam habere mentem, interdum vero aliam. Ad hunc sane modum artes omnes cum natura humana communionem habent.

25. At vero animus, velut a me etiam antea dictum est, ignis et aquae temperationem sortitus, in omne animal, quod respirationem habet, irrepit et in quemvis sane hominem, tum iuniorem, tum seniorem. In omnibus autem non similiter increscit; verum in iuvenilibus quidem corporibus, quod tum nimirum velox sit circuitus et corpus ad incrementum aptum, ab igne tactus et tenuis redditus consumitur in corporis incrementum. At in senioribus cum tarda sit motio corpusque frigidum, in hominis imminutionem consumitur. Quae vero corpora aetate sunt florente et foecunda, ea nutrire et augere possunt. Potestate autem homines valent et ut quisque plurimos homines alere potest, ita viribus valet: iis vero, quos alit, deficientibus, imbecillior est. Eodem etiam fere modo circa singula corpora se habet; quae plurima alere possunt, ea sunt robustiora, his vero discedentibus imbecilliora.

[1] ἄλληλα. — [2] λέγει. — [3] τῇσι om. — [4] δύναται. — [5] πλεῖττα.

ὑποκριταὶ — ἄλλην.] ὑποκριτικὴ ἐξαπατᾶ εἰδότας ἃ λέγουσι ἀλλὰ καὶ Φρονέουσι· οἱ αὐτοὶ ἐσέρπουσι καὶ ἐξέρπουσι καὶ οὐχ οἱ αὐτοί cod. θ.; — ἐξαπάται vulgo, unde forma ἐξαπάτης in Lexicis legitur, ἐξαπᾶται G. Ald.; equidem puto syllabam in media voce periisse et ἐξαπατηταί lego; — tum de meo ἰδιώτας dedi pro vulgato εἰδότας, quod ineptum eo rerum nexu, si respicias τοὺς ἀπατητάς; — ἐνὶ δὲ ἀνθρ. vulgo, ἔνι Zuing., Lind., quos sequendos existimo ita, ut simul γάρ pro δέ inferam; — ἄλλα δὲ ἀκούειν cod. θ.; — καὶ τότε μὲν ἄλλην τότε δὲ ἄλλην μὴ ἔχειν γνώμην cod. θ.; — equidem de meo ὁτὲ μέν pro ποτὲ μέν scripsi.

25. ἡ δὲ ψυχὴ — πρεσβύτερον.] εἴρηται pr. m. in H., θ.; — πᾶν cod. θ., ἅπαν vulg.; — καὶ δὴ ἐς cod. θ.; — καὶ πρεσβ. καὶ νεωτ. J. — Verum omnes ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου et omnes post ὕδατος ferunt μέρεϊ (μέρη H. I. J., K. Zuing., Mack., μέρεα cod θ., Littr.) δὲ ἀνθρώπου. Iam vero vide quam plane nullus sensus idoneus insit loco universo, nisi repudies, quae resecui.

αὔξεται — ἀνθρώπου.] ὄντος om. pr. m. in H., θ.; — ἐκπτερούμενα (ἐκπυρούμενα sec. m. in H., ἐκπεπταμένα Zuing. in marg.) καὶ λεπτυνόμενα vulg.; cum Littréo sequor θ.; — καὶ δὴ ψυχροῦ vulg., δή om. θ.; — καταναλίσκεσθαι idem.

ὁκόσα — ἀσθενέστερος.] ἐν om. θ.; — αὔξειν· δυνάστης δὲ ἄνθρωποι cod. θ.; — οὗτος om. θ.; — τῶν παρ' αὐτοῦ τρεΦομένων οὗτος omm. pr. m. in H., θ.

τοιοῦτον — ἀσθενέστερα.] τοιούτων I.; — οκοι pro καί cod. θ.; — σωμάτων πλεῖστα, sed illud πλεῖστα sive omnia mss. ferant, sive θ. non ferat, abiiciendum est; — ὁκοῖα πλείστας cod. θ., Zuing., Mack., Littr., πλεῖστα vulg.; — sed illi πλείστας δύναται ψυχάς iungunt; mihi contra vulgatum πλεῖστα retinendum et cum cod θ. ψυχάς omittendum videtur; — ἰσχυρότατα cod θ., ἰσχυρότερον pr. m. in H.

ἰσχυρότερα, ἀπελθόντων δὲ τούτων ἀσθενέστερα.

κϛʹ. Ὅτι μὲν οὖν [1] ἂν ἄλλοσε ἐσέλθῃ, οὐκ αὔξεται· ὅ τι δ' ἂν ἐς τὴν γυναῖκα, αὔξεται, [2] ἢν τύχῃ τῶν προσηκόντων. Διακρίνεται δὲ τὰ μέλεα ἅμα πάντα καὶ αὔξεται, καὶ οὔτε πρότερον οὐδὲν ἕτερον ἑτέρου, οὔθ' ὕστερον· τὰ δὲ μέζω φύσι πρότερα φαίνεται τῶν ἐλασσόνων, οὐδὲν πρότερον γιγνόμενα. Οὐκ ἐν ἴσῳ δὲ χρόνῳ πάντα διακοσμέεται, ἀλλὰ τὰ μὲν θᾶσσον, τὰ δὲ βραδύτερον, ὅκως ἂν καὶ τοῦ πυρὸς [3] ἕκαστα τύχῃ καὶ τῆς τροφῆς· τὰ μὲν οὖν ἐν [4] τεσσαράκοντα ἡμέρῃσι ἴσχει πάντα φανερὰ, τὰ δ' ἐν δύο μησὶ, τὰ δ' ἐν τρισὶ, τὰ δ' ἐν τετραμήνῳ. [5] Ὡσαύτως καὶ γόνιμα τὰ μὲν θᾶσσον ἑπτάμηνα τελέως, τὰ δὲ βραδύτερον ἐννέα μησὶ τελέως ἐς φάος ἀναδείκνυται ἔχοντα τὴν ξύγκρησιν, ἥνπερ καὶ διὰ παντὸς ἕξει.

26. Quodcumque igitur in aliud quidem corpus ingressum fuerit, non increscit; quod vero in feminam increscit, si quae conveniunt nactum fuerit. Membra autem simul omnia discernuntur et augentur, neque alterum altero prius, neque posterius. Quae tamen natura maiora sunt, minoribus prius conspiciuntur, cum nihilo prius exsistant. Neque vero aequali temporis spatio omnia certo ordine describuntur, verum alia citius, alia tardius, prout quaeque ignem et alimentum sortita fuerint. Quidam igitur foetus quadraginta diebus conformata habent omnia, quidam duobus mensibus, quidam quatuor. Eodem etiam modo vitales alii citius perfecti septem mensibus, alii tardius, novem mensibus perfecti in lucem eduntur, ea coagmentatione, quam semper habituri sunt.

κζʹ. Ἄρσενα μὲν οὖν καὶ θήλεα [6] τῷδε τῷ τρόπῳ γίγνοιντ' ἂν ὡς ἀνυστόν· τὰ μὲν θήλεα πρὸς ὕδατος μᾶλλον ἀπὸ τῶν ψυχρῶν καὶ ὑγρῶν καὶ μαλθακῶν αὔξεται καὶ σίτων καὶ ποτῶν καὶ ἐπιτηδευμάτων· τὰ δὲ ἄρσενα πρὸς πυρὸς μᾶλλον, ἀπὸ τῶν ξηρῶν καὶ θερμῶν σίτων τε καὶ διαίτης. [7] Εἰ μὲν οὖν θῆλυ τεκεῖν βούλοιτο, τῇ πρὸς ὕδατος [8] διαίτῃ χρηστέον· εἰ δὲ ἄρσενα, τῇ πρὸς πυρὸς ἐπιτηδεύσι διακτέον· καὶ οὐ μόνον [9] τὸν ἄνδρα δεῖ τοῦτο διαπρήσσεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. Οὐ γὰρ τὸ ἀπὸ τοῦ ἀνδρὸς μοῦνον αὔξιμόν

27. Mares igitur et foeminae hoc modo, quoad eius fieri potest, nascuntur. Feminae quidem ab aqua magis et ex frigidis, humidis ac mollibus tum cibis, tum potibus et vitae instituto incrementum accipiunt. At mares ab igne magis, ex siccis scilicet et calidis cibis vitaeque ratione. Si igitur feminam procreare est animus, victus ratione ad aquam tende te est utendum, sin marem, victus ratio, quae ad ignem spectat, instituenda est. Ac neque solum hoc viro, sed etiam mulieri peragendum. Neque enim solum quod a viro excernitur ad in-

[1] οὖν ἄλλοσε ἐσέλθῃ. — [2] ἢ τύχῃ. — [3] τύχῃ ἕκαστα. — [4] τεσσαράκοντα καὶ τρισὶ ἡμέρῃσι ἴσχει τάδε. — [5] ὡς δαύτως. — [6] ἐν τῷδε. — [7] ἤν. [8] διαιτήσει. — [9] δὲ τὸν ἄ.

26. ὅ τι — προσηκόντων.] μὲν οὖν (καί interponit Ald.) ἄλλοσε (ἄλλος E. G., H. al. m. ἄλλοσε, Ald., ἄλλας al. m. J.) vulg.; — μὲν ἂν (οὖν pro ἄν Lind., Mack) ἐς ἄλλο cod. θ., Lind., Mack., Littr.; — δ' ἐς E. H., δὲ ἐς vulg., δ' ἂν ἐς cod. θ.

διακρίνεται — γιγνόμενα.] καὶ διακρ. sine δέ cod. θ.; — πάντα ἅμα idem; — καὶ πρότερον οὐδὲ ἓν ἕτερον ἑτέρου οὐδ' ὕστερον cod. θ.; — τοῦ προτέρου pro οὔτε προτέρου F. G. J.; — οὐδ' al. m. οὐθ' H.; — πρότερον pr. m. in H., πρότερα vulg.

οὐκ — τετραμήνῳ.] ὅκως ἢν edd. antt., E. H. K., Zuing., Lind.; — sequens καί omm. pr. m. in E. et H. K.; — τύχῃ ἕκαστα Parr. 4., θ.; — καί ante τῆς τροφῆς om. E.; — τὰ μὲν οὖν ἐν τεσσαράκοντα καὶ τρισὶν ἡμέρῃσιν ἴσχει (ἐν τεσσαράκοντα ἴσχει τρισί, al. m. τεσσαράκοντα καὶ τρισὶ ἴσχει H.; ἐν τεσσαράκοντα καὶ τρισὶν ἴσχει E. K.) τὰ δ' ἐν τετραμήνῳ vulg.; cum Littréo sequor θ.

ὡσαύτως — ἕξει.] ὡς δ' αὔτως Parr. 4., θ.; — post γόνιμα vulgo γίνεται, quod abundat et reieci; — τελέως cod. θ., τελείως vulg.; — εἰς φῶς cod. θ.; — σύγκρησιν Parr. 4., Mack., σύγκρασιν cod. θ., σύγκρισιν vulg.; — ἔχει cod. θ.

27. ἄρσενα — διαίτης.] ἄρρ. vulg., ἄρσ. cod. θ.; — τὰ δὲ θηλ. cett.; — μαλακῶν Parr. 6. — Post ἀπὸ τῶν ξηρ. vulgo δηλαδή; omm. θ. et pr. m. in H.; — καὶ σίτων sine τε cod. θ.; — λοιπῆς (πολλῆς E.) διαίτης vulgo, λοιπῆς om. θ.

εἰ μὲν οὖν — γυναῖκα.] εἰ E. H. θ., Littr., ἢν vulg.; — μὲν οὖν Parr. 5., θ., vulg. μέν om.; — διαιτήσει vulg., διαίτῃ J. θ.; — rursus εἰ Parr. 5., θ., Littr., ἢν vulg.; — δ' ἄρσενα E.; — διακτέον E. J. I. P.′ Q.′, θ., Littr., διαιτητέον vulg.; — καί, quod sequitur, om. pr. m. in H.; — μόνον δέ vulg., δέ omm. θ., Littr.; — τοῦτο δεῖ cod. θ.

οὐ γὰρ — ὡσαύτως.] οὐ γὰρ ἀπὸ τοῦ ἀνδρὸς μόνον ἀπο-

ἐστι ἀποκριθὲν, ἀλλὰ καὶ τὸ ἀπὸ τῆς γυναικὸς, διὰ τόδε· ἑκάτερον μὲν μέρος οὐκ ἔχει ἱκανὴν τὴν κίνησιν τῷ πλήθεϊ τοῦ ὑγροῦ, ὥστε καταναλίσκειν τὸ ἐπιρρέον καὶ ξυνιστάναι δι' ἀσθένειαν τοῦ πυρός· ὁκόταν δὲ κατὰ [1]τωὐτὸ ἀμφότερα ξυνεμπεσόντα τύχῃ, περιπίπτει πρὸς ἄλληλα, τὸ πῦρ τε πρὸς τὸ πῦρ καὶ τὸ ὕδωρ ὡσαύτως. Εἰ μὲν οὖν ἐν ξηρῇ τῇ χώρῃ τὸ πῦρ κινέεται, κρατέει τοῦ ξυνεμπεσόντος ὕδατος καὶ ἀπὸ τούτου αὔξεται τὸ πῦρ, ὥστε μὴ κατασβέννυσθαι ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος, ἀλλὰ τό τε ἐπιὸν δέχεσθαι καὶ ξυνιστάναι [2]πρὸς τὸ ὕπαρχον· ἢν δὲ ἐς τὸ ὑγρὸν πέσῃ, εὐθέως ἀπ' ἀρχῆς κατασβέννυταί τε ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος καὶ διαλύεται ἐς τὴν μείω τάξιν. Ἐν μιῇ δὲ ἡμέρῃ τοῦ μηνὸς ἑκάστου δύναται ξυστῆναι καὶ κρατῆσαι τῶν ἐπιόντων· καὶ ταῦτα, ἢν τύχῃ [3]ξυνεμπεσόντα παρ' ἀμφοτέρων κατὰ τόπον.

κη'. [4]Ξυνίστασθαι δὲ δύναται καὶ τὸ θῆλυ καὶ τὸ ἄρσεν πρὸς ἄλληλα, διότι καὶ ἐν ἀμφοτέροις ἀμφότερα τρέφεται, καὶ διότι ἡ μὲν ψυχὴ τωὐτὸ πᾶσι τοῖσι ἐμψύχοισι, τὸ δὲ σῶμα διαφέρει ἑκάστου. Ψυχὴ μὲν οὖν αἰεὶ ὁμοίη καὶ ἐν μέζονι καὶ ἐν ἐλάσσονι· οὐ γὰρ ἀλλοιοῦται, οὔτε [5]κατὰ φύσιν, οὔτε δι' ἀνάγκην· σῶμα δὲ οὐδέποτε τωὐτὸ οὐδενὸς, οὔτε κατὰ φύσιν, οὔτε δι' ἀνάγκην, τὸ μὲν γὰρ διακρίνεται ἐς πάντα, τὸ δὲ ξυμμίσγεται πρὸς ἅπαντα. Ἢν μὲν οὖν ἄρσενα

crementum aptum est, sed etiam quod a muliere, istam sane ob causam. Neutrum quidem per se propter ignis imbecillitatem sufficientem habet motionem, ut affluentem humoris copiam absumat et concrescere faciat. Cum vero in unum ambo convenerint, in sese mutuo incidunt, ignis in ignem et aqua eodem modo. Si quidem igitur in sicco loco ignis moveatur, simul illapsam aquam superat, ab eaque ignis incrementum accipit, ut non ab illabente unda exstinguatur, sed et id quod irruit excipiat et cum eo quod exsistit concrescere faciat. Sin in humidum inciderit, statim ab initio ab illabente unda exstinguitur et in minorem ordinem dissolvitur. Uno vero cuiusque mensis die consistere et ea, quae irruunt, superare valet, idque si contigerit, ut quae ab utrisque immittuntur in eundem locum simul conveniant.

28. Consistere autem iuxta se invicem possunt et foemina et mas, quia uterque in utroque loco nutritur et quia animus idem est in omnibus animantibus, corpus vero cuiusque differt. Animus igitur quidem semper similis tum in maiore, tum in minore; neque enim mutatur, neque secundum naturam suam, neque propter necessitatem; corpus autem nullius semper idem, neque secundum naturam, neque propter necessitatem; partim enim ad omnia secernitur, partim cum omnibus commiscetur.

[1] τοῦτο. — [2] πρός om. — [3] ξυμπεσόντα. — [4] ξυνίσταται δὲ δυνατόν. — [5] κατά.

κριθὲν αὔξιμόν ἐστιν, ἀλλὰ καὶ ἀπὸ τῆς γυναικὸς διὰ τόδε cod. θ.; — τὸ μέρος vulg., τό omm. E. H. K.; — ξυνίσταται vulg., ξυνίστασθαι Zuing. in marg., ξυνίσταται vulg., συνεστᾶναι cod. θ.; — τοῦτο vulg., τωὐτό cod. θ., Mack., Littr.; — συνεκπεσόντα cod. θ.; — συμπίπτει pro περιπίπτει cod. θ., Mack.

εἰ — τάξιν.] εἰ cod. θ., Littr., ἢν vulg.; — νῦν pro οὖν E. I. J. K.; — περικινέεται ceteri, unde τὸ πῦρ κινέεται dedi de meo, cf. lectionem Lindani paulo post obviam; — πέσῃ κεινέεται εἰ καὶ κρατέει τοῦ συνεκπεσόντος ὕδατος cod. θ.; — τὸ πῦρ κρατέει Lind.; — ἀπὸ τοῦ H. Q.'; — ἐπιπίπτοντος cod. θ.; — ἄλλο τε ἄλλο τό τε Ald., Parr. 4.; — συνεστᾶναι E. H., συνιστᾶναι cod. θ., συνεστάναι K.; — πρὸς τὸν ὕπαρχον cod. θ., πρὸς τὸ ὑπ. Littr., πρὸς τό om. vulg.; cf. repetitionem infra obviam in varr. lectt.; — ἀπὸ ἀρχῆς E.; — τε omm. E. H. J.; — ὑπὸ τοῦ ἐμπ. κλυδ. omm. J. K., θ.; — post κλυδ. ferunt ἄλλο τ' ἐπιὸν δέχεσθαι καὶ συνιστάναι πρὸς τὸ ὕπαρχον· ἢν δ' ἐς ὑγρὸν πέσῃ εὐθέως ἀπ' ἀρχῆς κατασβέννυταί τε E. I.; — μείζω pro μείω E.

ἐν — τόπον.] καὶ ταῦτα ἢν cod. θ.; — καὶ ταῦτ' ἢν vulg.; — συνεκπεσόντα idem; — τρόπον idem.

28. ξυνίστασθαι — ἑκάστου.] διότι πρός H. I. J.; — διότι καὶ ἐν ἀμφοτέροις ἀμφότερα τρέφεται καί infert Littr. ex cod. θ. post ἄλληλα; equidem item recipio ista, quae vulgo absunt.

ψυχὴ — ἅπαντα.] ἐν ante ἐλάσσονι sec. m. in H. et cod. θ., Mack., Littr., vulgo om.; — διὰ φύσιν vulg., κατὰ φύσιν mss. 5. apud Littr., cf. Lectt. V.; — ὑπ' ἀνάγκης mss. 5.; altero vero loco vulgo ὑπ' ἀνάγκης, sed δι' ἀνάγκην codd. 3.; οὔτε ὑπ' οὐδένος pro vulgato οὔθ' ὑπ' ἀνάγκης cod. θ.; — τὸ (τῷ Zuing. in marg., Lind., Mack.) μὲν διακρίνεσθαι ἐς πάντα τὸ (τῷ Zuing., Lind., Mack.) δὲ ξυμμίσγεσθαι πρὸς ἅπαντα vulgata; cum Littréo sequor cod. θ.

ἢν μὲν οὖν — ἔπειτα.] vulgo ἢν μὲν οὖν (ἐς interponunt

τὰ ἀποκριθέντα ἀπ' ἀμφοτέρων τύχῃ, αὔξεται κατὰ τὸ ὕπαρχον καὶ γίγνονται οὗτοι ἄνδρες λαμπροὶ τὰς ψυχὰς καὶ τὸ σῶμα ἰσχυροὶ, ἢν μὴ [1] ὑπὸ τῆς διαίτης βλαβῶσι τῆς ἔπειτα. Ἢν δὲ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς ἄρσεν ἀποκριθῇ, τὸ δὲ ἀπὸ τῆς γυναικὸς θῆλυ, καὶ ἐπικρατήσῃ τὸ ἄρσεν, [2] ἡ μὲν ψυχὴ προσμίσγεται πρὸς τὴν ἰσχυροτέρην ἡ [3] ἀσθενεστέρη, οὐ γὰρ ἔχει [4] πρὸς ὅ τι ὁμοτροπώτερον ἀποχωρήσει τῶν παρεόντων· προσδέχεται γὰρ ἡ μικρὴ τὴν μέζω καὶ ἡ μέζων τὴν ἐλάσσονα· κοινῇ δὲ τῶν ὑπαρχόντων κρατέουσι· [5] τὸ δὲ σῶμα τὸ μὲν ἄρσεν αὔξεται, τὸ δὲ θῆλυ μειοῦται καὶ διακρίνεται ἐς ἄλλην μοῖραν. Καὶ οὗτοι ἧσσον μὲν [6] τῶν πρότερον λαμπροὶ, ὅμως δὲ, διότι ἀπὸ τοῦ ἀνδρὸς τὸ ἄρσεν ἐκράτησε, ἀνδρεῖοι γίγνονται καὶ τοὔνομα τοῦτο δικαίως ἔχουσι. Ἢν δὲ ἀπὸ μὲν τῆς γυναικὸς ἄρσεν ἀποκριθῇ, ἀπὸ δὲ τοῦ ἀνδρὸς θῆλυ, κρατήσῃ δὲ τὸ ἄρσεν, αὔξεται τὸν αὐτὸν τρόπον τῷ προτέρῳ· τὸ δὲ μειοῦται· γίγνονται δὲ οὗτοι ἀνδρόγυνοι καὶ καλέονται τοῦτο ὀρθῶς. Τρεῖς μὲν οὖν αὗται γενέσιες τῶν [7] ἀνδρῶν, διάφοροι δὲ πρὸς τὸ μᾶλλον καὶ ἧσσον τοιοῦτοι εἶναι διὰ τὴν ξύγκρησιν τοῦ ὕδατος τῶν μητρέων καὶ τροφὰς καὶ παιδεύσιας καὶ ξυνηθείας. Δηλώσω δὲ προϊόντι τῷ λόγῳ καὶ περὶ τούτων.

κθ'. Τὸ δὲ θῆλυ γίγνεται κατὰ τὸν αὐτὸν τρόπον· ἢν μὲν ἀπ' ἀμφοτέρων θῆλυ ἀποκριθῇ, θηλυκώτατα καὶ εὐφυέστατα γίγνεται· ἢν δὲ τὸ μὲν ἀπὸ τῆς γυναικὸς θῆλυ,

Si quidem igitur accidat ut mascula sint utriusque secreta, increscunt secundum id, quod exsistit et hi fiunt viri animo clari et corpore validi, nisi a subsequente victus ratione vitium contrahant. Quodsi a viro quidem masculum semen secernatur, a muliere vero femineum, et masculum superaverit, animus quidem debilior commiscetur cum robustiore, neque enim ex iis quae adsunt congruum quid est magis ad quod secedat, recepit enim parvus maiorem et maior minorem, coniunctim vero quae adsunt superant; corpus autem masculum quidem increscit, femineum vero minuitur et ad aliam sortem seponitur. Atque hi quidem prioribus minus clari sunt, sed quoniam masculum a viro excretum dominatum obtinuit, viriles procreantur et hoc nomen merito retinent. At si a muliere quidem masculum secretum fuerit, a viro femineum, masculumque dominatum obtineat, eodem modo quo prius incrementum accipit, alterum vero minuitur. Androgyni, i. e. semiviri, hi procreantur eoque nomine recte nuncupantur. Atque hae tres sunt virorum generationes, diversi autem maiore vel minore modo tales sunt propter commistionem aquae ex utero et propter alimenta et educationem et consuetudines; de quibus etiam procedente oratione est agendum.

29. Femina vero eodem modo procreatur: si quidem ab utrisque femineum secretum fuerit, maxime ad mollitiem a natura comparatae nascuntur. Quodsi mulieris quidem semen femi-

[1] *ἀπὸ διαίτης βλαφθῶσι.* — [2] *ἢν μὲν τύχῃ προσμ.* — [3] *ἀσθενεστέρην.* — [4] *πρός τι ὁμοτροφώτερον ἀποχωρῇ.* — [5] *τῷ.* — [6] *τοῦ προτέρου.* — [7] *ἀνθρώπων.*

θ. Littr.) *τὰ σώματα ἀποκριθέντα ἀμφοτέρων* (*ἀμφοτέρων* om. θ.) *τύχῃ*; in qua lectione *σώματα* ineptissima est interpolatio, quam delere oportet; in θ. illud *ἐς* tentamen correctionis est parum aptum; *ἀπ'* ante *ἀμφοτέρων* de meo adieci, collatis similibus formulis e § 30. infra. — In seqq. *καὶ τὰ σώματα ἰσχυροί* cod. θ.; — *ἀπό* vulg., *ὑπό* cod. θ.. Littr.; — *τῆς* ante *διαίτης* ex E. H. θ., Littr.; — *βλαφθῶσι* mss. 5., Lind., Mack.

ἢν δὲ — μοῖραν.] *ἡ μὲν ψυχή* cod. θ., Mack., Littr., *ἢν μὲν τύχῃ* vulg.; — *ἡ ἀσθενεστέρη* cod. θ., Littr., *ἢ ἀσθενεστέρην* vulg.; — *πρὸς ὅ τι* cod. θ., Littr., *πρός τι* vulg.; — *ὁμοτροπώτερον* cod. θ., Littr., *ὁμοτροφώτερον* vulg.; — *ἀποχωρήσῃ* cod. θ., *ἀποχωρήσειν* E. H.; — *προσδέεται* J.; *προσέρχεται γὰρ καὶ ἡ μικρὴ πρὸς τὴν μέζω καὶ ἡ μέζων πρὸς τὴν ἐλάσσονα* cod. θ.; — *τὸ δὴ σῶμα* K.'

καὶ — ἔχουσι.] *ἧσσον μέν* Parr. 4., θ., Littr. *μὲν ἧσσον* vulg.; — *προτέρων* cod. θ., Littr., *πρότερον* vulg.; — *τὸ ὄνομα* K. θ., *τὸ οὔνομα* H.

ἢν δὲ — ὀρθῶς.] *κρατήσει* H. K.; — *ἀνδρόγυναι* Ald., codd. 6.

τρεῖς — ξυνηθείας.] *οὖν* om. θ.; — *ἀνδρῶν* cod. θ., Mack., Littr., *ἀνθρώπων* vulg.; — *τὸ τοιοῦτον* vulg, *τοιοῦτοι* cod. θ.; — *μητρέων* pro vulgato *μερέων* est lectio apud Zuing., quam coniecturam esse opinor, sed quam recipere oportet.

29. *τὸ δὲ θῆλυ — ὀνομάζονται.*] *ἀπὸ ἀμφοτ.* cod. θ.; — *γίνεται* cod. θ., Littr., *γίνονται* vulg.; — *δότε* (i. e. *δ' ὅτε*) pro *δὲ τό* cod. θ.; — *κρατήσει* E. H. K.; — *αὔξ. τὸν αὐτὸν τρ. καί* omm. Ald., G.. pr. m. in H., J. θ.; — *καί* om. I.; — *αὗται* recte θ.. *αὐταί* cett.; — *ἢν δ ἢν τὸ μέν* vulgo, *ἢν δ' αὖ* (*ἢ* vel *αὖ* Zuing. in marg.) *τὸ μέν* Parr. 4.

τὸ δὲ ἀπὸ τοῦ ἀνδρὸς ἄρσεν, [1]κρατήσῃ δὲ τὸ θῆλυ, αὔξεται τὸν αὐτὸν τρόπον, καὶ θρασύτεραι μὲν τῶν πρόσθεν, ὅμως δὲ κόσμιαι καὶ αὗται· ἢν [2]δὲ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς θῆλυ, τὸ δ' ἀπὸ τῆς γυναικὸς ἄρσεν, κρατήσῃ δὲ τὸ θῆλυ, αὔξεται τὸν αὐτὸν τρόπον, καὶ γίγνονται τολμηρότεραι τῶν προτέρων καὶ ἀνδρεῖαι ὀνομάζονται. Εἰ δέ τις [3]ἀπιστοίη ψυχὴν μὴ προσμίσγεσθαι ψυχῇ, [4]ἀφορῶν ἐς ἄνθρακας μὴ κεκαυμένους πρὸς κεκαυμένους [5]προσβάλλων, ἰσχυροὺς πρὸς ἀσθενέας, τροφὴν αὐτοῖσι διδοὺς, ὁμοῖον τὸ σῶμα πάντες παρασχήσονται καὶ οὐ διάδηλος ἕτερος τοῦ ἑτέρου, ἀλλ' ἐν ὁκοίῳ σώματι ζωπυρέονται, [6]τοιοῦτον δὴ τὸ πᾶν ἔσται· ὁκόταν δ' ἀναλώσωσι τὴν ὑπάρχουσαν τροφὴν, διακρίνονται ἐς τὸ ἄδηλον· τωὐτὸ καὶ ἀνθρωπίνη ψυχὴ πάσχει.

neum, viri vero masculum fuerit, imperium autem obtinuerit foemineum, eodem modo increscit, et prioribus audaciores quidem sunt, venustae tamen et hae. At si viri semen femineum fuerit, mulieris vero masculum, praevalueritque femineum, eodem modo incrementum accipit et prioribus longe audaciores nascuntur viraginesque nominantur. Si quis autem animum animo commisceri minime sibi persuadeat, respiciens ad carbones (credet), non adustos cum ad adustos adiicit, robustos ad debiles, alimentum illis praebens, omnes corpus simile ostendent, neque alter ab altero dignosci poterit, sed in quali corpore ardent, tale erit totum; quum vero praesens alimentum absumserint, in id quod obscurum est, secedunt. Idem hominis animo accidit.

λ'. Περὶ δὲ τῶν διδύμων γιγνομένων ὅδε ὁ λόγος δηλώσει. Τὸ μὲν πλεῖστον τῆς γυναικὸς ἡ φύσις [7]αἰτίη τῶν μητρέων· ἢν [8]γὰρ ὁμοίως ἀμφοτέρωσε πεφύκωσι κατὰ τὸ στόμα, [9]καὶ ἀναχάσκωσι ὁμοίως, καὶ ξηραίνωνται ἀπὸ τῆς καθάρσιος, δύνανται τρέφειν, ἢν τὰ τοῦ ἀνδρὸς ξυλλαμβάνῃ, ὥστε εὐθὺς ἀποσχίζεσθαι· οὕτω γὰρ ἀνάγκη σκίδνασθαι ἐπ' ἀμφοτέρας τὰς μήτρας ὁμοίως. Ἢν μὲν οὖν πουλὺ ἀπ' ἀμφοτέρων τὸ σπέρμα καὶ ἰσχυρὸν ἀποκριθῇ, δύναται ἐν ἀμφοτέρῃσι τῇσι χώρῃσι αὔξεσθαι· κρατέει γὰρ τῆς τροφῆς τῆς ἐπιούσης. Ἢν δέ κως ἄλλως γένηται, [10]οὐ γίγνεται δίδυμα. Ὁκόταν μὲν οὖν ἄρ-

30. At vero gemellorum procreationem haec oratio aperiet. Plerumque natura uteri muliebris in causa est. Si namque utraque ex parte iuxta osculum aequaliter a natura comparatus fuerit et aequaliter hiaverit, et a purgatione siccetur, alere potest, si viri semen conceperit, ita ut statim dividatur. Sic enim in utrumque uterum aequaliter spargi necesse est. Si igitur copiosum ab utrisque et validum semen excretum fuerit, in utroque loco increscere potest, cum accedens alimentum superet. Quodsi aliter contingat, gemini non nascuntur. Cum igitur ab utrisque masculum excretum fuerit, in utroque masculos generari necesse est. Cum

[1] κρατῇ. — [2] δ' αὖ τὸ μέν. — [3] ἀπιστέει. — [4] ἄφρον ἐστὶν ἄνθρ. — [5] προβάλλων. — [6] τοιούτων ἀπὸ πάντων ἔσται. — [7] τῶν μ. αἰτίη. — [8] μέν pro γάρ. — [9] καὶ ἢν ἀνάσχωσι. — [10] οὐ abest.

P.', Lind., Mack., ἢν μὲν ἀπό, al. m. ἢν δ' αὖ τὸ μέν H.; ἢν δ' αὐτὸ μέν G.', ἢν δὲ τὸ μέν cod. θ., Littr.; — τὸ δὲ ἀπὸ τῆς J. E., θ.; — ἄρρεν Ald., G., I.; — κρατήσει E. H. K.; — καί om. pr. m. in H., γίνονται δέ sive καί cod. θ.; — αὔξ. τὸν α. τρ. καί in θ. abesse scribit Mack., abesse solum αὔξεται et καί Littréus; — ἄνδριαι cod. θ.

εἰ — πάσχει.] ἀπιστέει Parr. 5., Zuing. in m., Lind., Mack., ἀπιστεῖ cod. θ., ἀπισταίη (i. e. ἀπιστέῃ) edd. antt., Zuing., G.; — ἄφρων ἐστιν vulg., ἀφορῶν ἐς cod. θ., Littr.; — μή de suo Littr. inter πρός et κεκαυμένους; mihi post ἄνθρακας inferendum visum est, vulgo om.; — προσβάλλων E., ἐμβάλλων K.; — τὸ σῶμα ἅπαν παρασχηκότος καὶ οὐ διάδηλον ἕτερον τοῦ στεροῦ (sic) cod. θ.; — τοιοῦτον ἀπὸ πάντων ἔσται vulg.; cum Littr. sequor θ.; — τωὐτό de meo, τοῦτο cett.

30. περὶ — δηλώσει.] γινομένων E. θ., Littr., γενομ. vulg.; — ὧδε ὁ λ. E. H. K., θ., ὁ λ. ὧδε vulg.; ὅδε dedi cum Foës. in Latinis.

τὸ μὲν — ὁμοίως.] μέν pro γάρ Parr. 4.; — καὶ ἢν ἀν. vulg., ἤν omm. θ., Littr.; — ἀναχάσκωσι cod. θ., Zuing. in marg. (vel χάνωσι), Mack., Littr., ἀνάσχωσιν vulg.; — ὁμοίως om. θ.; — ξηραίνονται Ald., mss. 3.; — οὕτω γὰρ ἂν σκιδν. om. θ.; — ἐς ἀμφοτ. cod. θ.

ἢν μὲν οὖν — ἐπιούσης.] ἐπ' ἀμφ. vulg., ἀπ' Parr. 5., θ., Mack., Littr.

ἢν — δίδυμα.] πω H.; — οὐ cod. θ., Foës. in adn., Lind., Mack., Littr., οὐ vulgo om.; — γίνεται cod. θ., γίνονται vulg.

ὁκόταν — ἐπαύξεται.] ἄρσενα Parr. 5., Littr., ἄρσεν

σενα ἀπ' ἀμφοτέρων ἀποκριθῇ, ἐξ ἀνάγκης ἐν [1] ἀμφοτέρῃσι ἄρσενα [2] γεννᾶται· ὁκόταν δὲ θήλεα ἀπ' ἀμφοτέρων, θήλεα γίγνεται· ὁκόταν δὲ τὸ μὲν θῆλυ, τὸ δὲ ἄρσεν, ὁκότερον ἂν [3] ἑκατέρου κρατήσῃ, τοιοῦτον [4] ἐπαύξεται. Ὁμοῖα δὲ ἀλλήλοισι τὰ δίδυμα διὰ τόδε γίγνεται, ὅτι πρῶτον μὲν ἴσα τὰ χωρία, ἐν οἷσι αὔξεται, ἔπειτα [5] ὅτι καὶ ἅμα ἀπεκρίθη, ἔπειτα τῇσι αὐτῇσι τροφῇσι αὔξεται, γόνιμά τε ἀνάγεται [6] ἅμα ἐς φάος.

λα'. Ἐπίγονα δὲ τῷδε τῷ τρόπῳ γίγνεται· ὁκόταν αἵ τε μῆτραι θερμαὶ καὶ ξηραὶ φύσι ἔωσι, ἥ τε γυνὴ τοιαύτη, τό τε σπέρμα ξηρὸν καὶ θερμὸν ἐμπέσῃ, οὐκ ἔτι γίγνεται ἐν τῇσι μήτρῃσι ὑγρασίη οὐδεμία, ἥ τις τὸ ἐπεισπῖπτον σπέρμα [7] κρατήσει· διὰ τοῦτο ξυνίσταται ἐξ ἀρχῆς καὶ ζώει, διατελέειν δὲ οὐ δύναται, ἀλλὰ καὶ τὸ ὑπάρχον προσδιαφθείρει, διότι οὐ ταὐτὰ ξυμφέρει ἀμφοῖν.

λβ'. Ὕδατος [8] δὲ τὸ λεπτότατον καὶ πυρὸς τὸ ἀραιότατον ξύγκρησιν λάβοντα ἐν ἀνθρώπου σώματι ὑγιεινοτάτην ἕξιν ἀποδείκνυσι διὰ τάδε, ὅτι ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ τῶν ὡρέων τῇσι μεγίστῃσι οὐκ ἐπιπληροῦται τὸ ἔσχατον οὐδέτερον, οὔτε τὸ ὕδωρ ἐς τὸ πυκνότατον [9] ἐν τῇσι τοῦ ὕδατος ἐφόδοισι, οὔτε τὸ πῦρ ἐν τῇσι τοῦ πυρὸς, οὔτε τῶν ἡλικιέων ἐν τῇσι μεταστάσισι, οὔτε τῶν σιτίων καὶ ποτῶν ἐν τοῖσι διαιτήμασι. Δύνανται γὰρ γένεσίν τε πλείστην δέξασθαι ἀμφότερα καὶ πλησμονήν· χαλκὸς ὁ μαλακώτατός [10] τε καὶ ἀραιότατος πλείστην κρῆσιν

vero femineum, ab utrisque feminae procreantur. Quodsi hoc quidem foemineum, illud vero masculum fuerit, quodcumque alterum superaverit, id ipsum incrementum accipiet. Similes vero inter se gemelli sunt hanc ob causam: Inprimis quidem quod aequalia sunt loca, in quibus increscunt, deinde quod simul sati sunt, postea quod iisdem alimentis crescunt, vitalesque simul in lucem producuntur.

31. Foetus autem succidanei hunc in modum gignuntur. Ubi uterus natura calidus et siccus fuerit, et mulier eiusmodi, semenque calidum et siccum inciderit, nullus amplius in utero est humor, qui super illapsum semen superet. Quam ob causam statim initio coalescit ac vivit; permanere vero non potest, quin etiam quod prius inest insuper corrumpit, quod non eadem utrisque conducunt.

32. At corpus humanum ubi temperationem ex tenuissima aqua et rarissimo igne adeptum fuerit, saluberrimum habitum ideo efficit, quod neque in maximis anni tempestatum mutationibus, neque in aetatum transmutationibus, neque in ciborum ac potuum victus ratione, aqua densissima exsistit in aquae accessionibus, neque ignis in ignis incursibus. Possunt enim ambo tum generationem, tum repletionem copiosam suscipere. Aes tum mollissimum tum rarissimum plurimum temperamentum recipit et optimum redditur. Eadem ratione etiam quod in aqua est tenuissimum et quod in igne est

[1] ἀμφοτέρῃσι. — [2] γεννᾶσθαι. — [3] ἑκατέρων. — [4] ἐπαύξει. — [5] ὅτι καὶ ἅμα. — [6] ἅμα om. — [7] κρατήσῃ. — [8] τε. — [9] ἐπί. — [10] τε om.

vulg.; — ἀμφοτέροισι vulg., ἀμφοτέροις cod. θ., ἀμφοτέρῃσι Zuing. et cod. Voss.; — γεννᾶσθαι vulg., γεννᾶται Littr.; — ὅταν δέ cod. θ.; — ἑκατέρων Parr. 4., θ.; — ἐπαύξεται cod. θ., Mack., Littr., ἐπαύξει vulg.

ὁμοῖα — φάος.] διὰ τάδε cod. θ.; — τὰ χορια (sic) ὁμοῖα cod. θ.; — ἴσα om. pr. m. in H.; — ἔπειτα — αὔξεται om. J.; — ὅτι καὶ ἅμα vulg., ὅτι καί om. pr. m. in H., θ., Littr.; — αὔξεται om. pr. m. in H.; — γίνεται pro ἀνάγεται cod. θ.; — ἅμα cod. θ., Littr., vulgo om.

31. ἐπίγονα — ἀμφοῖν.] θερμαί τε καί cod. θ.; — θερμὸν καὶ ξηρόν K.; — οὐκ ἐπιγίνεται pro οὐκ ἔτι γίνεται cod. θ.; εἰσπιπτον idem; — κρατήσει K., Littr., κρατήσῃ vulg.; — ζώῃ H.; — ἀλλὰ τὸ ὑπάρχον cod. θ.; — διαφορει (sic) idem; — αὐτά Ald., H., ταῦτα cod. θ.; — αὐτοῖν pro ἀμφοῖν idem.

32. ὕδατος — διαιτήμασι] δέ om. θ., τε pro δέ Ald., Parr. 5., Zuing.; — τό omm. I. H. J.; — σύγκρισιν Q., θ.; — σύγκρασιν Parr. 5.; — σώματι ὑγιεῖ υγιεινότα (sic) τὴν ἕξιν cod. θ.; — ἀποδεικνύει vulg., ἀποδείκνυσι de meo; — διότι cod. θ.; — τῶν ὡρ. τοῦ ἐν. cod. θ.; — οὐκ — οὐδέτερον ex θ., supplevit Littr., vulgo om.; — ἐν cod. θ., Littr., ἔστιν pro ἐν vulg.; — τῇσι τοῦ πυρός Parr. 4., θ., Zuing., Lind., Mack., Littr.; — ἐν τοῖς τοῦ πυρός vulg.; — ἡλικιῶν cod. θ., ἡλικιέων Zuing. (χωρέων in marg.) Foës. in adn., Lind., Mack., Littr., μικρέων vulg.; — σίτων cod. θ.; — καὶ τῶν ποτῶν E.

δύνανται — ὡσαύτως.] δύναται Zuing., Lind.; — pro γένεσιν habet κένωσιν Lind., κίνησιν Zuing. in marg., Mack.; — τε καὶ πλείστην γενέσθαι ἀμφ. καὶ πλεισμονήν cod. θ.; — τε omm. E. H. I. J.; — κρίσιν pro κρῆσιν Parr. 6.; — κάλ-

frigus non sentire; neque enim arbores, quae hoc tempore frigus non senserunt, fructum ferre, aut satis valere possunt. Hac quoque tempestate laboribus omnis generis multis utendum; neque enim supra modum id fiet, nisi lassitudines oboriantur. Quod quare ita se habeat, dicam: — cum hoc anni tempus frigidum sit et constrictum, similia etiam animalibus accidere solent. Corpora igitur lente ex laboribus incalescere et humidi, quod inest, parvam quandam portionem excerni necesse est. Deinde labori quidem temporis parum concessum est, quieti vero multum, cum dies quidem brevis sit, nox autem longa. Ideoque neque tempus, neque labor modum excedunt. Eam igitur ob causam hoc anni tempore ista victus ratio instituenda est a vergiliarum occasu ad solstitium usque diebus quadraginta quatuor. At circa solstitium quam maxime fieri potest cavendum et a solstitio aliis totidem diebus eadem victus ratio usurpanda. Ubi autem tempestas favonium reduxerit et mollior exstiterit, victus rationem tempestati accommodare convenit, diebus quindecim. Cum vero Arcturus oritur et hirundo iam apparet, tempus quod sequitur varie magis transigere oportet ad aequinoctium usque, diebus duobus et triginta. Victus igitur ratione ad anni temporis varietatem accommodata, molliore et leviore utendum in cibis, potibus et laboribus sensim ad ver ad-

[1] τὸ ψύχειν καθαιρὸν ἑωυτὸν πλήν. — [2] ἀπὸ τῶν γυμν. — [3] ἐν om. — [4] οὐκ om. — [5] μή om. — [6] ἢ γυμνάζεσθαι ἐν τῇ. — [7] ἐς ὑπερβολὴν ἢν μή. [8] τοῦτο τεκμήριον διδασκαλείω τοὺς ἰδιώτας διότι τάδε οὕτως. — [9] ἀναπαύεται. — [10] διὰ ταῦτα τὴν ὥρην. — [11] πλειάδος. — [12] ἐπὰν δὲ ἡ ὥρη ἐπανάγη τὸν ζέφυρον καὶ μαλακωτέρη γένηται δὴ καὶ τῇ δ.

διδόναι — ἐρρῶσθαι.] ψύχει καθαρὸν ἑωυτὸν πλήν vulg., ψύχει ἑωυτὸν θαρσέων πλήν cod. θ.; textum dedi, quemadmodum Littr.; — σίτων sine τῶν cod. θ.; — καὶ τοῦ γυμν. E.; — ἄρχηται E. H. K., θ.; — καὶ ἐν cod. θ., Mack., Littr., ἐν vulgo om.; — ἐν ante τῷ ἄλλῳ omm. E. H. K. I.; — ἀγαθὸν (sine οὐκ) γὰρ τῷ σώματι χειμάζεσθαι ἢ γυμνάζεσθαι ἐν τῇ ὥρῃ vulg.; cum Littréo sequor θ.; — δένδρεα cod. θ., Littr., δένδρα vulg.; — δύναται E. H., θ., Littr., δύνανται vulg.; — καρποφόρειν cod. θ.

χρέεσθαι — ἐγγίγνωνται.] ἅπασι H., θ., Littr.; vulgo om.; — ὑπερβολὴν γὰρ οὐκ ἔχει cod. θ., Littr., ἐς ὑπερβολήν pro his vulg.; — οἱ κόποι vulg., οἱ omm. E., θ.; post ἐγγίγνωνται vulgo: τοῦτο τὸ τεκμήριον διδάσκω τοὺς ἰδιώτας, quam lectoris nescio cuius medici adnotationem e textu expuli.

διότι — πόνος.] διότι τάδε οὕτως ἔχει vulg., cum Littr. sequor θ.; — ψυχρῆς ἐούσης cod. θ.; — ἐνεστηκυίης Ald., Parr. 7.; — διαθερμαίνεσθαι ἀνάγκη cod. θ.; — ὅντινα μὲν πονέει, ἀποδέδοται (ἀποδίδοται E., sec. m. in H., Q.', Mack.) ὀλίγος· ὅντινα δὲ ἀναπαύεται πουλύς vulg.; cum Littréo sequor θ., in quo ὀλίγος in ὁ λόγος abiit; — συφρόνη i. e. εὐφρόνη, uti recte vidit Littr., cod. θ., νύξ vulg.; mihi lectio codicis θ. recipienda visa est.

χρὴ — χρέεσθαι.] Ante τὴν ὥρην vulgata fert διὰ ταῦτα, quod. omm. θ., Littr.; — ταύτην τὴν ὥρην οὕτως διαιτᾶσθαι cod. θ.; — πλιάδων cod. θ.; — μέχρι H.; — τεσσερακ. τέσσερας Ionice ex θ. dedi; — ὡς μάλιστα Lind., Mack., mss. nonnulla; — μάλιστ' cod. θ.; — ἡμέρας τοσαύτας et χρῆσθαι cod. θ.

ἐπὴν δὲ — δύο.] ἐπὴν δὲ ὥρη (addunt ἡ ante ὥρη Ald., Parr. 4., Zuing., Lind., Mack.) ἐπανάγη τὸν ζέφυρον καὶ μαλακωτέρη γένηται (addit ἤδη H.) δεῖ (addunt οὖν E. H. K.) καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἕπεσθαι ἡμέρας

τῆς ὥρης [1]ἐφέπεσθαι ἡμέρας πεντεκαίδεκα. [2]Ὅτε δὲ ἡ ἀρκτούρου ἐπιτολὴ καὶ ἡ χελιδὼν ἤδη φαίνεται, τὸν ἐχόμενον χρόνον ποικιλώτερον ἤδη διάγειν μέχρις ἰσημερίης ἡμέρας τριήκοντα δύο. Χρὴ οὖν καὶ τοῖσι διαιτήμασι [3]ἕπεσθαι τῇ ὥρῃ διαποικίλλοντα μαλακωτέροισι καὶ κουφοτέροισι, τοῖσί τε σιτίοισι καὶ τοῖσι ποτοῖσι καὶ πόνοισι προσάγοντα ἡσυχῇ πρὸς τὸ ἔαρ. Ὁκόταν δὲ ἰσημερίη γένηται, ἤδη [4]μακρότεραι μὲν αἱ ἡμέραι, αἱ νύκτες δὲ βραχύτεραι, καὶ ἡ ὥρη [5]ἡ ἐπιοῦσα θερμή τε καὶ [6]ξηρή, ἡ δὲ παρεοῦσα τρόφιμός τε καὶ εὔκρητος. Δεῖ οὖν ὥσπερ [7]καὶ τὰ δένδρεα παρασκευάζεται ἐν ταύτῃ τῇ ὥρῃ [8]αὐτὰ ἑωυτοῖσι ἐς τὸ θέρος, οὐκ ἐχόντα γνώμην, αὔξησίν τε καὶ σκιήν, οὕτω καὶ τὸν ἄνθρωπον, ἐπεὶ γνώμην ἔχει, τῆς σαρκὸς τὴν αὔξησιν ὑγιηρὴν [9]παρασκευάζεσθαι. Χρὴ οὖν, ὡς μὴ ἐξαπίνης τὴν δίαιταν [10]μεταβάλῃ, διελεῖν τὸν χρόνον ἐς μέρεα ἓξ κατὰ ὀκτὼ ἡμέρας. Ἐν μὲν οὖν τῇ πρώτῃ μοίρῃ χρὴ τῶν τε πόνων ἀφαιρέειν καὶ τοῖσι λοιποῖσι [11]ἠπιωτέροισι χρέεσθαι, τοῖσί [12]τε σιτίοισι μαλακωτέροισι καὶ καθαρωτέροισι, τοῖσί τε πόμασι ὑδαρεστέροισι καὶ λευκοτέροισι [13]καὶ τῇ πάλῃ ξὺν [14]τῷ ἐλαίῳ ἐν τῷ ἡλίῳ χρέεσθαι· ἐν ἑκάστῃ δὲ ὥρῃ ἕκαστα τῶν διαιτημάτων μεθιστάναι κατὰ μικρόν· καὶ τῶν περιπάτων

ducendo. Cum autem aequinoctium adfuerit, longiores quidem iam dies, noctes vero breviores, et anni tempestas accedens calida et sicca, praesens vero bene alens et tepida. Quemadmodum igitur arbores, cum ratione careant, hac tempestate sibi comparant ad aestatem tum incrementum, tum umbram, ita homo cum mente sit praeditus, carnis incrementum salubre sibi comparare debet. Ne igitur victus ratio derepente immutetur, tempus in sex partes per octo dies dividendum. In priore itaque parte de laboribus detrahendum, reliquisque remissioribus utendum. Cibi quoque molliores exhibendi et potiones aquosiores et candidiores et lucta cum oleo in sole utendum. In singulis autem anni temporibus unaquaeque victus ratio paulatim transmutanda et deambulationes a coena plures detrahendae, matutinae vero pauciores. Maza quoque panis loco apponenda et olera cocta exhibenda, obsoniaque elixa assis adaequanda. Balneis etiam utendum, parco prandio et rebus venereis paucis. Vomitiones quoque primum quidem duobus interpositis diebus, deinde longiore interiecto tempore faciendae, quo et corpus ad puram carnem reducas et victus rationem hoc tempore mollem instituas ad vergiliarum exortum. Tunc iam adest aestas, ad quam victus rationem accommodare oportet. Ubi ergo

[1] ἕπεσθαι. — [2] ὅτε ἡ ἀρκτούρου ἐπιτολὴ καὶ χελιδὼν ἤδη φέρεται. — [3] χρέεσθαι. — [4] μαλακώτερον καὶ ἡμ. μὲν μακρ. — [5] ἡ ἐπιοῦσα om. — [6] ξηρὴ καταστῇ καὶ ἡ παρέουσα. — [7] καί om. — [8] αὐτά om. — [9] αὐτὴν παρασκ. — [10] μεταβάλῃ διελεῖν τὸν χρ. — [11] ὀξυτέροισι. — [12] δέ σιτίοισι μαλακωτέροισί τε καὶ πόμασι. — [13] καί om. — [14] τῷ om.

πεντεκαίδεκα, ὅτε ἡ (ἡ om. Ald., δ' pro ἡ E. H. K.) ἀρκτούρου ἐπιτολὴ (ἐπιτολῇ H.) καὶ χελιδὼν ἤδη φέρεται (φαίνεται mavult Coraës) vulg.; μετὰ δὲ ταῦτα ὥρη ἤδη ζέφυρον πνέειν καὶ μαλακωτέρη ἡ ὥρη χρὴ δὲ καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἐφέπεσθαι ἡμέρας πεντεκαίδεκα· εἶτα δὲ ἀρκτούρου ἐπιτολὴ καὶ χελιδόνα ὥρη ἤδη φαίνεσθαι cod. θ., cuius lect. recepit Littr.; mihi ex huius lectione et vulgata constituendus locus visus est; — τὸν ἐχόμενον δὲ χρόνον vulgo, δέ om. E.; — ἄγειν Ald., G. I., θ.; — διάγειν om. pr. m. in H.

χρὴ οὖν — ἔαρ.] δεῖ E. H. K., θ.; — ἕπεσθαι cod. θ., Mack.. Littr., χρέεσθαι vulg.; — μαλακωτέροισι pro vulgato φαυλοτέροισι E. H. Q.'. θ., Zuing. in marg., — ποτοῖσι καί om. θ.; — ἦρ cod. θ., Mack., Littr.

ὁκόταν — εὔκρητος.] δ' cod. θ.; — ἤδη μαλακωτέρη καὶ αἱ ἡμέραι μὲν μακρότεραι vulg. — ἤδη μαλακώτεραι αἱ ἡμέραι καὶ μακρότεραι cod. θ., Littr.; mihi utraque lectio vitiosa videtur eamque emendate exhibere studui; — αἱ ante νύκτες omm. pr. m. in H., θ.; — ἡ ἐπιοῦσα cod. θ., ἐπιοῦσα solum E. H. K. Q.', Zuing. in marg., Lind., Mack., vulgo abest; — post ξηρή vulgo καταστῇ, sed hoc omm. pr. m. in H., θ., Littr.; — ἡ δέ E. H. K. Q.', θ., Littr., καὶ ἡ sine δέ vulg.; — καὶ ἡ δὲ παρέουσα [δίαιτα] Lind.; — εὔκρητος pr. m. in H., θ.. ἄκρητος vulg.

δεῖ — παρασκευάζεσθαι.] καί E. H., θ., Littr., καί om. vulg.; — παρασκευάζεται alii et Littr. cum mss. multis, παρασκευάζονται vulg.; — αὐτοῖσιν vulg., recte vero Lind. ἑαυτοῖσι, quod Ionice scripsi; — post ἑωυτοῖσι ceteri ὠφελείην, quod emblema alienum eieci; — ἐπεὶ γάρ vulg., τε γάρ K., γε pro γάρ cod. θ.; equidem γάρ omitto; — post ὑγιηρήν addit αὐτήν vulg., quod omm. pr. m. in H., θ., Littr.; — de coniectura reieci δεῖ, quod ante ὑγιηρήν inferri solet; — παρασκευάζειν cett., dedi medium, uti supra legitur. Notatur apud Littr. lectio διαπράττειν pro παρασκευάζειν.

χρὴ — ἡμέρας.] μεταβάλῃ Parr. 5., θ., μεταβάλλειν vulg.

ἐν μὲν οὖν — ἐπιτολῆς.] γοῦν vulgo, οὖν E. H. I., μὲν οὖν K., θ.; — ἠπιωτέροισι cod. θ., Mack., Littr., ὀξυτέροισι

ἀφαιρέειν τῶν ἀπὸ [1] μὲν τοῦ δείπνου τοὺς πλέους, τῶν δ' ὀρθρίων [2] τοὺς ἐλάσσους· καὶ τῆς μάζης ἀντὶ τῶν ἄρτων προστίθεσθαι καὶ τῶν λαχάνων τῶν ἑψανῶν προσάγειν καὶ τὰ ὄψα ἀνισάζειν τὰ [3] ἑφθὰ τοῖσι ὀπτοῖσι, λουτροῖσί τε χρέεσθαι καί [4] τι καὶ ἐναριστῆν μικρὸν, ἀφροδισίοισι [5] δὲ ἐλάσσοσι, καὶ τοῖσι ἐμέτοισι, — τὸ μὲν πρῶτον ἐκ τῶν δύο ποιέεσθαι, εἶτα διὰ πλείονος χρόνου, ὅκως ἂν καταστήσῃ [6] τὸ σῶμα σεσαρκωμένον καθαρῇ [7] σαρκὶ, καὶ τὴν δίαιταν μαλακὴν ἐν τούτῳ τῷ χρόνῳ μέχρι πλειάδων ἐπιτολῆς. Ἐν τούτῳ ἤδη θέρος, καὶ τὴν δίαιταν χρὴ πρὸς τοῦτο ποιέεσθαι· χρὴ οὖν ἐπειδὰν πλειὰς ἐπιτείλῃ, τοῖσί τε σιτίοισι μαλακωτέροισι [8] καὶ καθαρωτέροισι καὶ ἐλάσσοσι χρέεσθαι, εἶτα τῇ μάζῃ πλεῖον ἢ τῷ ἄρτῳ, ταύτῃ δὲ προφυρητῇ ἀτριπτοτέρῃ, τοῖσι δὲ πόμασι μαλακοῖσι, λευκοῖσι, ὑδαρέσι, ἀρίστῳ δὲ ὀλίγῳ καὶ ὕπνοισι ἀπὸ τοῦ ἀρίστου βραχέσι καὶ πλησμονῇσι ὡς ἥκιστα [9] τῶν σιτίων τε καὶ ποτῶν· καὶ τῷ ποτῷ ἱκανῷ ἐπὶ τῷ σίτῳ χρέεσθαι· δι' ἡμέρης δὲ ὡς ἥκιστα πίνειν, ἢν μὴ ἀναγκαίῃ τινὶ ξηρασίῃ τὸ σῶμα χρήσηται· χρέεσθαι δὲ τοῖσι λαχάνοισι [10] τοῖσι ἑφθοῖσι, πλὴν τῶν καυσωδέων, χρέεσθαι δὲ καὶ τοῖσι ὠμοῖσι, πλὴν τῶν θερμαντικῶν καὶ ξηραντικῶν· ἐμέτοισι δὲ, ἢν μή τις πλησμονὴ [11] ἐγγένηται, μὴ χρέεσθαι· τοῖσι δὲ ἀφροδισίοισι ὡς ἥκιστα· λουτροῖσι δὲ χλιεροῖσι χρέεσθαι. Ἡ δὲ ὀπώρη ἰσχυρότερον τῆς ἀνθρω-

vergiliae iam exortae sunt, cibis mollioribus et purioribus et paucioribus utendum, deinde plus maza quam pane neque prius subacta et minime intrita. Potibus autem mollibus, albis, aquosis, prandio modico et somnis a prandio brevibus et ciborum ac potionum repletionibus quam minimis; in cibo vero potu, quantum satis est, utendum. Interdiu vero quam minimum bibendum, nisi necessaria aliqua siccitate corpus detineatur. Oleribus coctis utendum aestuosis exceptis et crudis calefacientibus et siccantibus exceptis. Ac vomitionibus, nisi si qua repletio insit, minime utendum rebusque venereis omnium minime. Balneis vero tepidis uti licet. Poma vero cum pro hominis natura valentiora sint, ab his abstinendum. Quodsi quis cum cibis utatur, minime deliquerit. Laboribus etiam et cursibus exerceri convenit, iisque ad carceres redeuntibus modicis multo tempore et deambulationibus in umbra. Lucta vero in pulvere, quo minimum incalescat. Nam volutatio in pulvere cursibus praestat, qui corpus humidum vacuando desiccant. A coena minime deambulandum, sed tantum standum. Mane vero deambulationibus utendum. Soles vitandi et frigora tum matutina tum vespertina, quaecumque a fluminibus aut stagnis, aut nivibus spirant. In hac autem victus ratione ad solstitium aestivum usque perseverandum, ut hoc tempore sicca omnia et calida et nigra et meraca ac panes detrahas, nisi paulum quid

[1] μέν om. — [2] τούς om. — [3] ὀπτὰ τοῖσι ἑφθοῖσι. — [4] τι καί om. — [5] τε. — [6] τε τὸ σ. — [7] τῇ σαρκί. — [8] καὶ καθαρ. om. — [9] τῶν σιτίων om. et tum καὶ τῶν ποτῶν ἱκανῶς. — [10] τοῖσι om. — [11] γένηται.

vulg.; — χρῆσθαι cod. θ. et sic semper in illo libro, quod non amplius noto; — τοῖσί τε E. H. K., θ., Littr., τοῖσι δέ vulg.; — μαλακωτέροισί τε καὶ πόμασι vulg., cum Littréo sequor θ.; — τῷ ante ἐλαίῳ alii et Littr. ex mss; vulgo om.; — τῇ ὥρῃ vulg., τῇ omm. I. J., θ.; — μέν post ἀπό cod. θ., Littr., μέν om. vulg.; — δ' ὀρθρίων E. H. K., θ., δέ plene vulg.; — καὶ λουτροῖσι τε χρ. om. θ.; — τε καί cod. θ., Littr.. τε καί om. vulg.; — δέ post ἀφροδισίοισι E. H. K., θ., τε vulgo; — καταστήσῃ τε vulg., τε om. θ.; — μαλθακήν idem, μαλακήν vulg.; — πλιάδος cod. θ.

ἐν τούτῳ — χρέεσθαι.] Vulgata ἤδη fert tum ante θέρος, ubi Ald., multa mss., Littr. omm., tum etiam post δίαιτα; mihi post δίαιτα omittendum, priore loco servandum videtur; — δεῖ οὖν cod. θ.; — σίτοισι idem; — καὶ καθαρωτέροισι Littr. ex θ. solo, vulgo om.; — λευκοῖσι, μαλακοῖσι, ὑδαρές cod. θ.; — καὶ πλησμ. ὡς ἥκιστα τῶν σιτίων τε (τε omm. E. H. K.) καὶ (addunt τῶν E. H.) ποτῶν (ποτοῦ Zuing. in marg.) ἱκανῶς vulg.; — καὶ πλησμ. ὡς ἥκιστα τῶν σιτίων τε καὶ ποτῶν· καὶ τῷ ποτῷ (ποτοῦ sine τῷ Lind.) ἱκανῶς K.', Lind., Mack., quos sequor; — καὶ πλεισμονῇσιν ὡς ἥκιστα τῶν σιτίων καὶ τῷ ποτῷ ἱκανῷ cod. θ., quem Littr. fere sequitur; — ἀναγκαίῃ Ald., E. I. J. K., θ., Mack., Littr., ἀνάγκῃ vulg.; — καυσωδέων καὶ ξηρῶν vulg., sed καὶ ξηρῶν, quod in vulgata paulo post recurrit, hoc loco repudio cum cod. θ.; — τῶν θερμαντικῶν καὶ τῶν ξηραντικῶν καὶ τῶν ξηρῶν cod. θ.; — ξηραντικῶν pro ξηρῶν vulgatae Mack.; recte uti opinor.

ἡ δὲ ὀπώρη — ἐξαμαρτάνοι.] ἰσχυροτέρῃ cod. θ.; — τῶν ὀπωρῶν ἀπέχεσθαι E. K., τῶν om. vulg., τῶν ὀπωρῶν omm. pr. m. in H., θ., quos sequor; — σίτων χρώμενος cod. θ.; — οὐ βλαβήσεται Parr. 4., pro ἥκιστ' ἂν ἐξαμαρτάνοι.

πίνης φύσιος· βέλτιον οὖν ἀπέχεσθαι· εἰ δὲ χρῷτό τις, μετὰ τῶν σιτίων χρεόμενος [1]ἥκιστ' ἂν ἐξαμαρτάνοι. Τοῖσί τε πόνοισι τοῖσι τροχοῖσι χρὴ γυμνάζεσθαι καὶ διαύλοισι ὀλίγοισι πουλὺν χρόνον καὶ τοῖσι περιπάτοισι ἐν σκιῇ, τῇ τε πάλῃ ἐν κόνι, ὅκως ἥκιστα ἐκθερμαίνηται· ἡ γὰρ ἀλίνδησις βέλτιον ἢ οἱ τροχοί· [2]ξηραίνουσι γὰρ τὸ σῶμα κενοῦντες τοῦ ὑγροῦ· ἀπὸ δείπνου δὲ μὴ περιπατέειν ἀλλ' ἢ ὅσον ἐξαναστῆναι· πρωῒ δὲ χρέεσθαι τοῖσι περιπάτοισι· ἡλίους δὲ [3]φυλάσσεσθαι καὶ τὰ ψύχεα τά τε ἐν τῷ πρωῒ καὶ τὰ ἐν τῇ ἑσπέρῃ, ὁκόσα ποταμοὶ ἢ λίμναι ἢ χιόνες ἀποπνέουσι. Ταύτῃ δὲ τῇ διαίτῃ προσανεχέτω μέχρις ἡλίου τροπέων, ὅκως ἐν τούτῳ τῷ χρόνῳ [4]ἀφαιρήσει πάντα ὁκόσα ξηρὰ καὶ θερμὰ καὶ μέλανα καὶ ἄκρητα, καὶ τοὺς ἄρτους, πλὴν εἴ τι σμικρὸν ἡδονῆς εἵνεκα. Τὸν ἐχόμενον δὲ χρόνον διαιτήσεται τοῖσι μαλακοῖσι καὶ ὑγροῖσι καὶ ψυκτικοῖσι, [5]λευκοῖσι καὶ καθαροῖσι, μέχρις ἀρκτούρου ἐπιτολῆς καὶ ἰσημερίης ἡμέρας ἐνενήκοντα τρεῖς. Ἀπὸ δὲ ἰσημερίης ὧδε χρὴ διαιτῆσθαι, προσάγοντα πρὸς τὸν χειμῶνα ἐν τῷ φθινοπώρῳ, φυλασσόμενον τὰς μεταβολὰς τοῦ ψύχεος καὶ τῆς ἀλέης ἐσθῆτι παχείῃ· χρέεσθαι δ' ἐν τούτῳ τῷ χρόνῳ ἐν ἱματίῳ προκινήσαντα τῇ τε τρίψι καὶ τῇ πάλῃ [6]τῇ ἐν ἐλαίῳ, ἡσυχῇ προσάγοντα· καὶ τοὺς περιπάτους ποιέεσθαι ἐν ἀλέῃ· [7]θερμολουσίῃ τε χρέεσθαι καὶ τοὺς ἡμερινοὺς ὕπνους ἀφαιρέειν, καὶ τοῖσι σιτίοισι θερμοτέροισι καὶ ἧσσον ὑγροῖσι καὶ καθαροῖσι καὶ τοῖσι πόμασι μελαντέροισι, μαλακοῖσι [8]δὲ καὶ μὴ ὑδαρέσι,

voluptatis gratia exhibeas. Tempore vero, quod postea sequitur, cibis utatur mollibus et humidis, refrigerantibus et albis, ad arcturi exortum et aequinoctium diebus nonaginta tribus. Post aequinoctium autem hoc modo victus rationem instituere oportet, per auctumnum ad hiemem accedendo, ita ut frigoris et caloris mutationes vestitu crasso devites. Hoc vero tempore prius in veste motu utendum, frictioneque et lucta cum oleo sensim adiiciendo et loco tepido deambulandum calidaque lavandum et somni diurni detrahendi. Cibi autem assumendi calidiores, minus humidi et puri, potus vero nigriores, molles tamen et non aquosi, olera autem siccantia minus. Reliquaque omni victus ratione ita progrediendum, ut ab aestivis demas, hibernis utaris non ad summum, quo quam proxime ad hibernam victus rationem devenias per dies duodequinquaginta ad vergiliarum occasum ab aequinoctio.

[1] οὐ βλαβήσεται. — [2] ψύχουσι. — [3] φυλάσσειν. — [4] ἀφαιρήσῃ. — [5] καὶ λευκοῖσι μέχρι. — [6] τῇ om. — [7] θερμολουσίῃσι. — [8] δέ om.

τοῖσι — ἀποπνέουσι.] μὴ πουλὺν χρόνον in his de suo Littr., sed mihi πουλύν χρόνον ad tempus, per quod quotidie διαύλοισι ὀλίγοισι utendum sit, spectare videtur, adeoque nihil novandum; — ψύχουσι γάρ vulgata, sed ξηραίνουσι dudum emendarunt; — δέ post δείπνου E. H. K., θ., τε vulgo; — φυλάσσεσθαι cod. θ., Littr., φυλάσσειν vulg.; — τῷ ante πρωΐ Ald., Parr. 5., Zuing. in marg., Littr., τῷ om. vulg.; τὰ πρώϊα cod. θ.; — ἐς ἑσπέρην E. H. K. Q.', ἐς τὴν ἑσπέρην cod. θ.

ταύτῃ — εἵνεκα.] μέχρι H.; — ἀφαιρήσει pr. m. in H., θ., ἀφαιρήσῃ vulg.; — θερμὰ καὶ ξηρά K.; — ἡδονῆς παρέχειν εἵνεκα vulg., παρέχειν omm. pr. m. in H., θ., Littr.

τὸν ἐχόμενον — τρεῖς.] μαλθακοῖσι cod. θ.; — ψυκτοῖσι E.; — post ψυκτικοῖσι vulgo καί, quod omm. θ., Littr.; — καὶ καθαροῖσι cod. θ., Littr.; vulgo om.; — μέχρι H.

ἀπὸ — ἰσημερίης.] διαιτᾶσθαι vulg., διαιτῆσθαι E. H. I. K., Mack.; — ἐν τῇ φθινοπωρινῇ cod. θ.; — τοῦ ψύχεος idem, τῶν ψυχέων vulg.; — τῇ post πάλῃ cod. θ., Littr., τῇ om. vulg.; — θερμολουσίῃσί τε E. J. K.; — ὕπνους ἡμερινούς H. θ.; — σίτοισι cod. θ.; — πώμασι idem; — μελαντέροισι ex θ. Littr., μελανωτέροισι vulg.; — δέ post μαλακοῖσι omm. Parr. 3.; — καί, quod sequitur, om. pr. m. in H., θ.; — λαχάνοισι ἧσσον τῇ τε vulg., λακάνοισι (sic) ξηροῖσιν ἧσσόν τε τῇ τε cod. θ., quem Littr. fere sequitur; equidem

τοῖσί τε λαχάνοισι [1]ξηροῖσι ἧσσόν [2]τι, τῇ τε ἄλλῃ διαίτῃ προσάγειν πάσῃ τῶν θερινῶν ἀφαιρεῦντα, τοῖσι χειμερίοισι χρέεσθαι μὴ ἐς ἄκρον, ὅκως καταστήσει ὡς ἔγγιστα τῆς χειμερινῆς διαίτης, ἐν ἡμέρῃσι δυοῖν δεούσαιν [3]πεντήκοντα μέχρι πλειάδων δύσιος ἀπὸ ἰσημερίης.

ξθ'. Ταῦτα μὲν παραινέω τῷ πλήθεϊ τῶν ἀνθρώπων, ὁκόσοισι ἐξ ἀνάγκης εἰκῇ τὸν βίον διατελέειν ἐστὶ, μηδ' [4]ὑπάρχει αὐτοῖσι τῶν ἄλλων [5]ἀμελήσασι τῆς ἑωυτῶν ὑγιείης ἐπιμελεῖσθαι· οἷσι δὲ τοῦτο παρεσκεύασται καὶ διέγνωσται, ὅτι οὐδὲν ὄφελός ἐστι οὔτε χρημάτων [6]οὔτε τῶν ἄλλων οὐδενὸς ἄτερ [7]τῆς ὑγιείης, πρὸς τούτους ἐστί μοι δίαιτα ἐξευρημένη ὡς ἀνυστὸν πρὸς τὸ ἀληθέστατον τῶν δυνατῶν [8]προσηγμένη. [9]Ταύτην μὲν οὖν προϊόντος τοῦ λόγου δηλώσω. Τόδε δὲ τὸ ἐξεύρημα καλὸν μὲν ἐμοὶ τῷ εὑρόντι, ὠφέλιμον δὲ τοῖσι μαθοῦσι, οὐδεὶς δέ κω τῶν πρότερον οὐδ' ἐπεχείρησε [10]ξυνεῖναι ὃ πρὸς ἅπαντα δὴ τἄλλα πολλοῦ κρίνω εἶναι ἄξιον· ἔστι δὲ προδιάγνωσις μὲν πρὸ τοῦ κάμνειν, διάγνωσις δὲ τῶν σωμάτων τί πέπονθε, πότερον [11]τὸ σιτίον κρατέει τοὺς πόνους, ἢ οἱ πόνοι τὰ σιτία, ἢ [12]εἰ μετρίως ἔχει πρὸς ἄλληλα· ἀπὸ μὲν γὰρ τοῦ κρατέεσθαι ὁκοτερονοῦν νοῦσοι ἐγγίγνονται· ἀπὸ δὲ τοῦ ἰσάζειν πρὸς ἄλληλα ὑγίεια προσέστι. [13]Ἐπὶ ταῦτα δὴ τὰ εἴδεα ἐπέξειμι καὶ δείξω ὁκοῖά ἐστι καὶ γίγνεται τοῖσι ἀνθρώποισι ὑγιαίνειν δοκέουσι καὶ ἐσθίουσι ἡδέως πονέειν τε δυναμένοισι καὶ σώματος καὶ χρώματος ἱκανῶς ἔχουσι.

69. Atque ista quidem plerisque hominibus suadeo, quibus temere vitam degere necesse est, neque licet reliquis posthabitis suae ipsorum sanitatis curam habere. Qui vero ita sunt comparati sibique in animum induxerunt, neque pecuniarum, neque ullius rei utilitatem citra sanitatem aestimandam esse, iis a me inventa est victus ratio, quae quoad eius fieri potest maxime ad veritatem accedit, quam procedente oratione demonstrabo. Atque ista inventio mihi quidem inventori pulchra est, utilis vero iis, qui discunt, a nullo adhuc antea tentata et quam ad alia omnia plurimi aestimo. Est autem et praecognitio antequam aegrotent et affectus corporum cognitio, utrum cibi labores, an labores cibos superent, an moderate inter se habeant. Utrum libet enim superetur, ex eo morbi accidunt, ex mutua vero inter se aequabilitate sanitas adest. Ad has sane species aggredior et aperiam, quae insint et accidant iis, qui sibi bene valere videntur et cibis ac laboribus iucunde fruuntur et tum corporis, tum coloris ratione bene se habent.

[1] ξηροῖσι om. — [2] τι om. — [3] ἢ πεντηκ. — [4] ὑπάρχειν. — [5] ἀμελήσαντας τῆς αὐτῆς ὑγ. — [6] οὔτε σώματος οὔτε τῶν ἄ. — [7] τῆς om. — [8] προσημαίνη. — [9] ταῦτα. — [10] ξυνθεῖναι. — [11] τῶν σιτίων κρατέει ὁ πόνος ἢ τῶν πόνων τὰ σιτία. — [12] εἰ om. — [13] ἐπεί.

ἧσσόν τι in ea lect. scripsi; — τῶν δὲ θερμῶν cod. θ.; — ὑφαιρέοντα idem; — τοῖσι δέ idem; — χειμερινοῖσι H., θ.; — καταστήσῃ vulg., καταστήσει Littr.; — ἡμέραιν vulg., ἡμέραις E. θ., Littr., ἡμέρῃσι Lind., Mack.; — δεούσαις E., θ.; — ἢ πεντήκοντα vulg., ἤ omm. θ., Lind., Mack., Littr.

69. ταῦτα — προσηγμένη.] καὶ ταῦτα μὲν παραινῶ Gal. comm. in librum de Hum. p. 76. Kühn.; — ὑπάρχειν Parr. 3.; — ἀμελήσασι cod. θ., Littr., ἀμελήσαντας vulg.; — ἑωυτῶν omm. pr. m. in H., θ.; — ἐπιμελέσθαι cod. θ.; — ὅτω idem, οἷσι vulg.; — οὐδὲ ὄφελος Ald., Parr. 2.; — χρημάτων οὔτε σώματος vulg., οὔτε σωμ. omm. θ., Mack., Littr.; — τοιουτέους H. K., τούτοις cod. θ.; — ἀνυστήν J.

ταύτην — δηλώσω.] προϊόντι τῷ λόγῳ vulg., sequor θ.; χρόνῳ pro vulgato λόγῳ pauci libri.

τόδε — πρόσεστι.] τὸ δὲ ἐξευρ. cod. θ.; — οὐδ' E. H. K., θ., οὐδέ vulg.; — ξυνθεῖναι vulg., συνεῖναι cod. θ., Littr.; — ὅ om. θ.; — ἅπαντα τὰ ἄλλα vulg., sequor E. H. K., θ.; — κρίνω αὐτὸ εἶναι πολλοῦ ἄξιον sine αὐτό E. H. K., θ.; — ἔστι δέ alii et Littr. e codd. pluribus, δέ om. vulg.; — προδιαγνώσεις μὲν πρὸς τὸ κάμνειν, διαγνώσεις cod. θ.; — δέ post διαγνώσεις omm. Ald. G. J., θ.

ἐπὶ — ἔχουσι.] δέ pro δή J.; — οἷά ἐστι καὶ γίνεται cod. θ., unde ἐστι καί in vulgatam introduxi; — ὑγιαίνειν τε δοκοῦσι cod. θ.: — τε post ἐσθίουσι fert vulg., omm. θ., Littr.; — καὶ χρώματος καὶ σώματος cod. θ.

ο'. Αἱ ῥῖνες ἄτερ προφάσιος φανερῆς [1] ἐμπλάσσονται ἀπό τε τοῦ δείπνου καὶ τοῦ ὕπνου, καὶ δοκέουσι μὲν πληρέες εἶναι, μύσσονται δὲ οὐδέν· ὁκόταν δὲ περιπατεῖν ἄρξωνται τοῦ ὄρθρου καὶ γυμνάζεσθαι, τότε μύσσονται καὶ πτύουσι, [2] προϊόντος δὲ τοῦ χρόνου καὶ τὰ βλέφαρα βαρέα ἴσχουσι, καὶ τὸ μέτωπον ὥσπερ [3] ξυσμὸς λαμβάνει, τῶν τε σίτων [4] ἧσσον ἅπτονται πίνειν τε ἧσσον δύνανται, ἄχροιά τε τούτοισι ἡ χροιὴ γίγνεται· ἢ οὖν κατάρροοι γίγνονται ἢ πυρετοὶ φρικώδεες, καθ' ὅ τι [5] ἂν τύχῃ ἡ πλησμονὴ γενηθεῖσα. Ὅ τι δ' ἂν τύχῃ ποιήσας κατὰ τοῦτον τὸν καιρὸν, τοῦτο αἰτιῆται οὐκ αἴτιον ἐόν· τούτῳ γὰρ [6] κρατεύντων τῶν σιτίων τοὺς πόνους κατὰ σμικρὸν [7] ξυλλεγομένη ἡ πλησμονὴ ἐς νοῦσον [8] προήγαγε. Ἀλλ' οὐ χρὴ προΐεσθαι μέχρι τούτου, ἀλλ' ὁκόταν γνῷ τὰ πρῶτα τῶν τεκμηρίων, εἰδέναι ὅτι κρατέει τὰ σιτία τοὺς πόνους [9] καὶ κατὰ σμικρὸν ξυλλεγομένη ἡ πλησμονή ἐστι. Μύξα γὰρ καὶ σίαλον πλησμονῆς ἐστι κρίσις· καὶ ἀτρεμίζοντος μὲν δὴ τοῦ σώματος, φράσσουσι τοὺς [10] πόρους τοῦ πνεύματος, πολλῆς ἐνεούσης τῆς πλησμονῆς· θερμαινόμενα δὲ ὑπὸ τοῦ πόνου ἀποκρίνεται λεπτυνόμενα. Χρὴ δὲ τὸν τοιοῦτον ἐκθεραπευθῆναι ὧδε· διαπονήσαντα ἐν τοῖσι γυμνασίοισι τοῖσι εἰθισμένοισι ἀκόπως, θερμῷ λουσάμενον σιτίσαι παντοδαποῖσι καὶ ποιῆσαι ἐμέσαι· ἐκ δὲ τοῦ ἐμέτου κλύσαι τὸ στόμα καὶ

70. Nares a coena et somno citra causam manifestam implentur et plenae esse videntur, nihil tamen emungunt. Cum vero mane deambulare et exerceri coeperint, tum mucum et sputum reiiciunt, procedenteque tempore palpebras etiam graves habent, frontem veluti pruritus occupat, cibis minus vescuntur potumque minus appetunt, pallor illis pro colore est; itaque aut destillationes fiunt, aut febres cum horrore, pro parte in qua repletio facta sit. Eo autem tempore quidquid forte fecerit, in id culpam reiicit, cum minime in causa sit. In hoc enim sensim collecta repletio morbum invexit, quod cibi labores superant. Verum non est eo usque differendum, sed cum prima signa viderit, nosse oportet quod cum cibi labores superant, paulatim collecta repletio exsistit. Mucus enim et saliva repletionem arguunt, quiescenteque sane corpore spiritus meatus opplent cum multa insit repletio, labore vero incalescentia extenuata excernuntur. Huic curationem istam adhibere oportet, ut, postquam se consuetis exercitationibus citra defatigationem exercuerit calidaque laverit, cibos omnis generis offerat et vomitionem cieat. Post vomitionem vero os et fauces vino austero colluat, uti venarum oscula constringantur, nihilque insuper detrahatur velut ex vomitionibus accidere solet. Deinde ubi surrexerit, deambulationibus quidem iisdem utendum, exercitationibus tamen pauci-

[1] ἐμπλήσονται. — [2] καὶ προϊόντος τοῦ χρ. τὰ βλ. — [3] ξυσμή. — [4] ἀπέχονται sine ἧσσον. — [5] δ' ἄν. — [6] κρατεῦνται. — [7] δὲ ξυλλεγ. — [8] ἤγαγε. [9] ἃ κατὰ μικρὰ συλλεγόμενα πλησμονή ἐστι. — [10] πόνους.

70. *αἱ ῥῖνες — γενηθεῖσα.*] *ἐμπλάσσονται* Littr. ex θ., *ἐμπλήσσονται* falso Ionismo vulg.; — *ἀπό τε τοῦ δείπνου καὶ τοῦ ὕπνου* cod. θ., *τε καὶ τοῦ ὕπνου* om. vulg.; — *καὶ προϊόντος τοῦ* vulg.; cum Littr. sequor θ.; — *καί* ante *τὰ βλέφαρα* om. K.; — *βαρέα* om. idem; — *ὥσπερ ξυσμός* cod. θ., Littr., *ξυσμή* sine *ὥσπερ* vulg.; — *σιτίων* Parr. 2.; — *ἀπέχονται* vulg., *ἧσσον ἅπτονται* cod. θ., Littr.; — *καὶ πίνειν* vulg., *πίνειν τε* sine *καί* E. H. K., θ.; — *ἀχροίη τε τουτέοισιν* (addunt *καί* E. H. Q.', Lind.) *ἡ χροιὴ γίνεται* vulg., *ἀχροίη τε* (*ἄχροιαι* sine *τε* cod. θ.) *τουτέοισιν ὑπογίνονται* H. (cod. θ. *τούτοισιν*); Littr. fere θ. sequitur, sed vulgata antiquam lect. refert; — *ἢ οὖν* E. H. K. Q.', Lind., *καὶ ἡ* vulg., *οἱ* pro *ἢ* Zuing. in marg.; — *κινέονται* ceteri, *γίγνονται* de meo; — post *τύχῃ* vulgo *τοῦ χρόνου*, sed *τοῦ τόπου* cod. θ., Littr.; ego neutrum recipio; — *κινηθεῖσα* ceteri, *γενηθεῖσα* de meo, si *γενομένη* praeferas, non adversor, sed non intelligo *πλησμονὴν κινεῖν*.

ὅ τι δ ἂν — προήγαγε.] *αἰτιᾶται* cod. θ.; — *κρατεῦντα τὰ σιτία* ceteri, de meo in genitivum mutavi; — *σμικρόν* E. H., Littr., *μικρόν* vulg., *σμικρά* cod. θ., Mack.; — *προήγαγε* cod. θ., Mack., Littr., *ἤγαγε* vulg.

ἀλλ' — ἐστι.] *ἀλλά* E. H. K., θ.; — *πόνους κατὰ* (*καὶ τά* pro *κατά* K., *καὶ κατά* Mack.) *μικρὸν* (*μικρά* H., θ., Mack., *σμικρά* E. K.) *ξυλλεγόμενα* (*ξυλλεγομένη* Zuing. in marg., Lind.) (addunt *ἡ* cod. θ., Mack.) *πλησμονή ἐστι* (*ἔσται* Zuing. in marg.) vulg., quam Littr. ita servandam arbitratus est, ut ex θ. *ἡ* recipiens in *ᾗ* mutaret; adeoque *ᾗ πλησμονή ἐστι* exhibet; — mihi aliam viam ineundam esse visam ex textu descripto patet.

μύξα — λεπτυνόμενα.] *μύξαι γὰρ καὶ σίαλα* vulg., sequor θ.; — *φραγνύουσι* cod. θ.; — *σώματος* pro *πνεύματος* P.' Q.', Zuing. in marg.; — *ἐνεούσης* om. pr. m. in H.; — *ἀπὸ τοῦ πόνου* cod. θ.; — *λεπτυνόμενον* vulg. *λεπτυνόμενα* K.', quod omnino recipiendum, sed simul pro vulgato *θερμαινόμενον* dandum erat *θερμαινόμενα*.

χρὴ — εἰθισμένον.] *ἐκπονῆσαι* cod. θ.; — *ἐξεμεῦσαι* (sic)

τὴν φάρυγγα οἴνῳ αὐστηρῷ, ὅκως ἂν ξυστυφῇ τὰ στόματα τῶν φλεβῶν καὶ μηδὲν ἐπικατασπασθῇ ὁκοῖα γίγνεται ἀπὸ ἐμέτων· εἶτα [1]ἐξαναστὰς περιπατησάτω ἐν ἀλέῃ ὀλίγα· ἐς δὲ τὴν ὑστεραίην τοῖσι μὲν περιπάτοισι τοῖσι αὐτοῖσι χρέεσθαι, τοῖσι δὲ γυμνασίοισι ἐλάσσοσι καὶ κουφοτέροισι ἢ πρόσθεν· καὶ ἀνάριστος διαγέτω, ἢν θέρος ᾖ· ἢν δὲ μὴ θέρος ᾖ, μικρὸν ἐπιφαγέτω· καὶ τοῦ δείπνου ἀφελεῖν τὸ ἥμισυ οὗ [2]εἴωθε δειπνεῖν· τῇ δὲ τρίτῃ τοὺς μὲν πόνους ἀποδότω τοὺς εἰθισμένους πάντας καὶ τοὺς περιπάτους, τοῖσι δὲ σιτίοισι προσαγέτω ἡσυχῇ, ὅκως τῇ πέμπτῃ ἀπὸ τοῦ ἐμέτου [3]κομιεῖται τὸ σιτίον τὸ εἰθισμένον. [4]Ἢν μὲν οὖν ἀπὸ τούτου ἱκανῶς ἔχῃ, θεραπευέσθω τὰ ἐπίλοιπα τοῖσι μὲν σιτίοισι ἐλάσσοσι, τοῖσι δὲ πόνοισι πλείοσι· ἢν δὲ μὴ καθεστήκῃ τὰ τεκμήρια τῆς πλησμονῆς, διαλιπὼν δύο ἡμέρας, ἀφ' ἧς ἐκομίσατο τὰ σιτία, ἐμεσάτω πάλιν καὶ προσαγέτω κατὰ τὰ αὐτά· ἢν δὲ μή, καὶ ἐκ τρίτου, μέχρις ἂν ἀπαλλαγῇ τῆς πλησμονῆς.

οα'. Εἰσὶ δέ τινες τῶν ἀνθρωπον, οἵτινες, ὁκόταν κρατέωνται οἱ πόνοι ὑπὸ τῶν σιτίων, καὶ τοιάδε πάσχουσι· ἀρχομένης [5]τῆς πλησμονῆς ὕπνοι μακροὶ καὶ ἡδέες αὐτοῖσι ἐγγίγνονται καί [6]τι τῆς ἡμέρης ἐπικοιμῶνται· ὁ δὲ ὕπνος γίγνεται τῆς σαρκὸς ὑγρανθείσης καὶ χεῖται τὸ αἷμα καὶ [7]γαληνίζει διαχεόμενον τὸ πνεῦμα. Ὁκόταν δὲ μὴ δέχηται ἔτι τὸ σῶμα τὴν πλησμονὴν, ἀπόκρισιν ἤδη ἀφίησι εἴσω ὑπὸ βίης τῆς περιόδου, ἥτις ὑπεναντιωμένη τῇ τροφῇ τῇ ἀπὸ τῶν σιτίων ταράσσει τὴν ψυχήν. Οὐκ ἔτι [8]δὴ κατὰ τοῦτον τὸν χρόνον ἡδεῖς οἱ ὕπνοι, ἀλλ' ἀνάγκη τα-

oribus et levioribus quam antea et, si aestas fuerit, minime prandeat, sin minus, parum comedat et de coena consueta dimidium detrahat. Tertio autem die ad labores quidem consuetos omnes et deambulationes redeat, sed cibos sensim augeat, ut quinto die post vomitionem consuetus cibus assumatur. Quodsi inde satis erit, de cetero paucioribus quidem cibis, laboribus vero pluribus curetur. Si vero plenitudinis signa minime quieverint, duobus post cibos receptos intermissis diebus, rursus vomat et ad eosdem sensim deducatur. Sin minus, etiam tertio idem repete, quoad plenitudine liberetur.

71. At vero quibusdam, ubi labores a cibis superantur, talia quoque accidunt. Cum plenitudo quidem incipit, somni longi et suaves ipsis obveniunt et interdiu aliquantum dormiunt. Fit autem somnus humecta carne et funditur sanguis et spiritus diffusus tranquillitatem habet. Cum vero corpus plenitudinem amplius capere non potest, ambitus vi secretionem intro iam remittit, quae alimento a cibis provenienti obviam facta animum perturbat. Tunc non amplius suaves sunt somni, sed hominem perturbari necesse est, sibique pugnas committere videtur. Quae enim corpori accidunt, eadem animus

[1] ἀναστάς. — [2] ἤθελε. — [3] κομιεῖ. — [4] κἢν μὲν ἀπὸ τούτου. — [5] μὲν τῆς. — [6] ἐπί. — [7] γαληνίζει. — [8] δή om.

εὐθὺς σίτοισι χρησάμενον παντοδαποῖσι pro σιτίσαι — ἐμέσαι cod. θ.; — σιτίσαι om. pr. m. in H.; — στυφῇ K., στύψῃ cod. θ.; — ἐπισπασθῇ E. H. K. Q.', Zuing. in marg., ἔτι κατασπασθῇ Merc., Mack.; — ἐξαναστάς cod. θ., Littr., ἀναστάς vulg.; — τῇ δ' ὑστεραίῃ cod. θ.; — περιπάτοισι αὐτοῖσι cod. θ., αὐτοῖσι om. vulg., sed in lectione illius ms. latet quod dedi; — χρήσασθαι cod. θ.; — ἢν θέρος ᾖ om. idem; — sequens δέ om. idem; — εἴωθε E. H. K., θ., alii et Littr., ἤθελε vulg.; — κομιεῖ G. J.

ἢν — πλησμονῆς.] κἢν μὲν ἀπὸ τουτέου vulg.; cum Littr. sequor θ.; — ἢν μὲν μή I. J.; — ταὐτά E. H. K., τὰ αὐτά vulg., τωὐτό cod. θ., Mack.; — μή om. θ.; — ἐκ τοῦ τρίτου H.; — μέχρι cod. θ.

71. εἰσὶ — πνεῦμα.] ὑπό Lind., Littr., cum mss. nonnullis, ἀπό vulg.; — σίτων cod. θ.; — τοιαῦτα vulgo sine καί, E. H. Q. et Zuing. in marg., Lind. τοιάδε sine καί, sed καὶ τοιάδε cod. θ.; — ἐγγίνονται cod. θ., ἐπιγίνονται vulg.: — καί τι τῆς cod. θ., Littr., καὶ ἐπὶ τῆς vulg.; — ὑγρανθείσης omm. Ald., Parr. 6., θ.; — γαληνίζεται cod. θ., Littr.

οὐκέτι — ὄψιος.] δή alii et Littr. cum mss., δή om. vulg.; — ἀλλά E. H. K.; — δοκέειν cod. θ.

ράσσεσθαι τὸν ἄνθρωπον καὶ δοκέει μάχεσθαι· ὁκοῖα γάρ τινα πάσχει τὸ σῶμα, τοιαῦτα ὁρῇ ἡ ψυχὴ, κρυπτομένης τῆς ὄψιος. Ὁκόταν οὖν ἐς τοῦτο ἥκῃ [1]ὥνθρωπος, ἐγγὺς ἤδη τοῦ κάμνειν ἐστί· ὅ τι δὲ ἕξει [2]νόσημα, ἄδηλον· ὁκοίη γὰρ ἂν ἔλθῃ ἀπόκρισις καὶ ὅτου ἂν κρατήσῃ, τοῦτο ἐνόσησε. Ἀλλ' οὐ χρὴ προέσθαι τὸν εὖ φρονέοντα, ἀλλ' ὁκόταν ἐπιγνῷ [3]τῶν τεκμηρίων τὰ πρῶτα, τῆς θεραπείης ἔχεσθαι, καὶ δὴ τοῦτον ὥσπερ τὸν πρότερον ἐκθεραπευθῆναι, πλείονος δὲ χρόνου καὶ λιμοκτονίης δέεται.

cernit oculis clausis. Cum igitur eo quis devenerit, prope iam aegrotat. Quinam vero morbus affuturus sit, incertum. Qualis enim secretio ad partem venerit, et quamcumque superaverit, eam morbo afficiet. Sed recte intelligentem id contemnere non oportet, sed cum primum signa cognoverit, curationi insistendum. Et hic sane veluti prior curandus est, longioris autem temporis etiam inedia opus habet.

οβ'. Ἔστι δὲ καὶ τοιάδε τὰ τεκμήρια πλησμονῆς· ἀλγέει τὸ σῶμα οἷσι μὲν ἅπαν, οἷσι δὲ μέρος τι τοῦ σώματος, ὅ τι ἂν τύχῃ· τὸ δὲ ἄλγος ἐστὶ ὁκοῖον κόπος· [4]δοκέοντες οὖν κοπιῆν, ῥαθυμίῃσί τε καὶ πλησμονῇσι θεραπεύονται, μέχρις ἂν ἐς πυρετὸν ἀφικνῶνται· καὶ οὐδέκω οὐδὲ τοῦτο γιγνώσκουσι, ἀλλὰ λουτροῖσί [5]τε καὶ σιτίοισι χρησάμενοι ἐς περιπνευμονίην [6]κατέστησαν τὸ νόσημα καὶ ἐς κίνδυνον τὸν ἔσχατον ἀφικνέονται. Ἀλλὰ χρὴ προμηθέεσθαι πρὶν ἂν ἐς τὰς νούσους ἀφικνέωνται καὶ θεραπεύεσθαι τῷδε τῷ τρόπῳ· [7]μάλιστα μὲν πυριηθέντα μαλακῇσι πυρίῃσι· εἰ δὲ μὴ, λουσάμενον πολλῷ καὶ θερμῷ, διαλύσαντα τὸ σῶμα ὡς μάλιστα, χρησάμενον τοῖσι σιτίοισι πρῶτον μὲν τοῖσι δριμέσι καὶ πλείστοισι, εἶτα τοῖσι [8]ἄλλοισι, ἐξεμέσαι εὖ, καὶ ἐξαναστάντα περιπατῆσαι [9]ὀλίγον χρόνον ἐν ἀλέῃ, ἔπειτα καταδαρθεῖν· πρωῒ δὲ τοῖσι περιπάτοισι [10]πολλοῖσι ἐξ ὀλίγου προσάγοντα χρέεσθαι καὶ τοῖσι γυμνασίοισι κού-

72. At sunt etiam eiusmodi signa repletionis. Quibusdam quidem totum corpus dolet, quibusdam vero pars aliqua corporis, quaecumque ea fuerit. Dolor vero est uti lassitudo et lassitudine teneri sibi videntur, desidiaque et repletione curationem adhibent, quoad in febrem incidant. Neque tamen adhuc hoc cognoscunt, sed balneis et cibis adhibitis morbum ad pulmonis inflammationem deducunt et in extremum periculum incidunt. Verum antequam in hos morbos incidant, consilio prospiciendum et ad hunc modum curandum, praecipue quidem mollibus fomentis aegrum fovendo, sin minus, multa calida lavando et corpus quam maxime dissolvendo et post exhibitos cibos primum quidem acres et plurimos, deinde salsos, probe vomitum ciendo. Postea exsurgendum modicoque tempore loco tepido deambulandum, deinde dormiendum. Mane vero deambulationibus paulatim adiectione facta utendum exercitationibusque levioribus et ciborum oblationibus,

[1] ὁ ἄνθρ. — [2] τὸ νόσημα μάλα δῆλον. — [3] τὰ πρ. τῶν τεκμ. — [4] καὶ δοκέουσι κοπιῆν. — [5] τε om. — [6] κατέστησαν. — [7] μάλιστα μέν om. — [8] ἁλυκοῖσι. — [9] ὀλ. χρ. om. — [10] πολλ. om.

ὁκόταν — ἐνόσησε.] ὥνθρ. E. H., θ., Littr., ὁ ἄνθρ. vulg.; — ὅ τι δὲ ἕξει (ἥξει Ald., Parr. 5., Zuing., Lind., ἥξῃ E.) τὸ νούσημα (νόσημα E. H. J. K.) μάλα δῆλον· ὁκοῖα (ὁκοίη Lind., Mack) γάρ vulg.; ὅτι ἥξει νόσημα ἄδηλον· ὁκοίη γάρ cod. θ., quem Littr. fere sequitur, et ego sequor, nisi quod ἕξει vulgatae retineo; — ὅκου pro ὅτου cod. θ., Mack.; — ἐνοσοποίησε iidem.

ἀλλ' οὐ — δέεται.] προσείσθαι cod. θ.; — ἀφρονέοντα vulg., εὐφρονέοντα K., φρονέοντα cod. θ., Mack.; — τῇσι θεραπείῃσιν ὥσπερ τὸν πρῶτον ἐκθεραπευθῆναι cod. θ.; — καὶ δὴ τοῦτον om. pr. m. in H.; — δεῖ pro δή Parr. 4.

72. ἔστι — ἀφικνέονται.] καὶ τοιάδε τὰ (τά omm. E. K.) τεκμήρια vulg., καὶ τὰ τοιάδε τεκμ. cod. θ.; Littr.; — ὅ τι ἂν τύχῃ om. θ.; — δ' ἄλγος E. H. K.; — οἱονεὶ κόπος cod. θ.; — καὶ δοκέουσι (δοκοῦντες E. H. K., δοκέοντες Q.') κοπιῆν vulg., δοκέοντες οὖν κοπιῆν cod. θ., Littr.; — μέχρι ἣν ἐς cod. θ.; — σίτοισι E. H., θ.

ἀλλὰ — περιπάτων.] πρὶν ἐς sine ἄν E. H. K., θ.; — ἀφικνέεσθαι pr. m. in H., ἀφίκηται cod. θ.; — μάλιστα μέν omm. Parr. 4.; — πυρίῃσι τὸν ἄνθρωπον vulgo, τὸν ἄνθρ. omm. pr. m. in H., θ.; — ὕδατι πολλῷ E. H. K., θ., Mack., — διαλούσαντα J.; — τῶν σιτίων cod. θ., pro τοῖσι σιτίοισι; — ἁλυκοῖσι vulg., ἄλλοισι cod. θ., Littr.; — ὀλίγον χρόνον omm. Parr. 3.; — ἔπειτα καταδαρθεῖν (καταδραθεῖν Parr. 4.) om. θ.; — πολλοῖσι post περιπάτοισι ex cod. θ., Littr., πολλοῖσι om vulg.; — καὶ πρότερον sine τό

φοισι καὶ τῇσι προσαγωγῇσι καθάπερ καὶ τὸ πρότερον· ἰσχνασίης γὰρ οὗτος πλείστης δέεται καὶ περιπάτων. Ἢν δὲ μὴ προνοηθεὶς ἐς πυρετὸν ἀφίκηται, προσφέρειν μηδὲν ἄλλο ἢ ὕδωρ [1]ἡμερέων τριῶν· ἢν μὲν οὖν ἐν ταύτῃσι παύσηται· εἰ δὲ μή, πτισάνης χυλῷ θεραπεύεσθαι, καὶ ἢ [2]τεταρταῖος, ἢ ἑβδομαῖος καταστήσεται, εἰ ἐξιδρώσει· ἀγαθὸν δὲ τοῖσι χρίσμασι χρέεσθαι τοῖσι ἱδρωτικοῖσι ὑπὸ τὰς κρίσιας, ἐξαναγκάζουσι γάρ.

ογ΄. Πάσχουσι δέ τινες καὶ τοιάδε ἀπὸ πλησμονῆς· τὴν κεφαλὴν [3]ἀλγέουσι καὶ βαρύνονται καὶ τὰ βλέφαρα πίπτει αὐτοῖσι ἀπὸ τοῦ δείπνου, ἔν τε τοῖσι ὕπνοισι ταράσσονται, καὶ δοκέει θέρμη ἐνεῖναι, ἥ τε κοιλίη ἐφίσταται ἐνίοτε· ὁκόταν δ' ἀφροδισιάσῃ, δοκέει κουφότερος εἶναι ἐς τὸ παραυτίκα, ἐξ ὑστέρου δὲ μᾶλλον βαρύνεται· τούτοισι ἡ κεφαλὴ τὴν πλησμονὴν ἀντισπῶσα τήν τε κοιλίην ἐφίστησι καὶ αὐτὴ βαρύνεται· κίνδυνοί [4]τε ὑπόκεινται [5]κακοὶ, καὶ ὅπῃ ἂν ῥαγῇ ἡ πλησμονή, τοῦτο διαφθείρει. Ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε· ἢν [6]μὲν βούληται τὴν θεραπείην ταχεῖαν ποιέεσθαι, [7]προπυριηθέντα ἐλλεβόρῳ καθαρθῆναι, εἶτα προσάγειν τοῖσι σιτίοισι κούφοισι καὶ μαλακοῖσι [8]ἐφ' ἡμέρας δέκα· τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσι, ὅκως [9]κρατήσει ἡ κάτω κοιλίη τὴν κεφαλὴν [10]τῇ κάτω ἀντισπάσι· καὶ τοῖσι δρόμοισι βραδέσι καὶ τοῖσι ὀρθρίοισι [11]περιπάτοισι ἱκανοῖσι τῇ τε ἐν ἐλαίῳ πάλῃ· ἀρίστῳ τε χρέεσθαι καὶ ὕπνῳ ἀπὸ τοῦ ἀρίστου μὴ μακρῷ· ἀπὸ [12]τοῦ δείπνου δὲ ὁκόσον

veluti antea; hic enim extenuatione plurima et deambulationibus indiget. Quodsi nulla adhibita providentia in febrem incidat, per dies tres praeter aquam nihil offerendum. Interea igitur si sedetur, bene habet; sin minus, ptisanae succo curatio instituenda et vel quarto, vel septimo die restituetur, si sudaverit. Prodest vero sub iudicationis tempus illitionibus sudorem moventibus uti, cum hae sudorem provocent.

73. At quibusdam etiam ex plenitudine haec accidunt: caput dolore tentatur et gravatur palpebraeque ipsis a coena concidunt et inter dormiendum turbantur, calorque inesse videtur et alvus interdum sistitur. Ex rerum venerearum usu levior statim sibi videtur, at postea gravior. In his caput plenitudinem ad se attrahens tum alvum supprimit, tum ipsum gravatur. Periculum autem malum imminet et quamcumque in partem erumpat repletio, eam corrumpit. Sed hac ratione providendum. Si celerem curationem esse voles, veratro purgandum post fotum administratum, deinde cibi leves et molles ad dies decem offerendi, iique deiicientes, quo alvus inferior deorsum revellendo caput superet. Cursibus tardis et matutinis deambulationibus, quae satis esse possunt, utendum luctaque ex oleo et prandio somnoque non longo a prandio; a coena vero tantum exsurgere satis est. Et partim quidem balnea, partim vero inunctiones adhibendae, balnea autem tepida; a coitu vero abstinendum. Haec quidem expe-

[1] ἡμ. τριῶν om. — [2] τεταρταίοις ἢ ἑβδομαίοις. — [3] ἀλγέει καὶ βαρύνεται. — [4] δέ. — [5] κακοὶ καί om. — [6] δέ. — [7] προπυρ. om. — [8] ἐφ' om. [9] κρατήσῃ. — [10] κάτω ἀντισπάσαι. — [11] καὶ τοῖσι περιπ. — [12] δὲ τοῦ δ. ὁκ.

cod. θ.; — *ἰσχνασίης δέ* vulgo, *γάρ* de meo; — *τοῦτο δέεται* vulg., *οὗτος δεῖται* cod. θ., unde *οὗτος* dedi.

ἢν δὲ μὴ — γάρ.] *ἀφίκηται ἐς πυρετόν* cod. θ.; — *προφέρειν* vulg., alii et Littr. *προσφέρειν* cum mss. pluribus; — *μηδέν* cod. θ.; — *ἄλλο ἀλλ' ἤ* vulgo, *ἄλλο* om. pr. m. in H., *ἀλλ'* om. θ., quem sequor; — *ἡμερέων τριῶν* omm. Parr. 3.; — *ταύτῃ* vulg., *ταύτῃσι* cod. θ., Mack., Littr.; — post *παύσηται* Mack. de suo *καλῶς ἔχει*, otiose; — *ἢν δὲ μή* cod. θ.; — *καί* ante *ἢ τεταρτ.* om. pr. m. in H.; *ἢ γάρ* vero pro *καὶ ἤ* cod. θ.; — *τεταρταίοισι ἢ ἑβδομαίοισι* ex libris non paucis, qui dativum in *οις* ferunt, Mack., cf. lect. Voss., vulgo *τεταρταῖος ἢ ἑβδομαῖος*; mihi etiam dativus dandus videtur, si vulgatum *ἐκστήσεται* serves, sed malo pro hoc *καταστήσεται* scribere et *τεταρταῖος ἢ ἑβδομαῖος* nominativo servare; — *ἢ ἐξιδρώσει* E. H. K., sed vitiose; — *χρήμασι τ. ἱδρ. χρῆσθαι* cod. θ.; — *ἀναγκάζουσι* J.

73. *πάσχουσι — διαφθείρει.*] *ἀλγέει καὶ βαρύνεται* vulg., sequor cod. θ. cum Mackio, Littréo; — *τε καὶ δοκέει* idem ms.; — *δ' ἀφροδ.* idem, *δέ* plene vulg.; — *ὕστερον* pro *ἐξ ὑστέρου* J., Zuing. in marg.; — *τε* post *κίνδυνοι* cod. θ., Mack., Littr., *δέ* pro *τε* vulg.; — *κακοὶ καί* ex cod. θ., Mack., Littr., vulgo abest; — *ὅκου* cod. θ.

ἀλλὰ — ἀπέχεσθαι.] *ἢν μέν* cod. θ., Littr., *μέν* om. vulg.; — *θεραπ. ποιέεσθαι ταχυτέρην* cod. θ.; — *προπυριηθέντα* ex θ. adscivit Littr., vulgo om.; — *μαλθακοῖσι* idem cod.; — *ἐφ'* (*ἐς* E.) cod. θ., Littr., vulgo om.; — *ὀπτοῖσι* pro *σιτίοισι* cod. θ.; — *κρατήσῃ* vulg., *κρατήσει* Littr.: — *τὴν* (addunt *ἄνω* P′ Q′. Zuing. in marg.) *κεφαλὴν* (addunt

ἐξαναστῆναι ἱκανόν· καὶ τὸ μὲν λούεσθαι, τὸ δὲ [1]χρίεσθαι, λούεσθαι δὲ χλιερῷ· λαγνείης δὲ ἀπέχεσθαι. Αὕτη μὲν ἡ ταχυτέρη θεραπείη· εἰ δὲ μὴ βούλοιτο φαρμακοποτέειν, λουσάμενον πολλῷ, ἐμέσαι [2]σιτίοισι χρησάμενον τοῖσι δριμέσι, ὑγροῖσι καὶ γλυκέσι καὶ ἁλμυροῖσι, ἐξ ἐμέτου δὲ ὅσον ἐξαναστῆναι· πρωῒ δὲ τοῖσι περιπάτοισι πρᾳέσι προσάγειν καὶ τοῖσι γυμνασίοισι τοῖσι προγεγραμμένοισι ἐς ἡμέρας ἕξ· τῇ δὲ ἑβδόμῃ πλησμονὴν προσθέντα ἔμετον ποιῆσαι ἀπὸ τῶν [3]ὁμοίων σιτίων καὶ προσάγειν κατὰ τωὐτό· χρέεσθαι δὲ τούτοισι ἐπὶ τέσσερας ἑβδομάδας, μάλιστα γὰρ ἐν τοσούτῳ χρόνῳ καθίσταται· εἶτα προσάγειν τοῖσί τε σίτοισι καὶ τοῖσι πόνοισι, τούς τε ἐμέτους ἐν πλείονι χρόνῳ ποιέειν, τά τε σιτία ἐν ἐλάσσονι προσάγειν, ὅκως τὸ σῶμα [4]ἀνακομίσηται, καθιστάναι τε τὴν δίαιταν ἐς τὸ ξύνηθες κατὰ μικρόν.

ditior est curatio. Quodsi medicamentorum potiones sumere nolit, post copiosum balneum a cibis acribus, humidis ac dulcibus et salsis vomat, a vomitu vero exsurgat tantum. Matutinae autem deambulationes lenes et exercitationes praescriptae ad dies sex sensim augendae; septimo vero addita repletione ex similibus cibis vomitus movendus est et ad eundem modum sensim adiectio facienda. His autem ad quatuor hebdomadas utendum. Tanto enim fere tempore restituitur. Dein cibos et labores sensim augere et vomitus per longius temporis intervallum facere oportet et cibos augere intra brevius, quo corpus reficiatur; sensimque victus rationem ad pristinum modum reducere oportet.

οδ'. Γίγνεται δὲ καὶ τοιάδε ἀπὸ πλησμονῆς· ὁκόσοισι [5]ἡ μὲν κοιλίη καταπέσσει τὸ σιτίον, αἱ δὲ σάρκες μὴ δέχονται, ἐμμένουσα ἡ τροφὴ φῦσαν ἐμποιέει· ὁκόταν δὲ ἀριστήσῃ, καθίσταται, ὑπὸ γὰρ τοῦ ἰσχυροτέρου τὸ κουφότερον ἐξελαύνεται καὶ δοκέουσι ἀπηλλάχθαι· τὸ δὲ πολὺ πλέον ἐς τὴν ὑστεραίην παραγίγνεται. Ὁκόταν δὲ καθ' ἡμέρην ἑκάστην αὐξανόμενον ἰσχυρὸν γένηται, ἐκράτησε τὸ ὕπαρχον τῶν ἐπεισενεχθέντων, καὶ ἐξεθέρμηνε καὶ ἐτάραξε [6]ἅπαν τὸ σῶμα, καὶ ἐποίησε διάρροιαν· τοῦτο γὰρ ὀνομάζεται, ἕως ἂν αὐτὴ μούνη σαπεῖσα ἡ τροφὴ ὑποχωρέῃ. Ὁκόταν δὲ θερμαινομένου τοῦ σώματος κάθαρσις δριμέα γένηται, τό τε ἔντερον ξύεται καὶ ἑλκοῦται καὶ διαχωρέει αἱματώ-

74. Haec quoque ex plenitudine accidunt; quibus ventriculus cibum quidem concoquit, carnes vero minime recipiunt, alimentum intus manens flatum infert, post prandium vero subsidet. Levius enim a valentiore expellitur et sibi liberari videntur, sed postridie multo copiosius adest. Cum autem in dies increscendo vires acquisiverit id quod adest quae superingeruntur superat, corpusque totum calefacit et perturbat et alvi profluvium infert. Hoc enim nomine donatur, quoad alimentum solum computrescens per alvum secedit. At ubi calefacto corpore acria purgantur, intestinum raditur et ulceratur, cruentaque per alvum demittuntur; quod dysenteria appellatur, tum gravis, tum periculosus morbus. Verum consilio prospiciendum

[1] χρέεσθαι. — [2] ἐκ σιτίων γλυκέων καὶ ἁλυκῶν ἐξ ἐμέτου δέ. — [3] ἐμέτων. — [4] κομίσηται. — [5] μὲν ἡ κ. — [6] ἅπαν om.

τήν I. J., Ald.) κάτω (κάτω κεφαλήν H.) ἀντισπάσαι vulg.; cum Littréo sequor θ.; — post ὀρθρίοισι vulgata fert καὶ τοῖσι, quod cum θ. omisit Littr.; — πάλη ἐν ἐλαίῳ E. H. K.; — χρήσθω cod. θ.; — μή E. H. I. K., θ., οὐ vulg.

αὕτη — μικρόν.] ταχυτάτη cod. θ.; — ἐμέσαι ἐκ σιτίων γλυκέων καὶ ἁλυκῶν vulg., ἐμέσαι ἐν (ἐν om. pr. m. in H.) σιτίοισι και γλυκέσι καὶ ἁλμυροῖσι E. H. K.; cum Littréo sequor θ., nisi quod σίτοισι fert hoc ms.; — πρᾳέσι cod. θ., vulgo om.; — γεγραμμένοισι E. H. K., θ.; — δ ἑβδ. cod. θ.; — ἔμετον ποιήσασθαι vulg., sequor θ.; — τέσσερας per ε̄ idem; — τοῖσί τε — προσάγειν ex θ. recepit Littr., vulgo om.; equidem ποιέειν de meo scripsi et ἐν πλείονι χρόνῳ pro codicis lectione ποιέεσθαι et σὺν πλ. χρ.; — ἀνακομίσηται cod. θ., κομίσηται vulg.; — καθιστάναι τε cod. θ., Littr., καθιστάναι δέ vulg.; — δίαιταν cod. θ., Littr., αἰτίην vulg.

74. γίγνεται — παραγίγνεται.] ἡ μέν cod. θ., Littr., μὲν ἡ vulg.; — ἐμμένουσα δὲ ἡ τροφή Parr. 4., θ.

ὁκόταν — ὑποχωρέῃ.] ἐπεισηνεχθέντων E.; — ἅπαν cod. θ., Littr., ἂν (ἂν omm. Parr. 5.) pro ἅπαν vulg.; — χωρέει cod. θ.

ὁκόταν — ἐπικίνδυνος.] δριμια cod. θ., i. e. δριμεῖα; —

δεα, τοῦτο δὲ δυσεντερίη καλέεται, νοῦσος χαλεπή τε καὶ ἐπικίνδυνος. Ἀλλὰ χρὴ προμηθέεσθαι καὶ τὸ ἄριστον ἀφαιρέειν καὶ τοῦ δείπνου τὸ τρίτον μέρος· τοῖσι δὲ [1] πόνοισι πλείοσι, τῇσι πάλῃσι καὶ τοῖσι δρόμοισι καὶ περιπάτοισι χρέεσθαι ἀπό τε τῶν γυμνασίων καὶ ὄρθρου· ὁκόταν δ' ἡμέραι δέκα γένωνται, προσθεῖναι τοῦ σίτου τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος, καὶ ἔμετον ποιῆσαι καὶ προσαγαγεῖν ἐς ἡμέρας τέσσερας· ὁκόταν δὲ ἄλλη δέκας γένηται, τόν τε σῖτον τὸν λοιπὸν προσθεῖναι καὶ ἔμετον ποιῆσαι καὶ προσάγων [2] πρὸς τὸν σῖτον ὑγιέα ποιήσεις ἐν τούτῳ τῷ χρόνῳ· τοῖσι δὲ πόνοισι θαρρῶν τὸν τοιοῦτον πιέζειν.

est prandiumque detrahendum et coenae tertia pars, laboribus autem pluribus, lucta et cursibus et deambulationibus utendum ab exercitationibus et matutinis. Cum vero dies decem praeterierint, cibi detracti dimidium apponendum et vomitus ciendus atque quatuor diebus cibus sensim offerendus. Ubi vero alii decem dies lapsi sunt, tum reliquus cibus adiiciendus, tum vomitus faciendus et sensim ad cibum adducendo intra hoc tempus sanitati restitues. Laboribus autem hic audacter urgendus est.

οε'. Γίγνεται δὲ καὶ τοιάδε· [3] ἐς τὴν ὑστεραίην τὸν σῖτον ἐρυγγάνει ὠμὸν ἄτερ ὀξυρεγμίης, [4] ἡ δὲ κοιλίη διαχωρέει, ἐλάσσω μὲν ἢ πρὸς τὰ σιτία, ὅμως δὲ ἱκανῶς, πόνος δὲ οὐδεὶς ἐγγίγνεται· τούτοισι ἡ κοιλίη ψυχρὴ ἐοῦσα οὐ δύναται καταπέσσειν τὰ σιτία ἐν τῇ νυκτί· ὁκόταν οὖν [5] κινηθῇ, ἐρυγγάνει τὸν σῖτον ὠμόν. Δεῖ οὖν τούτῳ παρασκευάσαι τῇ κοιλίῃ θερμασίην ἀπό τε τῆς διαίτης καὶ ἀπὸ τῶν πόνων· πρῶτον μὲν οὖν χρὴ ἄρτῳ [6] θερμῷ ξυγκομιστῷ χρέεσθαι ζυμίτῃ διαθρύπτοντα ἐς οἶνον μέλανα [7] ἢ ἐς ζωμὸν ὑείων κρεῶν τοῖσί τε ἰχθύσι ἑφθοῖσι ἐν ἅλμῃ δριμείῃ· χρέεσθαι [8] μὲν καὶ τοῖσι σαρκώδεσι, ἀκροκωλίοισι τε διέφθοισι τοῖσι ὑείοισι τοῖσί τε πίοσι ὑείοισι ὀπτοῖσι, τοῖσι δὲ χοιρείοισι μὴ πολλοῖσι καὶ σκυλάκων καὶ ἐρίφων· λαχάνοισι δὲ πράσοισί [9] τε καὶ σκορόδοισι ἑφθοῖσι καὶ ὠμοῖσι, βλίτῳ τε ἑφθῷ καὶ κολο-

75. Accidunt quoque talia: Postridie cibum crudum citra ructum acidum eructat; venter vero deiicit minus quidem quam pro ciborum ratione, satis multa tamen, dolor vero nullus adest. His quum ventriculus frigidus sit, cibos per noctem concoquere nequit; motione igitur accedente cibum crudum eructat. In hoc itaque tum victus ratione, tum laboribus ventriculo calorem conciliare oportet. Primum quidem igitur pane calido confusaneo fermentato in vino nigro, aut suillae carnis iusculo intrito utendum, piscibus vero in acri muria decoctis. Carnosis etiam utendum, trunculis suillis percoctis et pinguibus suillis assatis, porcinis vero non multis, neque catulorum, nec haedorum carnibus. Oleribus autem porro et allio cocto et crudo blitoque cocto et cucurbita, tum potionibus meracioribus, tum somnis longis citra prandium primis diebus, tum etiam somnis

[1] δρόμοισι πλέοσι καὶ τῇσι πάλῃσι καὶ τοῖσι περιπ. χρ. — [2] πρός om. — [3] ἐς τὴν ὑστ. om. — [4] ἢν δὲ ἡ κοιλίη. — [5] κριθῇ. — [6] συγκομιστῷ. — [7] ἢ ἐς ζ. — [8] δέ. — [9] τε om.

διαχωρέεται vulg., διαχωρέει K.; — τε omm. E. θ. Post ἐπικίνδυνος cod. θ. fert μάλιστα ὑπὸ μελαίνης χολῆς.

ἀλλὰ — πιέζειν.] ἀφαιρέεσθαι cett., ἀφαιρέειν de meo; — τοῖσι δὲ δρόμοισι πλείοσι καὶ τῇσι πάλῃσι καὶ τοῖσι περιπάτοισι χρέεσθαι vulg.; cum Littréo sequor θ., nisi quod hic, ut solet, χρῆσθαι habet; — ὁκόταν δέκα γίνωνται vulg., ὁκόταν δή (δέ Zuing. in marg., Lind.) περ αἱ δέκα γένωνται Ald., Parr. 6., Zuing. in marg., Lind.; cum Littréo sequor θ.; — προσθέσθαι cod. θ.; — ποιήσασθαι cett., ποιῆσαι de meo, vide varr. lectt. paulo inferius; — προσάγειν cod. θ.; — ἐς om. idem; — τέσσερας per ε̅ idem; — τό τε σίτον τὸ λοιπόν cod. θ.; — προσθέσθαι vulg., προσθέσθω E. H., προσθεῖναι de meo; — ποιήσασθαι vulg., ποιῆσαι pr. m. in H.; — τὸ σίτον cod. θ.; — ceteri θαρρεῖν et πιέζων; me iudice noster θαρρῶν — πιέζειν scripsit.

75. γίγνεται — ὠμόν.] Post τοιάδε vulgo πλησμονή, quod omm. pr. m. in H., θ., quos sequor; — ἐς τὴν ὕστερ. omm. Parr. 4.; — ἢν δὲ ἡ κοιλίη διαχωρέῃ vulg., cum Littr. sequor θ.; — σῖτα idem; — καταπέσσειν τὸν σῖτον idem; — γοῦν vulgo, οὖν E. H., θ.; — ἐρυγγάνει tum h. l., tum paulo ante de meo, libri utroque loco ἐρυγγάνεται.

δεῖ οὖν — αὐτῷ.] ἀπό τε τῶν πόνων vulg., καὶ ἀπό τε τῶν π. E. H., καὶ τῶν π. solum cod. θ.; — καὶ πρῶτον vulg., καί omm. E. H., θ., Voss.; — συγκομιστῷ vulg. pro θερμῷ, quod ex θ. dedit Littr., mihi utrumque dandum videtur, cap. 79. occurrunt ἄρτοι ἄζυμοι ξυγκόμιστοι; —

κύνθῃ· πόμασί τε ἀκρητεστέροισι, ὕπνοισί τε μακροῖσι, ἀναριστίῃ τε τὴν πρώτην, ὕπνοισί τε ἀπὸ τῶν γυμνασίων τοῖσί [1]τε δρόμοισι καμπτοῖσι ἐξ ὀλίγου [2]προσάγων πάλῃ τε μαλακῇ ἐν ἐλαίῳ, λουτροῖσί τε ὀλίγοισι, χρίσμασί τε πλείοσι τοῖσί τε πρωῒ περιπάτοισι πλείστοισι, ἀπὸ δείπνου δὲ ὀλίγοισι· καὶ τὸ σῦκον μετὰ τῶν σιτίων ἀγαθὸν, [3]ἄκρητός τε ἐπ' αὐτῷ. Ἐκ δὲ ταύτης τῆς θεραπείης καθίσταται τοῖσι μὲν θᾶσσον, τοῖσι δὲ βραδύτερον.

post exercitationes. Cursibus etiam flexis paulatim increscentibus et lucta molli in oleo et balneis paucis, inunctionibus pluribus, deambulationibus etiam matutinis pluribus, a coena vero modicis utendum. Prodest etiam ficus cum cibis sumpta et superbibitum merum. Ex hac quidem curatione hi quidem citius, illi vero tardius ad sanitatem reducuntur.

ος'. Ἄλλοι δέ τινες τοιάδε πάσχουσι· — ἀχροοῦσι καὶ ὁκόταν φάγωσι ἐρυγγάνουσι ὀλίγον ὕστερον ὀξέα καὶ ἐς τὰς ῥῖνας ἀνέρπει τὸ ὀξύ. Τούτοισι τὰ σώματα οὐ καθαρά ἐστι· ὑπὸ γὰρ τοῦ πόνου πλεῖον τὸ ξυντηκόμενον τῆς σαρκὸς ἢ τὸ ἀποκαθαιρόμενον ὑπὸ τῆς περιόδου· ἐμμένον δὴ τοῦτο ἐναντιοῦται τῇ τροφῇ καὶ βιάζεται καὶ ἀποξύνει. Ἡ μὲν οὖν τροφὴ ἐρυγγάνεται, αὐτὸ δὲ ὑπὸ [4]τὸ δέρμα ἐξωθέεται καὶ τῷ ἀνθρώπῳ ἄχροιαν ἐμποιέει, καὶ νούσους ὑδρωποειδέας ἀποκυΐσκει. Ἀλλὰ χρὴ προμηθέεσθαι [5]ὧδε· ἡ μὲν ταχυτέρη θεραπείη, ἐλλέβορον πίσαντα προσάγειν, ὥσπερ μοι πρότερον γέγραπται, ἡ δὲ ἀσφαλεστέρη ὑπὸ τῆς διαίτης ὧδε· πρῶτον μὲν λουσάμενον θερμῷ ἔμετον ποιήσασθαι, εἶτα προσάγειν [6]ἐς ἡμέρας ἑπτὰ τὸ σιτίον τὸ εἰθισμένον· δεκάτῃ [7]δὲ ἡμέρῃ ἀπὸ τοῦ ἐμέτου

76. Sunt autem quibus talia accidunt. Pallent et paulo post cibum acida eructant et odor acidus sursum nares petit. His corpora impura sunt, cum plus ex carne a labore colliquetur quam ex ambitu repurgetur. Quod sane intus remanens alimento adversum est eique vim adfert et acidum reddit. Alimentum igitur eructatur, ipsum vero sub cutem propellitur, hominique pallorem adfert morbosque aquam inter cutem referentes parit. Verum hac ratione prospicere oportet: celerior quidem curatio est post epotum veratrum ad cibos deducere, quemadmodum a me scriptum est antea; tutior vero per victus rationem ad hunc modum. Primum quidem a balneo calido vomitus ciendus, deinde septem diebus consuetus cibus admovendus. Decimo vero post vomitum die rursus vomitum moveat et eodem modo cibos assumat, idque

[1] δε. — [2] προσάγειν τε παλ. μαλακήν (sic). — [3] ἄκρητον. — [4] τοῦ δέρματος. — [5] ὧδε om. — [6] ἐς om. — [7] δέ om.

1. *ἐγὼ κ. τ. λ.*] Variae lectt. ad hoc capitulum excerptae tam parvi sunt pretii, ut eas describere supersedeam. Legi solet *ὁκόσα ἔφυ καὶ ἐγένετο*, sed de meo *ὅκως* pro *ὁκόσα* scripsi, quia capitulo 3. revera de ortus ratione exponit. Tum in postremis capituli verbis *τάς* de meo intuli. Sed verbulo moneo de principio, ubi omnes et *χρέομαι* et *ἔχει* praesenti tempore; Littréus: „Les traducteurs, inquit, mettent: Corn.; „Ego ad hunc usque sermonem," Foës.: „Equidem adhuc usque." Mais si tel était le sens, il n'y aurait pas *τά*. J'entends: *pour ce qui s'étend jusqu'à ce traité*, c'est à dire *les preliminaires*." Itaque interpretatur: „J'emploie pour les preliminaires de ce traité les opinions communes, etc." Me iudice, quod de isto *τά* monet, verum non est, et recte interpretati sunt locum Corn. et Foës. Miraris tamen *χρέομαι* et *ἔχει* legi, ubi *ἐχρησάμην* et *εἶχε* exspectaveras; quae confidenter repono. Quodsi ad postrema capitis verba respicias, *νῦν δὲ ἀποφαίνομαι αὐτὸς τὰς ἐμεωυτοῦ γνώμας*, non potes quin existimes *τὰ μέχρι τούτου τοῦ λόγου* spectare ad antecedentem olim et hodie deperditam operis partem. In deperdita parte aliorum et suas opiniones exposuit, in nova hac operis parte suas opiniones ipsius auctor nobis tradit.

2. *δοκέει — αἰθέρα.*] *ὃ θερμὸν ἡμῖν προσαγορεύεται* E. P.'; — *τε* om. C.; — *νοεῖν πάντα* vulg., *πάντα νοέειν* E.; — *ὁρῆν τε καὶ ἀκ.* E., vulgo *τε* abest; — *πάντα εἰδέναι* E.; — *καὶ τὰ ὄντα καὶ τὰ μέλλοντα ἔσεσθαι* vulg., in qua *ἐσόμενα* pro *μέλλ. ἔσεσθαι* P.', Lind.; *ἐόντα τε καὶ ἐσόμενα* E., Littr.; equidem *τά* post *πάντα* de meo intuli, in seqq. partim vulgatam, partim E sequor. Dein *ἐταράχθη ἅπαντα* E. P.'; — *ἐξεχώρησε* post *ἀνωτάτω* C. Tum *αὐτό μοι δοκέει αἰθέρα τοῖσι παλαιοῖσι εἰρῆσθαι* pro *καὶ — αἰθέρα* E. P.'; desiderat autem Merc. apud Mack.: *καὶ ὀνομασθῆναί μοι αὐτὸ δοκέουσιν οἱ παλαιοὶ αἰθέρα καὶ ἐν τούτῳ εἶναι πουλὺ τοῦ θερμοῦ. ἡ δευτέρα μοῖρα κάτωθεν αὐτῇ καλέεται μὲν γῆ, ψυχρὸν καὶ ξηρὸν καὶ πουλὺ κινοῦν· ἡ δὲ τρίτη κ. τ. λ.* Videtur nempe eum offendisse vulgata, quia in ea multum caloris inesse dicitur terrae, quum paulo ante tamen hanc frigidam esse dixit auctor; quod si tamen principium capitis sequentis conferas, patet auctorem nostrum illud, quod vulgo legitur, re ipsa scripsisse. Ald. fert *ὀνομασθῆναι* pro *ὀνομῆναι*. Ceterum citatur ad h. l. Arist. de mundo I. 3., ubi: *Ἀναξαγόρας δὲ κατακέχρηται τῷ ὀνόματι τούτῳ [οὐ καλῶς]· ὀνομάζει γὰρ αἰθέρα ἀντὶ πυρός.* Conferri cum his debet locus e meteor. I. 3.: *Ὁ γὰρ λεγόμενος αἰθήρ, παλαιὰν εἴληφε τὴν προσηγορίαν, ἣν Ἀναξαγόρας μὲν τῷ πυρὶ ταυ-*

αὐτὸ δοκέουσι οἱ παλαιοὶ αἰθέρα. Ἡ δὲ δευτέρα μοῖρα ἡ κάτωθεν καλέεται μὲν γῆ, ψυχρὸν καὶ ξηρὸν καὶ πουλὺ κινοῦν· καὶ ἐν τούτῳ ἔνι δὴ πουλὺ τοῦ θερμοῦ. Ἡ δὲ τρίτη μοῖρα τὸ τοῦ ἠέρος μέσον χωρίον εἴληφε θερμόν τι ἐὸν καὶ ὑγρόν. Ἡ δὲ τετάρτη τὸ ἐγγυτάτω πρὸς τῇ γῇ ὑγρότατόν τε καὶ παχύτατον.

γ'. Κυκλεομένων δὲ τούτων, ὅτε οὖν ἐταράχθη, ἀπελήφθη τοῦ θερμοῦ πουλὺ ἐν τῇ γῇ ἄλλοθι καὶ ἄλλοθι, τὰ μὲν μεγάλα, τὰ δὲ ἐλάσσω, τὰ δὲ καὶ πάνυ σμικρὰ, πλῆθος πολλά. Καὶ τῷ χρόνῳ ὑπὸ τοῦ θερμοῦ ξηραινομένης τῆς γῆς ταῦτα τὰ καταληφθέντα περὶ ἑωυτὰ σηπεδόνας ἐποίεε οἷόν περ χιτῶνας. Καὶ πολλῷ χρόνῳ θερμαινόμενον, ὁκόσον μὲν ἐτύγχανε ἐκ τῆς γαίης σηπεδόνος λιπαρόν τε ἐὸν καὶ ὀλίγιστον τοῦ ὑγροῦ ἔχον, τάχιστα ἐξεκαύθη καὶ ἐγένετο ὀστέα. Ὁκόσα δὲ ἐτύγχανε κολλωδέστερα ἐόντα καὶ τοῦ ψυχροῦ μετέχοντα, ταῦτα δὴ θερμαινόμενα οὐκ ἠδύνατο ἐκκαυθῆναι, οὐδὲ μὴν ὑγρὰ γενέσθαι· διὰ τοῦτο ἰδέην ἀλλοιοτέρην ἔλαβε τῶν ἄλλων καὶ ἐγένετο νεῦρα στερεά· οὐδὲ γὰρ ἐνῆν πολὺ τοῦ ψυχροῦ. Αἱ δὲ φλέβες τοῦ ψυχροῦ εἶχον πουλύ· καὶ τούτου τοῦ ψυχροῦ τὸ μὲν πέριξ ὅσον κολλωδέστατον ἦν, ὑπὸ τοῦ θερμοῦ ἐξοπτηθὲν, μῆνιγξ ἐγένετο, τὸ δὲ ἐντὸς ψυχρὸν ἐὸν κρατηθὲν ὑπὸ τοῦ θερμοῦ διελύθη καὶ ἐγένετο ὑγρὸν διὰ

Altera autem pars, quae locum infimum sortita est, *terra* quidem appellatur, frigida et sicca, multas motiones habens; inest autem in hoc quoque multum calidi. Tertia vero pars medium aëris locum nacta est, calida quum sit et humida. Quarta vero locum terrae proximum, quum sit humidissima et crassissima.

3. His vero in orbem agitatis, quum turbata essent, calidi magna pars hîc illic in terra intercepta est, partim quidem magna copia, partim minore, partim etiam valde parva, sed numero multas particulas efficiens. Et temporis successu a calido resiccatâ terrâ, ista intercepta circum se putredines excitarunt, veluti tunicas. Ac longo tempore incalescens quod quidem ex terra putredine afficiebatur, quum esset pingue et parum humidi habens, celerrime exurebatur et ossa fiebat. Quae vero natura sua erant magis glutinosa et frigido praedita, calefacta non potuerunt exuri, neque humida fieri; quapropter aliam speciem induebant a reliquis diversam et nervi solidi fiebant; neque enim multum frigidi inerat. Venae vero frigidi multum habebant; cuius frigidi pars exterior, quanta valde glutinosa erat, a calido exassata membrana fiebat; quod vero intus erat frigidum a calido superatum dissolvebatur ideoque humidum fiebat. Eadem ratione etiam fauces, gula, venter et intestina ad podicem usque cava facta sunt:

τὸν ἡγήσασθαί μοι δοκεῖ σημαίνειν· τά τε γὰρ ἄνω πλήρη πυρὸς εἶναι· κἀκεῖνος τὴν ἐκεῖ δύναμιν αἰθέρα καλεῖν ἐνόμισε κ. τ. λ.

ἡ δὲ δευτέρα — θερμοῦ.] *δέ* de meo intuli; — *ἡ* ante *κάτωθεν* cum Lind. dedi. Vulgo *αὐτῇ* post *κάτωθεν* legitur, pro quo *αὐτή* Zuing. in marg., Foës. in not., Mack., Littr.; si pronomen servare velis, *αὕτη* dandum erit, sed ego repudiare malo; *κάτωθεν ἐν αὐτῇ κλονέεται μὲν γῆ* Zuing. m. In seqq. *ἔνι* reponit Littr. pro *ἐνῇ*.

ἡ δὲ τρίτη — ὑγρόν.] *μοῖρα* (addit *ἡ* Lind.) *καὶ τοῦ ἠέρος* vulg., *μοῖρα ἡ τοῦ ἠ.* Littr.; equidem *τό* pro *καί* scripsi in vulgata. Dein *μέσον — τετάρτη* omm. C., Ald.; — *ἐόν* Lind., *ὂν* vulg.; — *καὶ ὑγρόν* e Calvo dederunt Lind., Littr., vulgo om.

ἡ δὲ τετάρτη — παχύτατον.] *τοῦ ἐγγυτ.* vulg., *ἡ τοῦ ἐγγυτ.* Lind., Littr.; — ego *τό* pro *τοῦ* repono; nempe *εἴληφε τὸ ἐγγυτάτω πρὸς τῇ γῇ.*

3. *κυκλεομένων — πολλά.*] *ὅτε οὖν ἐταράχθη* vulgo, *ὅτε συνετ.* C., Littr.; — *ἀπελείφθη* vulgo, *ἀπεκλείσθη* Corn., Lind., Mack., item Zuing. in m., qui etiam *ἀπελήφθη*, quod solum probo; — *καὶ ἄλλοθι* de suo explevit Littr, quem sequor; — *τὸ δὲ πλῆθος* Corn., *τὰ δὲ πλ.* Lind.

καὶ — χιτῶνας.] *ταῦτα* cett., *ταῦτα τά* de meo; — *αὐτά* ceteri, de meo mutavi; — *ἐποίεε* de meo, *ποιέει* cett.; — *οἷον περὶ χ.* vulgo, cum Littréo sequor K.', Corn.

ὁκόσα — ψυχροῦ.] *ταῦτα δή* Lind., Mack., *ταῦτα δέ* vulg.; — *θερμαινόμενα εἰδέην ἀλλοιοτέρην ἔλαβε τῶν ἄλλων καὶ ἐγίνετο νεῦρα στερεά· οὐκ ἠδύνατο γὰρ ἐκκαυθῆναι, οὐδὲ ξηρὰ γενέσθαι· οὐ γὰρ ἦν τὸ λιπαρόν· οὐδὲ μὴν* (*μέν* Mack.) *ὑγρὰ γενέσθαι· οὐδὲ γὰρ ἐνῆν τοῦ ψυχροῦ αὐτῷ* Lind., Mack.; quam correctionem otiosam esse opinatur Littr. Sed Zuing. in marg. ad *οὐδὲ μήν* adscriptum habet: *οὐδὲ ξηρὰ γενέσθαι, οὐ γὰρ ἦν τὸ λιπαρὸν, ὡς ἐκκαυθῆναι*, unde profluxisse videtur Lindani lectio. Zuing. etiam ad vulgatum *τοῦ ὑγροῦ* adnotat *ὑγρά*, quod probat Foës. in adn. et mihi recipiendum est visum; — *ψυχροῦ* pro *ὑγροῦ* vulgatae fert C. Porro *πολύ* Calv., Foës. in adn., Littr.; vulgo abest. Vulgo *τοῦ ψυχροῦ αὐτῷ*, sed *αὐτό* C., eandemque lect. Foës. iam memoravit; equidem pron. abiicio; si velis addere, saltem *ἐν αὐτοῖσι* requiritur.

αἱ δὲ φλέβες — τοῦτο.] *τὸ δὲ ψυχρὸν ἐνεόν* Zuing. in

τοῦτο. Κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ φάρυγξ καὶ ὁ στόμαχος καὶ ἡ γαστὴρ καὶ τὰ ἔντερα ἐς τὸν ἀρχὸν κοῖλα ἐγένετο· τοῦ γὰρ ψυχροῦ αἰεὶ θερμαινομένου τὸ μὲν πέριξ ἐξωπτήθη ὅσον κολλῶδες ἦν καὶ ἐγένετο χιτὼν, τὸ δὲ ἐντὸς τοῦ ψυχροῦ, οὐ γὰρ ἔην ἐν αὐτῷ οὔτε λιπαρὸν, οὔτε κολλῶδες πουλὺ, διετάκη καὶ ἐγένετο ὑγρόν. Κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ κύστις· — πουλὺ ψυχρὸν ἀποληφθὲν ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον διελύθη καὶ ἐγένετο ὑγρόν· οὐ γὰρ ἔην ἐν αὐτῷ οὔτε τοῦ λιπαροῦ οὔτε τοῦ κολλώδεος· ὅσον δὲ περιῆν χιτὼν ἐγένετο. Ἀτὰρ καὶ περὶ τῶν ἄλλων, ὅσα κοῖλα, τὸν αὐτὸν ἔχει τρόπον· ὅκου μὲν ἦν τοῦ κολλώδεος πλέον ἢ τοῦ λιπαροῦ, χιτὼν ἐγένετο· ὅκου δὲ τοῦ λιπαροῦ πλέον ἢ τοῦ κολλώδεος, ὀστέα ἐγένετο. Ὡυτὸς δὲ λόγος καὶ περὶ τῶν ὀστέων· ὅκου μὲν μὴ ἐνῆν τοῦ κολλώδεος, τοῦ δὲ λιπαροῦ καὶ τοῦ ψυχροῦ, ἐξεκαίετο θᾶσσον διὰ τὸ λιπαρὸν, καὶ ταῦτα τῶν ὀστέων καὶ σκληρότατα καὶ στριφνότατα· ὅκου δὲ λιπαρὸν καὶ κολλῶδες παραπλήσια, ταῦτα δὴ τῶν ὀστέων σηραγγώδεα. Περὶ μὲν τούτων οὕτως· τὸ μὲν ψυχρὸν πήγνυσι· τὸ δὲ θερμὸν διαχέει, ἐν δὲ τῷ πολλῷ καὶ ξηραίνει χρόνῳ· ὅκου δὲ ἂν τοῦ λιπαροῦ ξυνίῃ τι, τούτοισι θᾶσσον ἐκκαίει καὶ ξηραίνει· ὅκου δὲ ἂν τὸ κολλῶδες ξυνίῃ τῷ ψυχρῷ ἄνευ τοῦ λιπαροῦ, οὐκ ἐθέλει ἐκκαίεσθαι, ἀλλὰ τῷ χρόνῳ θερμαινόμενον πήγνυται.

frigido enim continenter calefacto pars exterior, quanta glutinosa erat, exassabatur et tunica fiebat; pars vero frigidi interna, quum in ea neque pinguis, neque glutinosi multum inesset, colliquata est et humor evasit. Ad eandem vero rationem etiam vesica: — multum frigidi interceptum et a calido calefactum dissolvebatur et humor evadebat; neque enim in eo pingue, neque glutinosum quidquam inerat; quod vero circum erat tunica fiebat. Sed etiam de reliquis, quae cava sunt, res eodem se habet modo: ubi plus glutinosi erat quam pinguedinis, tunica fiebat; ubi vero plus pinguedinis quam glutinosi, ossa fiebant. Idem autem de ossibus etiam valet; ubi enim glutinosi nihil inerat, sed pinguedo et frigidum, citius exurebatur propter pinguedinem et ex ossibus ista et durissima et maxime solida facta sunt; ubi vero pinguedo et glutinosum pari copia aderant, ea ex ossibus fiebant fistulosa. De his ita se res habet: frigidum densat; calidum vero diffundit, temporis autem tractu etiam siccat. Ubi vero pinguedinis aliquid accedit, in iis citius exurit et siccat; ubi vero glutinosum cum frigido congressum fuerit sine pinguedine, non potest exuri, sed temporis successu calefactum densatur.

δ'. Ὁ δὲ ἐγκέφαλός ἐστι μητρόπολις τοῦ ψυχροῦ καὶ τοῦ κολλώδεος, ὁ δὲ μυελὸς τοῦ λιπαροῦ μητρόπολις· θερμαινόμενος γὰρ τὸ πρῶτον πάντων διαχεόμενος λιπαρὸς γίγνεται· καὶ διὰ τοῦτο ὁ ἐγκέφαλος, ὅτι ὀλίγι-

4. At vero cerebrum frigidi et glutinosi sedes est et matrix; medulla vero pinguis sedes et matrix. Calefacta enim primum omnium diffusa pinguis fit. Atque idcirco cerebrum, quod minimum pinguedinis, plurimum vero glutinosi

marg.; τὸ δὲ ψυχρὸν ἐόν vulgo, equidem ἐντός de meo interposui, sicuti paulo post τὸ δὲ ἐντός legitur.

κατὰ δὲ — ὑγρόν.] ὅσον αὐτὸ κολλῶδες ἦν ceteri; abiicio otiosum αὐτό. Post χιτών ceteri ὁ περὶ αὐτὸν μῆνιγξ, quod abundat, quare reieci; — τὸ δὲ ἐντὸς τοῦ ὑγροῦ vulg., sed dudum ψυχροῦ reposuerunt interpretes; — ἑαυτῷ C.; — οὔτε λιπαρόν om. Zuing.

κατὰ δὲ — ἐγένετο.] Legunt omnes ἀπολειφθέν (ἀποκλεισθέν Lind., Mack.); de meo emendavi. Post ἀποληφθέν legi solet τὸ πέριξ αὐτοῦ, in quibus τὸ πέριξ omittere nonnullos codd. scribit Foës.; tum τῆς pro αὐτοῦ legit C. Equidem redundantia illa et sensum perturbantia repudio. Pro ὅσα vulgatae C., Littr. ὅσον.

ἀτὰρ καὶ — ἐγένετο.] χιτὼν μῆνιγξ vulg.; [ἢ] interponit Lind., sed μῆνιγξ glossa est, quam repudiare oportet.

ὡυτὸς — σηραγγώδεα.] περί de meo interpono; — ταῦτα δέ ceteri, ταῦτα δή de meo.

περὶ μὲν — πήγνυται.] οὕτω E.; — ἄν ante τοῦ λιπαροῦ Littr. de suo dedit; — χολῶδες mutatum in κολῶδες C.

4. ὁ δὲ ἐγκέφαλος — ἐνῆν.] Omnes τὸ δὲ θερμὸν τοῦ λιπαροῦ μητρόπολις, quod omni modo absurdum: quis cerebro opposuerit calidum? quis dixerit τὸ θερμὸν θερμαινόμε-

στον ἔχει τοῦ λιπαροῦ, τοῦ δὲ κολλώδεος πλεῖστον, οὐ δύναται ἐκκαυθῆναι ὑπὸ τοῦ θερμοῦ, ἀλλὰ τῷ χρόνῳ μήνιγγα παχεῖαν ἔλαβε· περὶ δὲ τὴν μήνιγγα ὀστέα, ὁκόσα τὸ θερμὸν ἐκράτησε καὶ ἐν ὅσοισι τοῦ λιπαροῦ ἐνῆν. Καὶ ὁ μυελὸς ὁ καλεόμενος νωτιαῖος καθήκει ἀπὸ τοῦ ἐγκεφάλου· καὶ οὐκ ἔστι ἐν αὐτῷ τοῦ λιπαροῦ ἢ τοῦ κολλώδεος πουλὺ, ὥσπερ ἐν τῷ ἐγκεφάλῳ· διὰ τοῦτο οὐκ ἂν δικαίως καὶ αὐτῷ εἴη μυελὸς οὔνομα· οὐ γὰρ ὁμοῖος τῷ ἄλλῳ μυελῷ, ὃς ἐν τοῖσι ἄλλοισι ὀστοῖσι ἔνι· μοῦνος γὰρ μήνιγγας ἔχει, ὁ δὲ ἄλλος οὐκ ἔχει. Τεκμήρια δὲ τούτων σαφέα· εἰ γάρ τις ἐθέλοι ὀπτᾶν νευρώδεά τε καὶ κολλώδεα, καὶ τὰ ἄλλα δὲ, τὰ μὲν ἄλλα ταχὺ ὀπτᾶται, τὰ δὲ νευρώδεά τε καὶ κολλώδεα οὐκ ἐθέλει ὀπτᾶσθαι· ἐλάχιστα γὰρ ἔχει τοῦ λιπαροῦ· τὸ δὲ πιότατον καὶ λιπαρὸν τάχιστα ὀπτᾶται.

habet, a calido exuri nequit, sed temporis tractu membranam crassam nactum est; circa membranam vero ossa, ex iis, quae calidum superavit et in quibus pinguedo inerat. Medulla etiam, quae dorsalis appellatur, e cerebro ducitur, neque in ea multum pinguis, nec glutinosi inest, quemadmodum in cerebro, eamque ob causam neque medullae nomine iure donatur. Neque enim reliquae medullae, quae in ceteris inest ossibus, similis est: sola enim membranas habet, reliqua vero medulla non habet. Atque horum manifesta sunt indicia: nam si quis nervosa et glutinosa itemque alia assare volet, cetera quidem cito assantur, nervosa vero et glutinosa assari nequeunt, cum minimum pinguedinis habent; at quod pinguissimum et oleosum est, celerrime assatur.

ε′. Τὰ δὲ σπλάγχνα ὧδέ μοι δοκέει ξυστῆναι· περὶ μὲν οὖν τῶν φλεβῶν εἴρηταί μοι πρότερον· ἡ δὲ καρδίη πουλὺ τοῦ κολλώδεος καὶ τοῦ ψυχροῦ ἔχει· καὶ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, κρέας ἐγένετο σκληρὸν καὶ γλίσχρον, καὶ μῆνιγξ περὶ αὐτὴν, καὶ ἐκοιλώθη ὥσπερ αἱ φλέβες, καί ἐστι ἐπὶ τῆς κεφαλῆς τῆς φλεβὸς τῆς κοιλοτάτης. Δύο γάρ εἰσι κοῖλαι φλέβες ἀπὸ τῆς καρδίης· τῇ μὲν οὔνομα ἀρτηρίη· τῇ δὲ κοίλη φλὲψ, πρὸς ᾗ ἡ καρδίη ἐστί· καὶ πλέον ἔχει τοῦ θερμοῦ ἡ ἀρτηρίη ἢ ἡ κοίλη φλὲψ, καὶ τα-

5. At vero viscera hoc modo composita esse videntur: — de venis quidem antea a nobis dictum est; — cor autem multum glutinosi et frigidi obtinet, quod a calido calefactum, caro dura et viscida evasit, ipsumque membrana involutum cavum factum est, quemadmodum venae et ad venae maxime cavae caput annexum est. Duae enim a corde venae cavae, et haec quidem arteria, illa vero vena cava nominatur, iuxta quam cor positum est. Et plus calidi continet arteria quam vena cava et spiritum subministrat. Ac praeter has duas venas aliae

νον fieri λιπαρόν? Quodsi ad antithesin infra traditam inter medullam spinalem et ossium medullam animum advertas, probabile esse videbis τὸν μυελόν dici τοῦ λιπαροῦ metropolin. His repertis vulgatum θερμαινόμενον et διαχεόμενον genere ad ὁ μυελός accommodavi. — Porro ceteri ἀλλ' ἐν τῷ χρόνῳ, quod de meo emendavi; omnes χιτῶνα μήνιγγα παχεῖαν ἔλαβε, ubi χιτῶνα eieci; — tandem libri ὁκόσον; sed ὁκόσα repono, quia paulo post καὶ ἐν ὅσοισι scribitur.

καὶ — ἔχει.] ἐν αὐτῷ τοῦ λ. dedit Littr. de suo, ubi pro αὐτῷ vulgo ωὐτῷ, C. ἑωυτῷ. — Ceteri ὥσπερ καὶ τῷ ἐγκ., sed pro καί de meo ἐν reposui. Vulgatum ὁμοίως emendavit Littr.; — ἐνῇ vulgo, ἔνι de suo Littréus.

τεκμήρια — ὀπτᾶται.] εἰ γάρ τις de meo, cett. γάρ omm.; — τὰ ἄλλα καί Zuing., Lind., καί pro δέ legentes; Mack. vero om. δέ. — Legi solet τὸ δὲ πιότατον καὶ λιπαρὸν τάχιστα ὀπτᾶται, sed pro πιότατον Calvus παχύτατον legisse videtur, quod opinor tentamen correctionis esse frustraneum.

5. τὰ δὲ σπλάγχνα — κοιλοτάτης.] οὐχ ὥσπερ φλέβες vulg., [ἀλλ'] οὐχ ὡ. φ. Lind.; equidem οὐχ repudio et αἱ ante φλ. infero: nimirum licet sane differentia sit inter cavum venarum et cordis cava, credo tamen nostrum solum τὸ κοιλοῦσθαι summatim respicere adeoque negationem delendam esse, quo facto melius cum superioribus cohaerent seqq. καί ἐστι κ. τ. λ.

δύο — πνεῦμα.] Vulgo πλεῖστον ἔχει τοῦ θερμοῦ ἡ ἀρτηρίη ἢ ἡ κοίλη φλέψ, sed pro ἀρτηρίη C. fert καρδίη, quod recepit Littréus simul pro ἡ scribens ᾗ et provocans ad principium cap. 6.; ego vitium inesse vulgatae concedo, sed in ea pro πλεῖστον si πλέον legas cum Foësio, omnia melius procedunt: ἡ ἀρτημίη ex veterum opinione ταμιεύει τὸ πνεῦμα, quum rami eius per corpus diffundantur; sequens πρὸς δὲ τούτοιν τοῖν φλεβοῖν multo aptius consequitur, quam si ἡ καρδίη recipiatur. Cor et venae summatim plurimum calidi continere possunt et tamen eius plus continere arteriam quam venam. Itaque cum Foësio potius consentio quam cum Littréo.

μιεύει τὸ πνεῦμα. Πρὸς δὲ τούτοιν τοῖν φλεβοῖν ἄλλαι κατὰ τὸ σῶμα· ἡ δὲ κοιλοτάτη φλὲψ, πρὸς ᾗ ἡ καρδίη, διὰ τῆς κοιλίης ἁπάσης διήκει καὶ διὰ τῶν φρενῶν, καὶ σχίζεται ἐς ἑκάτερον τῶν νεφρῶν· καὶ ἐπὶ τῇ ὀσφύϊ σχίζεται, καὶ ἀΐσσει ἐπί τε τὰ ἄλλα καὶ ἐς ἑκάτερον σκέλος, ἀτὰρ καὶ ἄνωθεν τῆς καρδίης πρὸς τῷ αὐχένι, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δ' ἐπ' ἀριστερά· καὶ τότε ἐπὶ τὴν κεφαλὴν ἄγει καὶ ἐν τοῖς κροτάφοισι σχίζεται ἑκατέρη. Ἔστι δὲ καὶ ἀριθμῷ εἰπεῖν τὰς φλέβας τὰς μεγίστας· ἑνὶ δὲ λόγῳ ἀπὸ τῆς κοίλης φλεβὸς καὶ ἀπὸ τῆς ἀρτηρίης αἱ ἄλλαι φλέβες ἐσχισμέναι εἰσὶ κατὰ πᾶν τὸ σῶμα· κοιλόταται δὲ αἱ πρὸς τῇ καρδίῃ καὶ τῷ αὐχένι καὶ ἐν τῇ κεφαλῇ καὶ κάτωθεν τῆς καρδίης μέχρι τῶν ἰσχίων.

ϛ'. Καὶ τὸ θερμὸν πλεῖστον ἔνι τῇσι φλεψὶ καὶ τῇ καρδίῃ, καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἔχει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. Ῥηΐδιον δὲ τοῦτο καταμαθεῖν· ὅτι θερμόν ἐστι τὸ πνεῦμα, ἡ καρδίη καὶ αἱ κοῖλαι φλέβες κινέονται αἰεὶ, καὶ διὰ τοῦτο τὸ πνεῦμα ἡ καρδίη ἕλκει. Ἔστι δὲ καὶ ἄλλως γνῶναι· πῦρ εἴ τις θέλοι καίειν ἐν οἰκήματι, ὁκόταν ἄνεμος μὴ εἰσπνέῃ, ἡ φλὸξ κινέεται τοτὲ μὲν μᾶλλον, τοτὲ δὲ ἧσσον· καὶ λυχνὸς καιόμενος τὸν αὐτὸν τρόπον κινέεται, τοτὲ μὲν μᾶλλον, τοτὲ δὲ ἧσσον, ἀνέμου μηδενὸς κινέοντος, ὅντινα καὶ ἡμεῖς οἷοί τέ ἐσμεν γιγνώσκειν πνέοντα· καὶ τροφή ἐστι τῷ θερμῷ τὸ ψυχρόν. Τὸ δὲ παιδίον ἐν τῇ γαστρὶ ξυνέχον τὰ χείλεα μυζεῖ ἐκ τῶν μητρέων τὴν τροφὴν καὶ ἕλκει καὶ τὸ πνεῦμα

quoque in corpore insunt. Quae vero valde cava est, cui cor annectitur, ventrem totum et septum transversum pervadit et in utrumque renem et lumbos scinditur, tumque alias in partes tum in utrumque crus fertur. Quin etiam supra cor ad cervicem partim quidem dextra, partim etiam sinistra tendit, moxque ad caput adscendit et in tempora utraque scinditur. Possunt autem et maximae venae numero recenseri, sed ut uno verbo comprehendam, a vena cava et ab arteria reliquae venae in totum corpus dispersae sunt. Sunt autem maxime cavae, quae ad cor et cervicem et in capite et infra cor ad coxendices usque.

6. Calidumque plurimum in venis et corde inest eamque ob causam spirationem cor habet, quod sit omnium quae in homine sunt membrorum maxime calidum. Facile autem hoc intelliges: quia spiritus calidus est, cor et venae cavae semper moventur; quapropter cor spiritum attrahit. Licet vero et alio modo id cognoscere: si quis ignem in aede, in qua nullus ventus spiret, accendere volet, flamma modo minus, modo magis movetur. Sed et lucerna accensa ad eundem modum, modo magis, modo minus movetur, nullo, quem quidem spirare sentiamus, vento mota; — frigidumque calido alimentum est. At vero puer dum in utero est, compressis labris ex utero sugit alimentum et corde etiam intro attrahit spiritum, quando mater spirat; is autem etiam reliquo corpori

πρὸς δὲ — ἑκατέρη.] καρδίη καὶ διὰ τῶν φρενῶν καὶ διὰ τῆς κοιλίης ἁπάσης διήκει Mack., qua innovatione opus non esse monet Littr.; — ἑκάτερον τούτου τῶν νεφρῶν C.

ἔστι — ἰσχίων.] αἱ ante ἄλλαι C., Littr.; vulgo om.; — κοιλόταται γάρ vulg., sed δέ e mss et edd. antt. revocavit Littr.; — ἐν τῇ κεφ. C. Littr., ἐν om. vulg.

6. καὶ τὸ θερμὸν — ἀνθρώπῳ.] ἔνι dedit Littr. pro vulgato ἐνῇ, quod Lind., Mack. omm. et cui ἐν additur in C. Ald. et apud Zuing., Lind., Mack.

ῥηΐδιον — ἕλκει.] Vulgo ὅτι θερμόν ἐστι τὸ πνεῦμα, in quibus Littr. pro θερμόν scripsit τρέφον, quod prorsus ineptum, quidquid dicat de hac re. Cor spiritum calidum continere noster statuit, quem spiritum calidum adducere frigidum externum: mox enim καὶ τροφή ἐστι, inquit, τῷ θερμῷ τὸ ψυχρόν. Dein vulgo post αἰεί legitur: καὶ τὸ θερμότατον πλεῖστον ἔνι (ἔνι omm. C., Littr.) ἐν τῇσι φλεψί et post ἕλκει scribi solet θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν ἀνθρώπῳ. Sed Lind. om. omnia, quae post αἰεί in vulgata habentur. Equidem utrumque, quod descripsi, emblema alienum expunxi: posterius ex antecedentibus otiose repetitum est; prius autem plane ineptum et otiosum.

ἔστι δὲ καὶ — ψυχρόν.] πνέῃ pro μὴ εἰσπνέῃ C., ἔστιν pro εἰσπνέῃ Ald.; — ἡ ante φλόξ de meo; — ἀνέμου οὐδενός cett.; μηδενός de meo.

τὸ δὲ παιδίον — παρέχει.] μύζει vulgo, sed recte μυζεῖ C., quod infra item ex eo recepi, dein de meo bis ἔμυζε in ἐμύζεε mutavi. Iam vero legebatur: μυζεῖ ἐκ τῶν μητρέων τῆς μητρὸς καὶ ἕλκει τήν τε (τε om. C.) τροφὴν καὶ τὸ

τῇ καρδίῃ εἴσω, ὅταν περ ἡ μήτηρ ἀναπνέῃ· τοῦτο δὲ καὶ τῷ ἄλλῳ σώματι τὴν κίνησιν παρέχει. Εἰ δέ τις ἐρωτῴη πῶς τοῦτο οἶδέ τις, ὅτι ἐν τῇ μήτρῃ τὸ παιδίον ἕλκει καὶ μυζεῖ, τάδε αὐτῷ ἔστι ἀποκρίνασθαι· κόπρον ἔχον ἐν τοῖσι ἐντέροισι γίγνεται καὶ ἀποπατέει ἐπειδὰν γένηται τάχιστα· καίτοι οὐκ ἂν εἶχε κόπρον, εἰ μὴ ἐν τῇσι μήτρῃσι ἐμύζεε, οὐδ' ἂν θηλάζειν τὸν μασθὸν ἠπίστατο γενόμενον αὐτίκα, εἰ μὴ καὶ ἐν τῇ μήτρῃ ἐμύζεε. Καὶ περὶ μὲν τῆς κινήσιος τῆς καρδίης καὶ τῶν φλεβῶν οὕτως ἔχει.

motum praebet. Quodsi quis roget, unde quis noscat puerum in utero trahere et sugere, hoc illi respondere licet. Puer cum in lucem prodit, stercus in intestinis habens nascitur et simul ac in lucem est editus ventrem exonerat: atqui neque stercus haberet, nisi in utero sugeret, neque ut primum natus est puer ubera sugere posset, nisi in utero suxisset. Ac de cordis quidem et venarum motione ad hunc se res habet modum.

ζ'. Ὁ δὲ πνεύμων πρὸς τῇ καρδίῃ ἐγένετο ὧδε· τοῦ ὑγροῦ ὁκόσον ἦν κολλωδέστατον, ἡ καρδίη θερμαίνουσα ταχὺ ἐξήρανε ὅκως περ ἀφρὸν, καὶ ἐποίησε σηραγγῶδες, καὶ φλέβια πολλὰ ἐν αὐτῷ. Διὰ δὲ τοῦτο ἐποίησε τὰ φλέβια· ὁκόσον ἐν τῷ κολλώδεϊ ἐνῆν ψυχρὸν, τοῦτο μὲν ὑπὸ τοῦ θερμοῦ διετάκη καὶ ἐγένετο ὑγρόν· τὸ δὲ ἀπὸ τοῦ κολλώδεος αὐτοῦ ὁ χιτών.

7. Pulmo autem iuxta cor sic exstitit: quod in humido glutinosissimum erat cor calefaciens celeriter exsiccavit veluti spumam et fistulosum reddidit, multisque venulis respersit. At venulas eam ob causam condidit: quod in glutinoso inerat frigidi, id quidem a calido colliquatum humidum est redditum; quod vero ab ipso glutinoso ortum est, tunica facta est.

η'. Τὸ δὲ ἧπαρ ὧδε ξυνέστη· ξὺν τῷ θερμῷ πουλὺ τοῦ ὑγροῦ ἀποληφθὲν ἄνευ τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ ἐκράτησε τὸ ψυχρὸν τοῦ θερμοῦ, καὶ ἐπάγη. Τεκμήριον δέ μοι τόδε· ὁκόταν σφάξῃ τις ἱερεῖον, ἕως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστι τὸ αἷμα· ἐπειδὰν δὲ ψυχθῇ, ἐπάγη· ἢν δέ τις αὐτὸ τινάσσῃ, οὐ πήγνυται.

8. Iecur vero hunc in modum constitutum est. Humido multo cum calido intercepto absque glutinoso et pingui, frigidum superavit calidum et condensatum est. Cuius rei hoc a me proponitur argumentum: cum quis victimam iugulat, quamdiu sanguis calidus est, liquidus etiam manet, ubi vero perfrixit, concrescit. Quod si quis eum agitet, minime concrescit.

θ'. Ὁ δὲ σπλὴν ξυνέστη ὧδε· ξὺν τῷ

9. At lien hunc in modum constitutus est:

πνεῦμα τῇ καρδίῃ εἴσω· τοῦτο (τὸ pro τοῦτο C.) γὰρ θερμότατόν ἐστιν ἐν τῷ παιδίῳ, ὅταν περ ἡ μήτηρ ἀναπνέῃ. Primum in his ineptum scholion τῆς μητρός deleamus. Tum in hac lect. infans dicitur ἕλκειν τήν τε τροφὴν καὶ τὸ πνεῦμα τῇ καρδίῃ εἴσω, quod noster non voluit. Non debemus τῇ καρδίῃ εἴσω accipere pro τῆς καρδίης εἴσω, quod fecit Littréus; nam ista differunt; sed non εἴσω ἕλκει τήν τε τροφὴν καὶ τὸ πνεῦμα τῇ καρδίῃ puer. Itaque locum refeci, ut probabilis sensus emergeret. Praeterea vero id, quod inter εἴσω et ὅταν περ in vulgata est intermedium, item glossema est, quo deleto demum apte inter se cohaerent, quae servavi. Dein pro τοῦτο δέ C., Littr. τούτῳ δέ pessime. Tandem post παρέχει addi solet τὸ θερμὸν καὶ τοῖς ἄλλοις πᾶσι, quod sensu cassum, otiosum, abigendum.

εἰ δέ τις — ἐμύζεε.] ἐρωτοίη vulgo, quod defendit Littr., malui tamen cum Kühnio ἐρωτῴη dare; — ἔχοντα vulg., quod in ἔχον mutavit Littr., sed simul delere debuerat quod post τάχιστα scribi solet: καὶ οἱ ἄνθρωποι καὶ τὰ πρόβατα. Dein οὐκ ἂν εἶχε κόπρου Ald.; — γεννώμενον vulgo, sed recte C. γενόμενον, quae unice vera lectio; — εἰ ante μή om. Ald., εἰ δὲ μή C. — Ceterum adscripsit ad hunc locum Littr. unum e Plut. de plac. phil., alterum e Gal. an Anim. quod in utero cap. 3. vol. XIX. p. 167. Illo (v. 16.) legis: Δημόκριτος τὸ ἔμβρυον ἐν τῇ μήτρῃ διὰ τοῦ στόματος τρέφεσθαι ὅθεν εὐθέως γεννηθὲν ἐπὶ τὸν μαστὸν φέρεται τῷ στόματι· εἶναι γὰρ ἐν τῇ μήτρῃ θηλάς τινας καὶ στόματα, δι' ὧν τρέφονται. Apud Galenum vero: μαρτύριον δὲ τοῦ καὶ ἐν μήτρᾳ διὰ στόματος τὴν τροφὴν λαμβάνειν τὸ ἅμα τῷ τεχθῆναι τὴν ὁρμὴν πρὸς τὸν μαστὸν ἔχειν· οὐ γὰρ μὴ προεθισθὲν χρῆσθαι τῇ ὁδῷ . . . . —

7. διὰ δὲ τοῦτο — ὁ χιτών.] ἀπὸ τοῦ θερμοῦ Ald.; — αὐτὸς ὁ χιτών omnes, sed αὐτοῦ scriptum fuit: i. e. ἀπὸ τοῦ κολλώδεος αὐτοῦ.

8. τὸ δὲ ἧπαρ — πήγνυται.] ἀπολειφθέν C., sed ὑπολειφθέν ante erat scriptum; — ἀποκλεισθέν Lind., Mack.: — post πήγνυται legitur apud omnes αἱ γὰρ ἶνές εἰσι ψυχραὶ καὶ κολλώδεες; est autem hoc sensu cassum eo rerum nexu, neque vero aliud quid esse videtur quam adnotatio marginalis, quae de sede sua aberraverit: scilicet adscriptum fuerit illud scholion ad verba capituli 9. ὅ εἰσι αἱ ἶνες αἱ ἐνεοῦσαι ἐν τῷ σπληνί. — Itaque delevi scholion.

9. ὁ δὲ σπλὴν — ἰνώδης.] Ceteri ξὺν τῷ θερμῷ, sed vide

ὑγρῷ καὶ κολλώδεϊ τοῦ θερμοῦ πλεῖστον, τοῦ δὲ ψυχροῦ ἐλάχιστον, τοσοῦτον μόνον ὁκόσον πῆξαι τὸ κολλῶδες αὐτοῦ, ὅ εἰσι αἱ ἶνες αἱ ἐνεοῦσαι ἐν τῷ σπληνί· καὶ διὰ τὰς αἰτίας ταύτας μαλακός ἐστι ὁ σπλὴν καὶ ἰνώδης. Οἱ δὲ νεφροὶ ξυνέστησαν ὧδε· ὀλίγον τοῦ ὑγροῦ, πλεῖστον τοῦ κολλώδεος, τοῦ θερμοῦ ὀλίγον, τοῦ ψυχροῦ πλεῖστον, καὶ ἐπάγη ὑπὸ τούτου καὶ ἐγένετο σκληρότατον τὸ σπλάγχνον καὶ ἥκιστα ἐρυθρὸν, ὅτι οὐ πουλὺ τοῦ θερμοῦ ξυνέστη. Ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν σαρκῶν· τὸ μὲν ψυχρὸν ἔστησε καὶ ξυνέπηξε τὸ ὑγρὸν καὶ ἐποίησε σάρκα, τὸ δὲ κολλῶδες τρῶγλαι ἐγένοντο· ἐν δὲ τῇσι τρώγλῃσι ταύτῃσι τὸ ὑγρὸν, ὥσπερ καὶ ἐν τῇσι φλεψὶ τῇσι μεγάλῃσι. Τὸ δὲ θερμὸν ἐν παντὶ τῷ σώματι, πλεῖστον δὲ καὶ τοῦ ὑγροῦ ἐν τῷ σώματι καὶ τοῦ ψυχροῦ πουλὺ ἐν τῷ ὑγρῷ· τοσοῦτο δέ ἐστι τοῦ ψυχροῦ ὁκόσον δύναται πῆξαι τὸ ὑγρόν· ἀλλὰ νενίκηται, ὥστε διακέχυται ὑπὸ τοῦ θερμοῦ. Ἡ δὲ ἀπόδειξις τοῦ ὑγροῦ ὅτι θερμόν ἐστι, — εἴ τις ἐθέλοι τάμνειν τοῦ ἀνθρώπου τοῦ σώματος, ὅκου ἐθέλοι, ῥεύσει τε αἷμα θερμὸν καὶ ἕως μὲν ἂν θερμὸν ᾖ, ὑγρὸν ἔσται· ἐπειδὰν δὲ ψυχθῇ ὑπό τε τοῦ ἐνεόντος ψυχροῦ καὶ τοῦ ἐκτὸς, ἐγένετο δέρμα καὶ ὑμὴν, καὶ εἴ τις ἀφελὼν τοῦτο τὸ δέρμα ἐάσειε ὀλίγον χρόνον, ὄψεται ἄλλο δέρμα γιγνόμενον· εἰ δέ τις τοῦτο αἰεὶ ἀφαιροῖ, ἄλλο δέρμα γένοιτ' ἂν πρὸς τοῦ ψυχροῦ. Τούτου δὲ εἵνεκα πλείω ἔλεξα, ὅκως ἀποδείξω ὅτι τὸ ἔσχατον τοῦ σώματος πρὸς τοῦ ἠέρος ἀναγκαίως ἔχει δέρμα γενέσθαι ὑπὸ τοῦ ψυχροῦ καὶ τῶν πνευμάτων προσβαλλόντων.

cum humido et glutinoso plurimum calidi, frigidi vero minimum, tantum solum quantum sufficeret ut glutinosum eius densaret, quod sunt fibrae, quae in liene insunt: ac propter has causas mollis est lien et fibrosus. At renes hoc modo compacti sunt: parum humidi, plurimum glutinosi, calidi parum, frigidi plurimum, a quo condensatum est viscus et durissimum evasit ac minime rubrum, quia non multum calidi coiit. Eadem quoque de carnibus ratio est: frigidum coëgit et compegit humidum et carnem fecit; glutinosum vero in foramina abiit; in foraminibus vero illis humidum, veluti in magnis venis. Calidum vero in universo corpore, plurimum vero etiam humidi et multum frigidi in humido; tantum autem frigidi est, quantum humidum cogere possit, sed superatum est, adeo ut sit diffusum a calore. Quod autem humidum sit calidum, sic ostenditur. Si quis corporis humani particulam quamcumque volet, secet, sanguis calidus effluet, et quamdiu quidem calidus fuerit, liquidus erit. Ubi vero tum ab insito, tum ab externo frigido perfrixerit, pellicula et membrana obducitur; qua detracta si quis pauco tempore sinat, aliam enatam pelliculam videbit; quam si quis semper auferat, alia a frigido pellicula producetur. Sed huius rei gratia longior sum, ut ostendam corporis summum aëri adversum a frigido et ventis ingruentibus necessario pelliculam contrahere.

quam ineptum sit *ξὺν τῷ θερμῷ τοῦ θερμοῦ πλεῖστον τοῦ δὲ ψυχροῦ ἐλάχιστον*. Nimirum *ξὺν τῷ ὑγρῷ* dedit auctor, quod repono. Tum *καὶ τοῦ θερμοῦ* vulgo, *καὶ τὸ θερμόν* C.; eieci otiosum *καί*. — Porro *τοσοῦτο* C. — Tandem *διὰ τὰς ἶνας ταύτας μαλακὸς κ. τ. λ.* vulgata: quam ineptissime sane! Tu lege mecum *διὰ τὰς αἰτίας ταύτας*.

οἱ δὲ — ξυνέστη.] Vulgo *ὀλίγον τοῦ κολλώδεος*, sed C. *πλεῖστον τοῦ κολλώδεος*. Et huius quidem libri descriptorem offendit vulgata eamque corrigere studuit. Sed coniicio scriptorem dedisse, quod in textu describendum curavi.

ὁ δὲ αὐτὸς — μεγάλῃσι.] *ὁ δὲ ὡυτός* vulg., *ὡυτός* Lind., *ἑωυτός* C., *αὐτός* Littr.; possis *ὡυτὸς δὲ λόγος* scribere. — Dein de meo interposui *τὸ ὑγρόν*, quod deficere vel inde constat, quod in vulgata *ἔστησε, ξυνέπηξε, σάρκα ἐποίησε* carent obiecto.

τὸ δὲ — θερμοῦ.] *πλεῖστον δὲ τῷ σώματι* vulg., *πλεῖστον δὲ τοῦ ὑγροῦ ἐν τῷ σώματι* Calv., Littr.; equidem cum Lind., Mack., sequor lectionem Zuingeri in marg. — Dein *καὶ τοῦ ψυχροῦ πουλὺ ἐν τῷ ὑγρῷ* om. Calv.; — *τοῦτο* pro *τοσοῦτο* C.; — ante *δύναται* addit *οὐ* Zuing. in marg.; — sed falsa lectio est.

τούτου — προσβαλλόντων.] Editur *τέως ἀποδείξω*. quod de coniectura emendavi. — In superiore periodo *ἕως* in *τέως* abierat.

ι'. Τὰ δὲ ἄρθρα ὧδε ἐγένετο· ὅτε τὰ ὀστέα ξυνίστατο, ὁκόσα αὐτῶν λιπαρὰ ἦν, τάχιστα ἐξεκαύθη, ὥσπερ πρόσθεν λέλεκται ἐν τῷ προτέρῳ λόγῳ· ὁκόσον δ' αὐτῶν κολλῶδες ἦν, τοῦτο δὴ οὐκ ἠδύνατο ἐκκαυθῆναι, ἀλλὰ μεταξὺ ἀποληφθὲν τοῦ καιομένου καὶ ξηραινομένου ὑπὸ τοῦ θερμοῦ νεῦρα καὶ σίαλον ἐγένετο· τὸ δὲ σίαλον, — ὁκόσον τοῦ κολλώδεος ὑγρότατον ἦν, τόδε θερμαινόμενον παχύτερον ἐγένετο ὑγρὸν ἐόν· καὶ ἀπὸ τούτου σίαλον ἐγένετο.

10. Articuli vero hunc in modum producti sunt. Quando ossa constituta sunt, quod quidem in his pingue fuit, celerrime exustum est, quemadmodum superiore sermone a nobis dictum est. Quod autem ex his glutinosum erat, id cum peruri nequiret, medio loco inter ustum et exsiccatum comprehensum, a calido in nervos et mucum transiit. In mucum vero, quatenus quod ex glutinoso humidissimum est, calefactum crassius evasit, cum humidum esset, indeque mucus exstitit.

ια'. Οἱ δὲ ὄνυχες ἀπὸ τούτου ἐγένοντο τοῦ κολλώδεος· ἀπὸ γὰρ τῶν ὀστέων καὶ τῶν ἄρθρων αἰεὶ τὸ ὑγρότατον αὐτοῦ ἀπιὸν κολλῶδες γίγνεται, ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον καὶ ἐξαυαινόμενον θύραζε ἐς ὄνυχας.

11. Ex hoc ipso autem glutinoso ungues producti sunt. Quod enim in eo maxime est humidum ab ossibus et articulis semper in ungues foras secedit glutinosum factum, quippe a calido exsiccatum et arefactum.

ιβ'. Οἱ δὲ ὀδόντες ὕστερον γίγνονται διὰ τόδε· ἀπὸ τῶν ὀστέων τῶν ἐν τῇ κεφαλῇ καὶ τοῖν γνάθοιν ἡ αὔξησις γίγνεται· τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ τὸ ἐνεὸν ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον ἐκκαίεται καὶ γίγνεται ὀδόντες σκληρότεροι τῶν ἄλλων ὀστέων, ὅτι οὐκ ἔνεστι τοῦ ψυχροῦ. Καὶ οἱ μὲν πρῶτοι ὀδόντες φύονται ἀπὸ τῆς διαίτης τῆς ἐν τῇ μήτρῃ, καὶ, ἐπὴν γένηται, ἀπὸ τοῦ γάλακτος θηλάζοντι τῷ παιδίῳ· ἐπειδὰν δὲ οὗτοι ἐκπέσωσι, ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν· ἐκπίπτουσι δὲ ἐπειδὰν ἑπτὰ ἔτεα ἔῃ τῆς πρώτης τροφῆς, ἔστι δὲ καὶ οἷς πρότερον, ἢν ἀπὸ νοσερῆς τροφῆς φυῶσι· τοῖσι δὲ πλείστοισι, ἐπειδὰν ἑπτὰ ἔτεα γένηται· οἱ δὲ μεταφυέντες ξυγκαταγηράσκουσι, ἢν μὴ ὑπὸ νόσου διαφθαρῶσι.

12. Dentes autem postremi illam ob causam gignuntur. Ex capitis et maxillarum ossibus incrementum fit; glutinosum et pingue, quod inest a calido exsiccatum exuritur et fit dentes reliquis ossibus duriores, quoniam nihil frigidi inest. Ac primi quidem dentes ex victus ratione in utero nascuntur, et ubi in lucem editus est puer, ex lacte, dum mammam sugit. Cum vero hi exciderint, ex cibo et potu. Excidunt autem ubi septem anni sunt primi alimenti, nonnullis etiam citius, si ex morbido alimento pullularint; plurimis vero, cum ad annos septem pervenerint. At qui postea nascuntur, ad senectutem usque remanent, nisi ex morbo corrumpantur.

ιγ'. Διὰ δὲ τοῦτο φύονται οἱ ὀδόντες ὕστερον τῶν ἄλλων· ἐν τῇ γνάθῳ φλέβες εἰσὶ

13. Illam vero ob causam dentes reliquis partibus tardius oriuntur: in maxilla inferiore

10. τὰ δὲ — ἐγένετο.] Pro ἐν τῷ προτέρῳ λόγῳ E. P.' ἐν τῷ περὶ φύσιος παιδίου. Tum τοῦτο δή Lind., Mack., τοῦτο δέ cett.; — ἀπολειφθέν C., ἀποκλεισθέν Lind., Mack. Copula ante ξηραινομένου in vulg. om., sed eam dudum restituerunt interpretes. Dein τὸ δὲ σίαλον om. Lind. et ὁκόσον δὲ τοῦ κ. scribit; — τόγε θερμαινόμενον idem.

11. οἱ δὲ — ὄνυχας.] αὐτέων Corn. pro αὐτέου; — θυράζε ὄνυχες C., Ald., Littr., quod mihi non praeferendum videtur prae vulgata. Ceteri ἀπὸ τοῦ θερμοῦ ξηραινόμενον; necessario ὑπό legendum est.

12. οἱ — ψυχροῦ.] καὶ τοῦ λιπαροῦ Calv., Zuing. in marg., Lind., Mack., Littr.; vulgo om.; — καὶ γίνονται ὀδόντες vulgo, γίνεται in his Aldina, quam sequor; — ἔνεστι C., Littr., ἔστι vulg.

καὶ οἱ μὲν — διαφθαρῶσι.] τῆς ante ἐν τῇ μήτρῃ C., Littr., vulgo om.; — ἐπειδὰν ἐπὶ τὰ ἔτεα vulg.; emendavit Coraës; — εἴη vulg., ἔῃ Littr.; — ἦν C., Ald. pro ἤν; — φύσωσιν vulg.; emendavit Littr.; — μεταφύοντες vulg., μεταφυέοντες C., Littr.; aut μεταφύντες, aut μεταφυέντες legendum.

13. διὰ δὲ — ἔνι.] Vulgo καὶ ἐν τῇ κάτω κοιλίῃ (ἐκ τῆς κάτω κοιλίης Corn., Mack.); emendavit Littréus. Post παρέχουσι ceteri τῷ ὀστέῳ, sed μούνοισι est dativus ad παρέχουσι referendus, τῷ ὀστέῳ emblema est alienum et ineptum, quod

τῇ κάτω κοῖλαι καὶ μούνοισι τῶν ὀστέων αὗται τὴν τροφὴν παρέχουσι· τὰ δὲ ὀστέα τοιαύτην αὔξησιν, ὁποῖά περ ἐστι, καὶ τὰ ἄλλα δὲ πάντα τοιαύτην ἀποδίδωσι αὔξησιν, ὁποῖα αὐτά ἐστι· καὶ γὰρ αἱ φλέβες αἱ ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων, εἰς ἃ ξυλλέγεται τὰ σιτία καὶ τὰ ποτὰ, ἐπειδὰν θερμανθῇ ταῦτα, ἕλκουσι τὸ λεπτότατον καὶ τὸ ὑγρότατον· τὸ δὲ παχύτατον αὐτοῦ καταλείπεται, καὶ γίγνεται κόπρος ἐν τοῖσι ἐντέροισι τοῖσι κάτω· τὸ δὲ λεπτότατον αἱ φλέβες ἕλκουσι ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων τῶν ἄνωθεν τῆς νήστιος, θερμαινομένων τῶν σιτίων· ἐπὴν δὲ περήσῃ τὴν νῆστιν, ἐς τὰ κάτω ἔντερα ξυνεστράφῃ, καὶ κόπρος ἐγένετο· ἡ δὲ τροφὴ ἐπειδὰν ἀφίκηται ἐς ἕκαστον, τοιαύτην ἀπέδωκε τὴν ἰδέην ἑκάστου ὁκοῖά περ ἦν· ἀρδόμενα γὰρ ὑπὸ τῆς τροφῆς αὔξεται ἕκαστα, τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ κολλῶδες καὶ τὸ λιπαρὸν καὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ τὰ ὀστέα καὶ τὰ ἄλλα ξύμπαντα, ὁκόσα ἐν τῷ ἀνθρώπῳ ἔνι. Διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται· εἴρηται δέ μοι καὶ πρότερον ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι φλέβας ἔχουσι αὐταὶ ἐν ἑωυτῇσι· καὶ διὰ τοῦτο τροφὴ ἕλκεται πλέον ἢ ἐς τὰ ἄλλα ὀστέα. Καὶ πλέονα τὴν τροφὴν ἔχοντα καὶ ἀθροωτέρην τὴν ἐπιρροὴν, ἀποτίκτει αὔξησιν αὐτὰ ἀφ' ἑωυτῶν τοιαύτην οἷά πέρ ἐστι αὐτὰ, ἕως ἂν περ καὶ ὥνθρωπος ὅλος αὐξάνηται. Αὐξάνεται δὲ ἐπὴν γένηται ἐπίδηλος· ἐπίδηλος δὲ μάλιστα γίγνεται ἀπὸ ἑπταετέος μέχρι τεσσαρεσκαιδεκαετέος, καὶ ἐν τούτῳ τῷ χρόνῳ οἵ τε μέγιστοι τῶν ὀδόντων φύονται καὶ οἱ ἄλλοι πάντες, ἐπὴν ἐκπέσωσι οἳ ἐγένοντο ἀπὸ τῆς τροφῆς τῆς ἐν τῇ μήτρῃ. Αὐξάνεται δὲ καὶ ἐς τὴν τρίτην ἑβδομάδα, ἐν ᾗ νεηνίσκος γίγνεται, μέχρι τεσσάρων ἢ πέντε ἑβδομάδων· καὶ ἐν τῇ τετάρτῃ δὲ ἑβδομάδι ὀδόντες φύονται δύο τοῖσι

venae sunt cavae, quae solis ex ossibus his alimentum praebent. Ossa autem qualia quidem sunt, tale dant incrementum, ut et reliqua omnia tale exhibent incrementum, qualia ipsa exsistunt. Venae enim, quae per ventrem et intestinum feruntur, in quibus cibi et potus coacervantur, ubi hi incaluerint, id quod est tenuissimum et humidissimum attrahunt, crassissimum autem isthic relictum in inferioribus intestinis in stercus abit. Tenuissimum, inquam, venae trahunt ex ventre et intestinis, quae supra ieiunum sunt, ubi cibi incaluerint. Qui superato ieiuno in inferiora intestina collecti in stercus abeunt. At postquam alimentum eo pervenerit, unumquodque eam quam habuerat formam cuique reddit. Irrigata namque alimento singula incrementum accipiunt, calidum, frigidum, glutinosum, pingue, dulce, amarum et ossa et reliqua omnia, quae in homine insunt. Hac de causa posterius dentes producuntur. Dictum autem a me etiam est antea maxillas solas inter ossa venas in sese habere, ut proinde copiosius ad eas alimentum quam ad reliqua ossa trahatur. Et quia copiosius habent alimentum et uberiorem affluxum, eae tale ex se incrementum pariunt, quales sane ipsae exsistunt, quamdiu totus etiam homo augetur. Increscit autem ubi praecipue adolescere cernitur, quod praecipue a septenario ad decimum quartum annum apparet. Quo tempore tum maximi, tum ceteri omnes dentes producuntur, postquam exciderint qui ab alimento ex utero orti sunt. Increscit autem et ad tertium annorum septenarium, in quo adolescens evadit, ad quartum usque quintumve septenarium. Quin etiam hominibus plerisque quarto septenario duo dentes enascuntur, qui *dentes sapientiae* vocantur.

reieci; — καὶ τῶν ἐντέρων L., Corn., Zuing. in marg., alii et Littr., καί om. vulg.; — κατασήπεται Corn. pro καταλείπεται otiose; — ἄνωθεν [μᾶλλον] τῆς ν. Lind.; — ἐς ἕκαστον C., Littr., ἐς om. vulg.; — ἐνῇ vulg., ἔνι Littr.

καὶ — ὀστέα.] αὗται ἐν ἑωυτοῖσι (ἑωυτῇσι Lind., Mack.) vulgo; αὗται emendavit Littr.

αὐξάνεται — σωφρονιστῆρες.] τεσσαρεσκαιδεκαταῖοι vulg., quod tamen interpretes non fefellit; cum Lind., Mack., Littréo sequor L.; — τῆς ante τροφῆς om. C. — De meo in postrema periodo τεσσάρων ἢ πέντε scripsi pro τεσσάρων καὶ πέντε.

πολλοῖσι τῶν ἀνθρώπων· οὗτοι καλέονται σωφρονιστῆρες.

ιδ'. Αἱ δὲ τρίχες φύονται ὧδε· ὀστέα εἰσὶ καὶ ἐγκέφαλος, ἀφ' ὧν ἡ τοιαύτη αὔξησις, ὅτι τὸ πέριξ κολλῶδες, ὅκως περ τοῖσι νεύροισι, καὶ τοῦ λιπαροῦ οὐκ ἔνεστι· εἰ γὰρ ἐνῆν τοῦ λιπαροῦ, ἐξεκαίετο ἂν ὑπὸ τοῦ θερμοῦ. Τάχα δὲ θαυμάσειε ἄν τις ὅτι καὶ ἐν τῇσι μασχάλῃσι καὶ ἐν τῷ ἐπισείῳ τρίχες πολλαὶ καὶ ἐν τῷ σώματι παντί· ὡυτὸς δὲ λόγος περὶ τούτου· ὅπου τυγχάνει τοῦ σώματος τὸ κολλῶδες ὄν, ἐνταῦθα αἱ τρίχες γίγνονται ὑπὸ τοῦ θερμοῦ.

ιε'. Ἀκούει δὲ διὰ τόδε· τὰ τρήματα τῶν οὐάτων προσήκει πρὸς ὀστέον σκληρόν τε καὶ ξηρὸν, ὅμοιον λίθῳ· τοῦτο δὲ, πέφυκε πρὸς τὸ ὀστέον κοίλωσις σηραγγώδης· οἱ δὲ ψόφοι ἀπερείδονται πρὸς τὸ σκληρόν· τὸ δὲ ὀστέον τὸ κοῖλον ἐπηχεῖ διὰ τοῦ σκληροῦ· τὸ δὲ δέρμα τὸ πρὸς τῇ ἀκοῇ πρὸς τῷ ὀστέῳ τῷ σκληρῷ λεπτόν ἐστι ὥσπερ ἀράχνιον, ξηρότερον τοῦ ἄλλου δέρματος. Τεκμήρια δὲ πολλὰ ὅτι τὸ ξηρότατον ἠχεῖ μάλιστα· ὅταν δὲ μέγιστον ἠχήσῃ, τότε μάλιστα ἀκούομεν. Καὶ εἰσί τινες οἳ ἔλεξαν φύσιν ξυγγράφοντες ὅτι ὁ ἐγκέφαλός ἐστι ὁ ἠχέων· τοῦτο δὲ οὐκ ἂν γένηται· αὐτός τε γὰρ ὁ ἐγκέφαλος ὑγρός ἐστι, καὶ μῆνιγξ περὶ αὐτόν ἐστι ὑγρὴ καὶ παχεῖα καὶ περὶ τὴν μήνιγγα ὀστέα· οὐδὲν οὖν τῶν ὑγρῶν ἠχεῖ, ἀλλὰ τὰ ξηρά· τὰ δὲ ἠχέοντα ἀκοὴν ποιεῖ.

ις'. Ὀσφραίνεται δ' ὁ ἐγκέφαλος ὑγρὸς ἐὼν αὐτὸς τῶν ξηρῶν, ἕλκων τὴν ὀδμὴν ξὺν τῷ ἠέρι διὰ τῶν βρογχίων ξηρῶν ἐόντων· προήκει γὰρ ὁ ἐγκέφαλος τῆς ῥινὸς ἐς τὰ κοῖλα καὶ ταύτῃ αὐτῷ οὐκ ἔστι ἐπίπροσθεν

14. Capilli autem ad hunc modum oriuntur: ab ossibus et cerebro eiusmodi incrementum provenit, quia circumcirca glutinosum adest, quemadmodum in nervis, et pinguedinis nihil inest. Si quid enim pinguis inesset, a calido exustum esset. Ac fortasse miretur aliquis etiam in axillis et pube et reliquo corpore pilos multos succrescere. At huius rei eadem est ratio: ubicumque in corpore glutinosum exsistit, ibi pili a calore gignuntur.

15. Hanc vero ob causam auditio fit. Aurium foramina ad os durum et siccum lapidi simile perveniunt, cui cavitas fistulosa addita est. Soni autem in durum impingunt et os cavum per ipsum durum resonat. Pellicula vero in ipso meatu auditorio iuxta os durum tenuis est ad instar telae aranei prae reliquis pellucidis siccior. Quod autem siccissimum est, id ad sonum concipiendum maxime facere, multis argumentis comprobari potest. Cum ergo plurimum resonat, tum maxime audimus. Etsi nonnulli naturae historiam scriptis mandantes cerebrum ipsum sonum facere dixerunt, quod tamen nullo modo fieri potest. Cerebrum enim ipsum humidum est et ipsum ambiens membrana humida et crassa eamque ossa circumdant. Atqui nullum humidum sonum facit, sed quae sicca sunt. Quae vero resonant auditionem faciunt.

16. At vero cerebrum odoratur arida cum humidum ipsum sit; odorem cum aëre per corpora cartilaginea, quae sicca sunt, attrahens. Cerebrum enim ad nasi cava protenditur, qua parte nullum os ei obtenditur, sed mollis car-

14. *αἱ δὲ τρίχες — θερμοῦ.*] Ceteri *ὅτι τοῦ πέριξ κολλώδεος*, quod ineptum, quare correxi. Ceteri *ἐκ τοῦ θερμοῦ*, quod non fero, *ὑπό* repono.

τάχα — θερμοῦ.] *εἰσίν οἷσιν* (*οἷσιν* om. Ald.) *οὗτος λόγος* vulgo: Littr. *εἰσιν· ὡυτὸς λόγος.* Equidem *εἰσι* repudio et *δέ* post *ὡυτός* infero.

15. *ἀκούει — δέρματος.*] *πρὸς ὀστέον* ceteri, ubi de meo *τό* dedi, *πρὸς ὀστέου* Ald.; — *πρὸς σκληρόν* Lind.; — *τὸ δὲ δέρμα* E., Littr., vulgo *δέ* om. — Ceteri *ξηρότατον τοῦ ἄλλου δέρματος*, sed ante *ξηρότατον* addunt *καί* Lind., Mack., quo opus non est, sed *ξηρότερον* scripsit auctor h. l.; superlativus paulo post sequenti originem debet.

τεκμήρια — ἀκούομεν.] *τό* ante *ξηρότατον* de meo; — *ἠχήσηται μάλιστα ἀκούωμεν* vulgo: emendationem loci e Kühniana recepit Littr.

καὶ εἰσί τινες — ποιεῖ.] *ἀλλὰ τὰ ξηρά* de meo; ceteri *τά* omm.

16. *ὀσφραίνεται — ὀστέου.*] *δέ* plene Mack.; — *τῶν ξηρῶν αὐτός* Ald., C.; — *ξηρῶν ἐόντων* om. Corn.; at non alienum est a rerum nexu; minus facile dixeris quid *βρόγχια* dicat propter imperfectam organi olfactus descriptionem: credo potius eum conchas ita appellare quam laminam superio-

ὀστέον οὐδὲν, ἀλλὰ χόνδριον μαλακὸν ὅκως περ σπόγγος, οὔτε κρέας οὔτε ὀστέον. Καὶ ὅταν μὲν ξηρὰ ᾖ τὰ κοῖλα τῆς ῥινὸς, ὀσμᾶσθαι τῶν ξηροτέρων αὐτὸς ἑωυτοῦ ἀκριβέστερός ἐστι· ὕδατος γὰρ οὐκ ὀδμᾶται· ὑγρότερον γάρ ἐστι τοῦ ἐγκεφάλου, ἐὰν μὴ σαπῇ· σηπόμενον γὰρ τὸ ὕδωρ παχύτερον γίγνεται καὶ τὰ ἄλλα πάντα· ὁκόταν δὲ ὑγρανθέωσι αἱ ῥῖνες, οὐ δύναται ὀσφραίνεσθαι· οὐ γὰρ τὸν ἠέρα ἕλκει αὐτὸς πρὸς ἑωυτόν. Ταύτῃ δὲ καὶ ὅταν ἀποτήκῃ ὁ ἐγκέφαλος πλεῖστον αὐτὸς ἀφ' ἑωυτοῦ ἐς τὴν ὑπερῴην καὶ τὴν φάρυγγα καὶ τὸν πνεύμονα καὶ ἐς τὴν ἄλλην κοιλίην, γιγνώσκουσι οἱ ἄνθρωποι καὶ φασὶ καταρρέειν ἐκ τῆς κεφαλῆς· καταρρέει δὲ καὶ ἐς τὸ ἄλλο σῶμα· καὶ ἔστι τροπὴ τοῦ θερμοῦ.

ιζ'. Ὁρῇ δὲ διὰ τοῦτο· ἀπὸ τοῦ ἐγκεφάλου τῆς μήνιγγος φλὲψ καθήκει ἐς τὸν ὀφθαλμὸν διὰ τοῦ ὀστέου ἑκάτερον· διὰ τούτοιν τοῖν φλεβοῖν ἀπὸ τοῦ ἐγκεφάλου διηθέεται τὸ λεπτότατον τοῦ κολλωδεστάτου· καὶ διὰ τοῦτο αὐτὸ περὶ ἑωυτὸ δέρμα ποιέει τοιοῦτον οἷόν περ αὐτό ἐστι τὸ διαφανὲς τοῦ ὀφθαλμοῦ τὸ πρὸς τοῦ ἠέρος, πρὸς ὃ προσβάλλει τὰ πνεύματα, κατὰ τὸν αὐτὸν λόγον ὥσπερ περὶ τοῦ ἄλλου δέρματος ἔλεξα. Πολλὰ δὲ ταῦτ' ἐστὶ τὰ δέρματα πρὸ τοῦ ὁρέοντος διαφανέα, ὁκοῖόν περ αὐτό ἐστι· τούτῳ γὰρ τῷ διαφανέϊ ἀνταυγέει τὸ φῶς καὶ τὰ λαμπρὰ πάντα· τούτῳ οὖν ὁρῇ τῷ ἀνταυγέοντι· ὅ τι δὲ μὴ λαμπρόν ἐστι μηδὲ ἀνταυγεῖ, τούτῳ οὐχ ὁρῇ· τὸ δὲ ἄλλο τὸ περὶ τοὺς ὀφθαλμοὺς λευκὸν κρέας ἐστί. Ἡ δὲ κόρη καλεομένη τοῦ ὀφθαλμοῦ μέλαινα

tilago spongiae instar, quam neque carnem, neque os appellare queas. Et cum quidem narium cava sicca fuerint, ipsum per se exquisite magis rerum siccarum odorem percipit. Neque enim aquam olfacit, cum cerebro sit humidior, nisi computruerit. Putrefacta namque aqua crassior evadit et reliqua omnia. At cum nares humidae fuerint, olfacere nequit, cum ad se cerebrum aërem non attrahat. Hoc modo etiam cum cerebrum colliquatum plurimam materiem ex se in palatum et fauces et pulmonem reliquumque ventrem detruserit, percipiunt id homines et ex capite destillare dicunt, etsi in reliquum etiam corpus destillat: est autem caloris conversio.

17. At vero eam ob causam videt: a cerebri membrana vena ad utrumque oculum per os pertinet; per quas duas venas ex glutinoso, quod est maxime tenue ex cerebro veluti per colum transmittitur; atque ideo ipsum circum se tunicam, quae aëri obversatur et ad quam venti ingruunt, talem facit, quale est ipsum oculi pellucidum, eadem plane ratione quam de reliqua cute diximus. Sunt autem multae hae tunicae, quae oculi pellucido praetenduntur, ipsique sunt similes. In hoc enim pellucido lumen et splendida cuncta lucem reflectunt. Per hoc igitur, in quo lumen reflectitur, visio fit. Quod vero minime est splendidum, neque oblucet, per illud visio non fit. Reliquum circa oculos album caro est. Pupilla autem oculi nominata nigra ob id apparet, quod in fundo sita est et tunicae eam ambientes nigrae exsi-

rem ossis ethmoïdei. Nonnulla mss. *προσήκει*; — tum *ὀστέων* C., Ald.

καὶ ὅταν — πρὸς ἑωυτόν.] *τἄλλα* E.; — *δύνανται* Foës. in not., Lind.: non recipiendum est.

ταύτῃ — θερμοῦ.] codd. *ἀποτήκτῃ* et *ἀποτίκτῃ*, emendavit Foës. In fine loci *καὶ ἔστι τροπῷ*, (*τρόπος* Zuing., *τροπή* C., Zuing. in marg., Lind.) *τῷ θερμῷ* vulg.; — *καὶ ἔστι τῷ τρόπῳ θερμός* Corn.; — *καί ἐστι τροπὴ τῷ θερμῷ* Littr.; ego malui in hac lectione genitivum *τοῦ θερμοῦ* scribere.

17. *ὁρῇ — ἔλεξα.*] *ἑκατέρου* Calv.; — *ταύταιν ταῖν φλ.* ceteri; dualis formam solitam, quam supra etiam legimus, de meo dedi. Tum *αὐτὸ περὶ αὐτὸ* (*αὐτόν* Corn., Lind., Mack., Littr.) (*περὶ αὐτό* omm. codd. nonnulli, quos memorat Foës.) *δέρμα* vulg. Equidem in *περὶ αὐτό* non *περὶ αὐτόν* i. e. *περὶ τὸν ὀφθαλμόν* latere puto, sed *περὶ ἑωυτό* i. e. *περὶ τὸ λεπτότατον τοῦ κολλωδεστάτου*; — *οἷον περ* (*περ* om. Mack.) *περὶ* (*περί* om. Zuing. in marg. Littr.) *αὐτό* vulg.; — *τῷ πρὸς τοῦ ἠέρος* C.

πολλὰ — κρέας ἐστί.] *διαφανέος* vulg., *διαφανέως* P.', *διαφανέα* C., Ald.; — *αὐτῷ* pro *αὐτό* C.; — *ἀνταυγῇ* vulg., emendavit Foës. Fuit, qui pro *κρέας* coniiciebat *κέρας*; non credo *κρέας* tangendum esse.

ἡ δὲ κόρη — διαφανές.] *μέλαινα* cum L., Mack. lego, *μέλαν* vulg.; — *περὶ αὐτήν* L., *περὶ αὐτό* vulg. Post *μέ-*

φαίνεται διὰ τοῦτο, ὅτι ἐν βάθεϊ ἐστὶ καὶ χιτῶνες περὶ αὐτὴν εἰσὶ μέλανες· ἔστι δὲ οὐ μέλαν ὄψι, ἀλλὰ λευκὸν διαφανές. Τὸ δὲ ὑγρὸν κολλῶδες· πολλάκις γὰρ ὀπώπαμεν ἐπὶ ξυρραγέντος ὀφθαλμοῦ ἐξιὸν ὑγρὸν κολλῶδες· κὴν μὲν ᾖ ἔτι θερμὸν, ὑγρόν ἐστι· ἐπειδὰν δὲ ψυχθῇ, ἐγένετο ξηρὸν ὥσπερ λιβανωτὸς διαφανὴς, καὶ τῶν ἀνθρώπων καὶ τῶν θηρίων ὁμοῖόν ἐστι. Τὸν δὲ ὀφθαλμὸν ἀνιᾷ πᾶν ὅ τι ἂν ἐμπέσῃ καὶ τὰ πνεύματα προσβάλλοντα καὶ τὰ ἄλλα, ὅσα λαμπρότερα ἢ κατ' αὐτόν ἐστι, καὶ εἴ τις ἐγχρίσει, διὰ τόδε, ὅτι ὁμόχροια ἔνυγρός ἐστι, ὥσπερ τὸ στόμα καὶ ἡ γλῶσσα καὶ ἡ ἄλλη κοιλίη ἔνυγρά ἐστι.

stunt. Est autem ad conspectum non nigrum quid, sed album, pellucidum. Humidum vero glutinosum est: saepe enim conspeximus oculo disrupto prodiisse humorem glutinosum, qui quamdiu calidus est, liquidus exsistit, ubi vero perfrixit, siccus evadit ad instar thuris transparens. Quod in hominibus et feris ad eundem modum se habet. At oculo infestum est quidquid in eum incursat et venti et reliqua, quae plus splendent quam pro eius natura, et si quis fricet; idque hac de causa, quod superficies est humida, quemadmodum os et lingua et reliquus venter humida exsistunt.

ιη'. Διαλέγεται δὲ διὰ τὸ πνεῦμα ἕλκων ἔσω ἐς πᾶν τὸ σῶμα, τὸ πλεῖστον δὲ ἐς τὰ κοῖλα αὐτὸς ἑωυτῷ· αὐτὸ δὲ θύραζε ὠθεόμενον διὰ τὸ κενὸν ψόφον ποιέει· ἡ κεφαλὴ γὰρ ἐπηχεῖ. Ἡ δὲ γλῶσσα ἀρθροῖ προσβάλλουσα· ἐν τῷ φάρυγγι ἀποφράσσουσα καὶ προσβάλλουσα πρὸς τὴν ὑπερῴην καὶ πρὸς τοὺς ὀδόντας ποιέει σαφηνίζειν· εἰ δὲ μὴ ἡ γλῶσσα ἀρθροῖ προσβάλλουσα ἑκάστοτε, οὐκ ἂν σαφέως διαλέγοιτο ἀλλ' ἢ ἕκαστα φύσι τὰ μονόφωνα. Τεκμήριον δέ ἐστι τούτῳ οἱ κωφοὶ οἱ ἐκ γενετῆς· οὐ γὰρ ἐπίστανται διαλέγεσθαι, ἀλλὰ τὰ μονόφωνα μοῦνον φωνέουσι· οὐδ' εἴ τις τὸ πνεῦμα ἐκπνεύσας πειρῷτο διαλέγεσθαι. Δῆλον δὲ τόδε· οἱ ἄνθρωποι ὁκόταν βούλωνται μέγα φωνῆσαι, ἕλκοντες τὸ πνεῦμα τὸ ἔξω ὠθέουσι θυράζε καὶ φθέγγονται μέγα ἕως ἂν ἀντέχῃ τὸ πνεῦμα, ἔπειτα δὲ καταμαραίνεται τὸ φθέγμα· καὶ οἱ κιθαρῳδοὶ, ὁκόταν δέῃ αὐτοὺς μακροφωνέειν, ἐπ' ἄκρον ἑλκύσαντες τὸ πνεῦμα ἔσω πουλὺ ἐκτείνουσι τὴν ἐκφορὰν καὶ

18. Sermonis autem in homine causa est, quod ad totum corpus spiritum trahit, plurimum vero ad suas quisque cavitates. Is vero per inane foras pulsus strepitum facit; caput enim resonat. Lingua vero in faucibus interseptum suo appulsu format et ad palatum et dentes impingens clarum reddit; quod nisi lingua suo semper appulsu formaret, non distincte homo loqueretur, sed natura sua propria sibi sona per se emitteret. Cuius rei indicio sunt muti a primo ortu: hi enim distincte loqui nequeunt, sed sona singula per se tantum edunt. Neque vero si quis spiritu foras emisso loqui conetur, id facere queat, quod hinc constat: qui magnam volunt vocem edere, ii attractum externum spiritum foras propellunt et quamdiu perdurat spiritus, magnam vocem fundunt, quae postea deficit. Quin etiam citharoedi, si longe protractum sonum edere oporteat, spiritum intro summopere attrahunt et plurimum emittunt ac vociferantur vocemque, quamdiu spiritus suffecerit, magnam edunt; ubi vero spiritus defe-

λανες delevi scholion: χιτῶνα δὲ καλέομεν τὸ ἐνεὸν ὥσπερ δέρμα, — porro μέλαιναν ὄψει Mack.

τὸ δὲ ὑγρὸν — ὁμοῖόν ἐστι.] ἔστι δὲ ὑγρόν Lind.

τὸν δὲ ὀφθαλμὸν — ἔνυγρά ἐστι.] καὶ ἤν (εἴ C.) τις ἐν κρίσει (ἐγκρίσει pro ἐν κρίσει Lind., ἐκκρίσει codd. apud Foës. in not., Mack., ἐρωτήσῃ legisse videtur Corn.; ἐρωτήσει Zuing. in marg.) διὰ τόδε, ὅτι ὁμόχροια (addit ἔνυγρος Lind.) ἐστιν ὥσπερ; Littréus recepit ἔνυγρος Lindani et ἐγχρίσει recte scripsit; hunc sequor.

18. διαλέγεται — ἐπηχεῖ.] δὲ καί C.; — ἕλκον Zuing., ἕλκειν Zuing. in marg., Lind., Mack.; — εἴσω πᾶν vulgo, ἔσω ἐς πᾶν Littr. recte de suo.

ἡ δὲ γλῶσσα — μονόφωνα.] ἔν [τε] τῷ Lind., Mack.; — λάρυγγι Mack.

τεκμήριον — διαλέγεσθαι.] οὐ γὰρ ἐπίστανται cum Lind. dedi; οὐκ ἐπίστανται vulgo.

δῆλον δὲ — φθεγγόμενον.] ὡς ἀντέχῃ vulgo, quod in ὡς ἀντηχῇ mutant, sicuti infra ἀντηχῶσι pro ἀντέχωσι

φωνοῦσι καὶ φθέγγονται μέγα ἕως ἂν ἀντέχωσι τῷ πνεύματι, ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλίπῃ, καταπαύονται· τούτοισι δῆλον ὅτι τὸ πνεῦμά ἐστι τὸ φθεγγόμενον. Εἶδον δὲ ἤδη οἳ σφάξαντες ἑωυτοὺς ἀπέταμον τὴν φάρυγγα παντάπασι· οὗτοι ζῶσι μὲν, φθέγγονται δὲ οὐδέν, ἤν μήτις ξυλλάβῃ τὸν φάρυγγα, οὕτω δὲ φθέγγονται· δῆλον δὲ καὶ τούτῳ, ὅτι τὸ πνεῦμα οὐ δύναται διατετμημένου τοῦ φάρυγγος ἕλκειν ἔσω ἐς τὰ κοῖλα, ἀλλὰ κατὰ τὸ διατετμημένον ἐκπνέει. Οὕτως ἔχει περὶ φωνῆς ἴσως καὶ διαλέξιος.

κἀγὼ — προσηγορίας.] δέ pro γε mss. 5.; — γε om. unum; — σοφ. ἀνδρῶν J.; — ὅτι οὐνομαστὶ (ὀνομαστί mss. 10., οὔνομα H. b.) μὴ προεῖπε permulta mss.; ὅτι ὀνομαστὶ οὐ πρ. cod. χ.; — δ' ἔφη C.; — τίνα pro τί mss. 3.; — καθέωμεν C. J.; — ἄγνοια — προσαγορίας omm. D. K., in illo vero rest. al. m.; — ἦν omm. mss. 6.; — προφ. ἦν b.; — ἡ τοῦ ξένου (ξείνου mss. 4.) προσηγορία mss. 12.

ἱπποκράτης — ἰητρός.] ὄνομα mss. 5., οὔνομα unum.

ὁ δὲ — ἀφῖκται.] γε pro τε Ald., mss. 14.; — ὡς ἐμέ pro καὶ ἐς ἡμᾶς ἀφῖκται mss. 6.; ἀφικνεῖται C.

τί — θώκων.] τί δέ σε χρέος δεῦρ' ἤγαγεν, ἑταῖρε mss. 6.; τί δέ σε χρέος, ἑταῖρε, δεῦρο ἤγαγε J.; τί δέ σε χρέος, ἑταῖρε, δεῦρ' ἤγαγε sec. m. in H.; — κάθισον codd. 6., κάθισο b.; — ὁρᾷς codd. 8.; — mss. 6. τὸν οὕτως οὐκ ἀηδῆ φύλλων θημῶνα ὡς pro vulgato ὡς ἔστιν οὗτος οὐκ ἀηδὴς φύλλων θῶκος ἔτι; — οὐκ ἀηδὴς οὑτοσί J.; — οὐκ ἀειδὴς (al. m. ἀηδής) φύτων (al. m. φύλλων) θῶκος (al. m. θῆμος) χλοερός, in marg. ἐπιτερπὴς φύλλων θημών b.; — θῶκος φύλλων C.; — ἔτι om. C., ὅτι pro ἔτι mss. 6., ἅτε pro ἔτι Q.'; — χλωρὸς καί om. ms. unum; χλοερός mss. 5.; — μαλακός codd. 5.; — ἔστι καθίσαι pro ἐγκαθίσαι codd. 6.; — καὶ προσηνεστ. codd. 5.; — τῆς omm. mss. 7.; — ψυχῆς pro τύχης libri nonnulli. Equidem sex illorum mss. lectionem paululum mutatam recepi.

καθίσαντος — ἄν.] καθίσαντος οὖν J.; — πάλιν om. J., αὖθις pro vulgato πάλιν sec. m. in H., αὖτις b.; — ὧν τι libri aliquot; — διζ. πρ. codd. 8.; — δεῦρ' b.; — φράζεο vulg., φράζε mss. 4.; — ἡμέες b., ἡμεῖς vulg.; — δυνάμεθα K.; — ἄν omm. mss. 6.

κἀγὼ — τελέω.] αἴτιον om. unus ψ.; — ἕνεκεν σεῦ· δεῦρο γὰρ ἥκω σοὶ συντυχεῖν C. b.; — ἀνδρὶ σοφῷ codd. 5.

ὁ δὲ — ἡμετέρῃ.] τοίνυν φησί omm. libri nonnulli, solum φησί omm. alii.

πειρώμενος — κρήνην.] πειρεύμενος vulg., πειρώμενος mss. 6.; — δ' ἐγώ pro vulgato δὲ κἀγώ fert b., κἀγώ omm. mss. 6.; — δήλου Littr. cum mss. 14., καταδήλου vulg.; — ἐόντος mss. 4. omm.; — ἐνεόντος codd. 8. ferunt; — ὑμέ-

ἔφην, πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ, καὶ μάλα εἶπε, εἰ τὸν Δάμωνος λέγεις, τὸν οἰκεῦντα παρὰ τὴν Ἑρμαΐδα κρήνην. Τοῦτον, εἶπον, οὗ καὶ τυγχάνω ἐκ πατέρων ἴδιος ξεῖνος· ἀλλὰ σὺ, Δημόκριτε, τῇ κρέσσονί με ξενίῃ δέχου, καὶ πρῶτόν γε τί τοῦτο τυγχάνεις γράφων φράζε. Ὁ δ' ἐπισχὼν ὀλίγον, περὶ μανίης, ἔφη. Κἀγὼ, ὦ Ζεῦ βασιλεῦ, φημὶ, εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. Ὁ δὲ, ποίην, φησὶ, πόλιν, Ἱππόκρατες; ἐγὼ δὲ, οὐδὲν, ἔφην, ὦ Δημόκριτε, ἀλλ' οὐκ οἶδ' ὅπως προσέπεσε· ἀλλὰ τί περὶ μανίης γράφεις; Τί γὰρ, εἶπε, ἄλλο, πλὴν ἥ τις τε πέλει καὶ ὅκως ἀνθρώποισι ἐγγίγνεται καὶ τίνα τρόπον ἀπολωφέοιτο· τά τε γὰρ ζῶα ταῦτα ὁκόσα, ἔφη, ὁρῇς, τούτου μέντοι γε ἀνατέμνω εἵνεκα, οὐ μισέων θεοῦ ἔργα, χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν· οἶσθα γὰρ ἀνθρώπων παρακοπῆς ὡς αἰτίη ἐπιτοπουλὺ αὕτη πλεονάσασα, ἐπεὶ πᾶσι μὲν φύσι ἐνυπάρχει, ἀλλὰ παρ' οἷς μὲν ἐλάσσων, παρ' οἷς δέ τι πλέων· τῇ δ' ἀμετρίῃ αὐτῆς νοῦσοι τυγχάνουσι, ὡς ὕλης ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύλης ὑποκειμένης. Κἀγὼ, νὴ Δία, ἔφην, ὦ Δημόκριτε, ἀληθέως γε καὶ φρονίμως λέγεις, ὅθεν εὐδαίμονά σε κρίνω τοσαύτης ἀπολαύοντα ἡσυχίης· ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. Ἐρεομένου δὲ διὰ τί, ὦ Ἱππόκρατες, οὐκ ἐπιτέτραπται; ὅτι, ἔφην, ἢ ἀγροὶ, ἢ οἰκίη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι, ἢ θάνατοι, ἢ δμῶες, ἢ γάμοι, ἢ τοιαῦτά τινα τὴν εὐκαι-

quit, si Damonis filium dicis, cuius aedes sunt iuxta fontem Hermaïda? Illum ipsum, inquam, cuius antiquus sum et peculiaris hospes. Tu vero, Democrite, potiore me hospitio excipito, inprimisque quidnam dic scribas. Ille vero paulum moratus, de insania, inquit. Tum ego, Iuppiter Rex, inquam, peropportune sane contra civitatem scribis. At ille quam civitatem, inquit, Hippocrates? Nihil, inquam, o Democrite, sed nescio quo modo mihi excidit. Sed quid de insania scribis? Quidnam vero, inquit, aliud quam quid sit, et quomodo hominibus innascatur et quanam ratione allevetur. Haec enim, inquit, quae vides animantia huius certe rei gratia reseco, minime dei opera odio prosequens, sed bilis naturam et sedem inquirens. Nosti enim quod haec, ubi redundarit, ut plurimum hominum insaniae causa est. In omni quidem natura inest, sed in aliis quidem paucior, in aliis vero copiosior. Huius autem immoderantia morbi exsistunt, velut materia, partim quidem bona, partim vero mala subiecta. Tum ego, per Iovem, inquam, o Democrite, vere et sapienter ais. Perinde te beatum iudico, qui tanta quiete frueris, cuius participes esse nobis non liceat. At eo interrogante, cur, Hippocrates, non liceat? Quod, inquam, aut agri, aut res familiaris, aut liberi, aut aes alienum, aut morbi, aut mortes, aut servi, aut nuptiae, aut eiusmodi quaedam huius opportunitatem nobis rescindant. Tum sane vir ille in solitam affectionem dilapsus et abunde in risum effusus

τερον ἐόντα b.; — ἔφη pro εἶπε mss. 4.; — εἰ τὸν Δ. mss. 6.; — vulgo εἰ om.; — tum τὸν Δάμωνος λέγεις υἱόν cett., e quibus υἱόν abieci; — οἰκέοντα codd. 3.

τοῦτον — φράζε.] ὧ pro οὗ mss. 6.; — ξεῖνος pauci codd., ξένος vulg.; — φίλιος in H. supra ἴδιος; — κρέσσονι mss. 3.; — τί ἦν τοῦτο, ὃ γράφων τυγχάνεις mss. 7.; — τί ἦν τοῦ ὃ γράφεις C.; — φράζεο sec. m. in H.

κἀγὼ — γράφεις.] ὡς εὐκαίρως sine γε cod. τ.; — εὐκαίρως sine γε J.; — ἀντιγράφοις J.; — ἐγὼ μὲν οὐδέν cod. χ.; — οἶδα cod. τ.; — ἔφην post ἴσως inserit b.; — προὔπεσεν mss. 9., προὔπεσον mss. 6. et Littr., προσέπεσε vulgata, de qua non discedendum videtur

τί — ὑποκειμένης.] πλήν omm. mss. 6.; — ἥ τις τε εἴη vulg., sed πέλει pro εἴη mss. 6.; sequens καί e vulg. exciderat, dedit e mss. 13. Littr.; — ἐγγίγνεται mss. 2., ἐγγίνεται vulg.; — ἀπολοφέοντα vulg., recte scriptum dedit Littr. e mss. 6.; alia ἀπόλοιτο, unum ἀπαλειφέοιτο (sic); — τὰ γάρ sine τε ms. 4.; — ταῦτα omm. D. G.; — ἔφη ταῦτα ὁκόσα C. b.; — ἔφη ὁκόσα mss. 6.; — ὁρᾷς mss. 3.; — ἕνεκα (εἵνεκα codd. 3.) ἀνατ. mss. 7.; — ἐπὶ τὸ πουλύ C., unde Ionismum recepi; — ἐπὶ πάσῃ μέν vulg., emendavit Littr. e multis codd.; — ἔλαττον vulg., ἐλάσσων mss. 4.; — δ' ἔστι pro δέ τι C. b.; — τισι mss. 6.; — πλέον vulg., sed πλείων mss. 6., πλέων b.; — πλείω C.; — ἡ δ' ἀμετρίη vulg., ἡ δὲ ἀμετρία mss. 3.; equidem de meo dativum repono; — φλαύρης b.

κἀγὼ — ἐπιτέτραπται.] δι' ἔφην mss. 5.; — τε καί pro γε καί mss. 6.; — βάζεις b.; sed al. m. λέγεις; — ἀπολ. τοσαύτ. mss. 6.; — ἐπιτρέπεται b.

ἐρεομένου — ὑποτάμνεται.] ἐρομένου mss. 5.; — διότι C.; — ὦ omm. mss. 6.; — ἀγροικίη pro ἀγροὶ ἢ οἰκίη Ald., mss. 5.; — ἀποικίη codd. 6.; — γάμος vulg., plur. num. revocavit Littr. ex edd. antt., mss. 15.; — εὐκαιρίην ἡμῶν ὑποτέμνεται vulg., ἡμῶν omm. mss. 14., Littr.; — ὑποτάμνεται Ionice C.

ρίην ὑποτάμνεται. Ἐνταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς κατηνέχθη καὶ μάλα ἀθρόον τι ἀνεκάγχασε καὶ ἐπετώθασε, καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε. Κἀγὼ, τί μέντοι, Δημόκριτε, ἔφην, γελᾷς; πότερον τὰ ἀγαθὰ, ὧν εἶπον, ἢ τὰ κακά; ὁ δὲ ἔτι μᾶλλον ἐγέλα καὶ ἄποθεν ὁρεῦντες οἱ Ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς ἑωυτῶν ἔπαιον, οἱ δὲ τὰ μέτωπα, οἱ δὲ τὰς τρίχας ἔτιλλον· καὶ γὰρ, ὡς ὕστερον ἔφησαν, πλεονάζοντι παρὰ τὸ εἰωθὸς τῷ γέλωτι ἐχρήσατο. Ὑποτυχὼν δ' ἐγὼ, ἀλλὰ μὴν, ἔφην, σοφῶν ἄριστε, Δημόκριτε, ποθέω γὰρ αἰτίην τοῦ περί σε πάθεος καταλαβέσθαι, τίνος εἵνεκα ἄξιος ἐφάνην ἐγὼ γέλωτος, ἢ τὰ λεχθέντα; ὅκως μαθὼν παύσομαι τῆς αἰτίης, ἢ σὺ ἐλεγχθεὶς διακρούσει τοὺς ἀκαίρους γέλωτας. Ὁ δὲ, Ἡρακλεῖς, ἔφη, εἰ γὰρ δυνήσει με ἐλέγξαι, θεραπείην θεραπεύσεις, οἵην οὐδεὶς οὐδεπώποτε, ὦ Ἱππόκρατες. Καὶ πῶς οὐκ ἐλεγχθείης, ἔφην, ὦ ἄριστε, ἢ οὐκ οἴει ἄτοπός γε εἶναι γελῶν ἀνθρώπου θάνατον, ἢ νοῦσον, ἢ παρακοπὴν, ἢ μανίην, ἢ μελαγχολίην, ἢ σφαγὴν, ἢ ἄλλο τι χεῖρον; ἢ τοὔμπαλιν γάμους, ἢ πανηγύριας, ἢ τεκνογονίην, ἢ μυστήρια, ἢ ἀρχὰς καὶ τιμὰς, ἢ ἄλλο τι ὅλως ἀγαθόν; καὶ γὰρ ἃ δέον οἰκτείρειν γελᾷς, καὶ ἐφ' οἷσι ἥδεσθαι χρὴ, καταγελᾷς τούτων, ὥστε μήτε ἀγαθὸν, μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. Ὁ δὲ, ταῦτα μὲν, ἔφη, εὖ λέγεις, ὦ Ἱππόκρατες, ἀλλ' οὐκ οἶσθά πω τοῦ ἡμετέρου γέλωτος τὴν αἰτίην, μαθὼν δ' εὖ οἶδ' ὅτι κρέσσονα τῆς

est et vehementius irrisit, ac de cetero quievit. At ego, quid sane, Democrite, inquam, rides? num de bonis an de malis, quae dixi? Ille vero etiam magis ridebat. Quod procul videntes Abderitae partim quidem capita, partim vero frontem caedebant, quidam etiam capillos evellebant. Nam, quemadmodum postea narrabant, copiosiore quam solitus esset risu usus fuerat. Tum ego, at vero sapientum optime, Democrite, huius enim tui affectus causam deprehendere cupio, quare tibi risu dignus visus sum, aut ea quae dicta sunt? ut hoc cognito, causa desistam, vel tu reprehensus inopportunos hos risus summoveas. Tum ille, si, me hercule, inquit, redarguere me poteris, curationem, Hippocrates, qualem nullus unquam feceris. Et quomodo, inquam, optime, reprehensione dignus non videaris, aut te absurdum non esse putas, si hominum mortem rides, aut morbum, aut dementiam, aut insaniam, aut melancholiam, aut caedem, aut quid peius? aut contra nuptias, aut conventuum celebritates, aut liberorum natales, aut mysteria, aut magistratus, aut honores, aut aliud quid prorsus bonum? Quae enim commiseratione digna sunt rides et de quibus laetari oporteat, ea etiam derides, adeo uti apud te neque boni, neque mali ullum sit discrimen. At ille, recte quidem dicis, Hippocrates, verum risus nostri causam nondum nosti, quam cum didiceris, certus sum quod meum risum meliorem curationem pro tua legatione patriae tibique

ἐνταῦθα — ἦγε.] δέ pro δή C.; — εἰωθὸς πάθος vulg., sed πάθος omm. mss. 5., in quorum duobus rest.; — κατενέχθη C.

κἀγὼ — ἐχρήσατο.] καὶ ἐγώ mss. 5.; — μέντοι γε J.; — ὦ δημ. H. al. m., b.; — ἔφην ὦ δημ. mss. 5.; — γελῆς C. b., καταγελᾷς cod. χ.; — τἀγαθά codd. 6.; — φλαῦρα al. m. in H., prima vero κακά, contra φλαῦρα pr. m. b. κακά secundâ; — δ' ὁρέοντες b., ὁρῶντες codd. 4.; — οἱ μὲν — ἔτιλλον post ἐχρήσατο infert C.; — αὐτέων Littr., ὠυτέων b., αὐτῶν alii, αὐτῶν vulg.; — τρίχας αὐτῶν mss. 5.; — ἔφασαν codd. 7.; — ἐχρ. τῷ γελ. C. b.: — κατηνέχθη καὶ μάλ' ἀθροῦν τι (τι om. o.) ἐχρήσατο τῷ γέλωτι mss. 6.

ὑποτυχὼν — γελῶτας.] δὲ ἐγώ mss. 3.; — ἔφην ἀλλὰ μήν mss. 6.; μέν vulg.. μήν mss. 8., Littr.; — ἐφάνην ἐγὼ γέλωτος ἄξιος b., ἐγὼ γελ. ἐφ. C.; — post γέλωτος ferunt αὐτός mss. 6.; — λαληθέντα codd. 5.; — post ὅκως ferunt ἢ mss. 5.; — παύσωμαι vulg., παύσομαι Littr. cum codd. 2.; — διακρούσῃ cett.

ὁ δὲ — ἱππόκρατες.] δυνήσῃ cett.; — θεραπηΐην b. pr. m.; — οἵην οὐδένα οὐδεπ. vulg.. οἵην οὐδένα πώποτε in marg. ἣν οὐδέποτε οὐδένα b., οὐδ' ἄνευ pro οὐδένα K., πώποτε mss. 5.; equidem οὐδείς de coniectura dedi; — ὦ omm. mss. 3.

καὶ — διακεκρίσθαι.] ἐλεγχθήσῃ apparet in paucis mss.; — οἴῃ vulg., οἶσθα mss. 6.; — τις pro γε J.; — θαν. ἀνθρ. codd. 6.; — ἢ μελ. ἢ μαν. iidem; — χέρειον mss. 4.; — ἢ καὶ τιμάς vulg., sed ἤ omm. mss. 6., καί omm. 8. alia: — ἄλλο τι πᾶν sec. m. in H. b., voluerunt, puto, ἀλλ' ὅ τι πᾶν ἀγ.; πᾶν ὅλως ὄνομα pro ἄλλο τι ὅλως mss. 6.; — γελῆς cod. b.; — καταγελῆς C. b.; — ὡς μήτε J.

ὁ δὲ — δ' οἰκεῦντες.] εὖ ἔφη C. b.; — ἔφη omm. codd. 5.; — ὦ omm. codd. 3.; — ἢ γάρ pro ἀλλ' mss. 6.; — πως unus cod. ω.; — τοῦ ante ἡμετέρου omm codd. 6.; — δέ mss. 2.: — ἀντιφροντισάμενος mss. 4.; — ἀποίσῃ codd.

πρεσβείης ἀντιφορτισάμενος ἀποίσεις θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι, καὶ σεωυτὸν καὶ τοὺς ἄλλους δυνήσει σωφρονίζειν· ἀνθ' ὧν ἴσως κἀμὲ διδάξεις ἰητρικὴν ἀμοιβηδὸν, γνοὺς ὅσῃ σπουδῇ περὶ τὰ ἀσπούδαστα, φιλοτιμούμενοι πρήσσειν τὰ μηδενὸς ἄξια, πάντες ὤνθρωποι τὸν βίον ἀναλίσκουσι, γελώτων ἄξια διοικεῦντες. Ἐγὼ δὲ, λέγε, φημὶ, πρὸς θεῶν, μήκοτε γὰρ διαλανθάνῃ ἅπας ὁ κόσμος νοσέων, καὶ οὐκ ἔχῃ ὅκου διαπέμψεται πρεσβείην πρὸς θεραπείην· τί γὰρ ἂν εἴη ἔξω αὐτοῦ; ὁ δ' ὑπολαβὼν, πολλαί γε, φησὶ, ἀπειρίαι κόσμων εἰσὶ, Ἱππόκρατες, καὶ μηδαμῶς, ἑταῖρε, κατασμικρολόγει πλουσίην τὴν φύσιν ἐοῦσαν. Ἀλλὰ ταῦτα μὲν, ἔφην, Δημόκριτε, διδάξεις ἐν ἰδίῳ καιρῷ, εὐλαβέομαι γὰρ μή κως καὶ τὴν ἀπειρίην διεξιὼν γελᾶν ἄρξει· ἴσθι δὲ νῦν περὶ τοῦ σέο γελῶτος τῷ βίῳ λόγον δώσων. Ὁ δὲ μάλα τρανὸν ἐπιδών μοι, δύο, φησὶ, τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φαῦλα· ἐγὼ δὲ ἕνα γελῶ τὸν ἄνθρωπον, ἀνοίης μὲν γέμοντα, κενεὸν δὲ πρηγμάτων ὀρθῶν, πάσῃσι ἐπιβουλῇσι νηπιάζοντα, καὶ μηδεμιῆς ἕνεκεν ὠφελείης ἀλγέοντα τοὺς ἀνηνύτους μόχθους, πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμέτροισι ἐπιθυμίῃσι ὁδεύοντα, ἄργυρον τήκοντα καὶ χρυσὸν, καὶ μὴ παυόμενον τῆς κτήσιος ταύτης, αἰεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον, ὅκως αὐτὸς ἐλάσσων γένηται· καὶ οὐδὲν αἰσχύνεται λεγόμενος εὐδαίμων, ὅτι χάσματα γῆς ὀρύσσει δεσμίων χερσὶ, ὧν οἱ μὲν ὑπὸ σομφῆς ἐπιπεσούσης τῆς γῆς ἐφθάρησαν, οἱ δὲ πολυχρονιωτάτην ταύτην ἔχοντες τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσι παραμένουσι, ἀργύριον καὶ χρυσίον μαστεύοντες,

ipsi vicissim reportabis, qua etiam alios prudentiores reddere poteris; pro quibus fortasse me etiam medicinam contra docueris; ubi cognoveris quanto studio omnes homines ad ea, quae negligenda sunt et nullius pretii facienda, contendant et in his, quae risu digna sunt, consectandis vitam consumant. Tum ego, dic per Deos, inquam, vereor enim ne totus mundus se aegrotare ignoret, neque habeat unde sui curationem legatione accersat. Quid enim extra eum esse potest? Quo audito, multae, inquit, sunt, Hippocrates, mundorum infinitates, nolique, amice, naturam divitem ut parvam existimare. Sed haec, Democrite, inquam, suo tempore docebis. Vereor enim ne si quando infinitatem percensueris, ridere incipias. Nunc vero de tuo risu in vita reddendam esse tibi rationem puta. At ille admodum perspicue in me intuens, duas, inquit, mei risus causas existimas, bona et mala. At ego unum hominem rideo, amentia quidem refertum, recte factis vacuum, in omnibus consiliis pueriliter agentem, nullius utilitatis gratia immensos labores tolerantem, terrae sinus et infinitos recessus immoderatis cupiditatibus pervadentem, argentum et aurum liquantem, neque de horum acquisitione desistentem, sed semper de copia augenda sollicitum, ut ipse eorum servus fiat; neque eum pudet beatum appellari, quia terrae hiatus effodit per manus captivorum, quorum alii a terra rara ipsis illabente intereunt, alii, diutissime hac necessitate detenti, in supplicio tanquam in patria permanent, aurum et argentum quaerentes, pulveris vestigia et ramenta pervestigantes, arenam aliam aliunde colligentes, et terrae venas exscindentes ad opulentiam

7.; — *καὶ ἑωυτέῳ* vulg., *ἑαυτόν* codd. 5., *σεαυτόν* unus *τ*; itaque *σεωυτόν* scripsi; — *οἵην σπουδήν* mss. 6., *ὅσην σπουδήν* cod. b.; — post *βίον* ferunt *ἀχρήστως* mss. 6.; — *ἄξ. γελ.* unus cod. ψ.

ἐγὼ — ἐοῦσαν.] *λέγε φημί* C. b., vulgo *φ. λ.*, sed *λέγω* pro *λ. φ.* mss. 3.; — *μήποτε* vulg., sequor b.; — *γάρ* om. *τ*.; — *διαλανθάνει* vulg., *διαλανθάνῃ* C. J. *τ*.; — *νοσέων πᾶς ὁ κόσμος* mss. 6.; — *ἔχει* cett., *διαπέμψηται* vulg., sequor C.; — *θεραπηΐην* pr. m. in b.; — *εἴη* om. cod. C.; — *δὲ ὑπολ.* mss. 3.; — *γε* om. J.; — *εἰσί* omm. D. K.; — *ὦ ἱππ.* mss. 4.; — *ὦ ἑταῖρε* b.; — *τὴν φ. πλουσίην* J.

ἀλλὰ — δώσων.] *μέν* dedit Littr. e codd. 15., vulgo om.; — *ὦ δημ.* codd. 6.; — *δέ* pro *γάρ* codd. 6.; — *κως* codd. 6., *πως* vulgo; — *γελῆν* libri 8.; — *τοίνυν* pro *δὲ νῦν* mss. 6.; — *σοῦ* codd. omnes Littréi; *δώσων λόγον* cod. ψ.

ὁ δὲ — ὑβρίζοντες.] *τρηχὺ*, *τραχύ* codd. nonnulli pro *τρανόν*; — *ἀπιδών* vulg., sec. m. in H. et Littr. *ἐπιδών*; — *μοι* Littr. cum mss. 12., *με* vulg.; — *ἔφη* D. K.; — *τοῦ ἐμοῦ φησι* J.; — *τοῦ μοῦ* codd. 5., *μου* C. *τ*.: — *φλαῦρα* codd. 7.; *δέ* post *ἐγώ* omm. codd. 5.; — *καὶ ὁ δὲ γελῶ τὰ ἀνθρώπου* D., H. cum *φησί* post *δέ*, quod in I. al. m. scriptum, K.; — *ναί· ὁ δὲ γελῶ* Q.'; — *γελῶ τὰ ἀνθρώπου*

ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶντες, ψάμμον ἄλλην ἀλλαχόθεν ἀγείροντες καὶ τὰς τῆς γῆς Φλέβας ἐκτάμνοντες, ἐς περιουσίην αἰεὶ βωλοκοπέοντες, ποιέοντες ἐκ γῆς τῆς μητρὸς πολεμίην γῆν, καὶ μίαν καὶ τὴν αὐτὴν ἐοῦσαν καὶ θαυμάζουσι καὶ πατέουσι· ὅσος γέλως. ἐπιμόχθου καὶ κρυφίης γῆς ἐρῶσι τὴν Φανερὴν ὑβρίζοντες. Κύνας ὠνεῦνται, οἱ δ' ἵππους, οἱ δὲ χώρην πολλὴν περιορίζοντες ἰδίην ἐπιγράφουσι καὶ πολλῶν ἐθέλοντες δεσπόζειν οὐδὲ ἑωυτῶν δύνανται· γαμεῖν σπεύδουσι, ἃς μετ' ὀλίγον ἐκβάλλουσι, ἐρῶσι, εἶτα μισέουσι, μετ' ἐπιθυμίης γεννῶσι, εἶτ' ἐκβάλλουσι τελείους. Τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος, μηδὲν μανίης διαφέρουσα; πολεμοῦσι ἔμφυλον, ἠρεμίην οὐχ αἱρετίζοντες· ἀντενεδρεύουσι βασιλέας, ἀνδροφονέουσι, γῆν ὀρύσσοντες ἀργύριον ζητοῦσι, ἀργύριον εὑρόντες γῆν ἐθέλουσι πρίασθαι, ὠνησάμενοι γῆν καρποὺς πιπρήσκουσι, καρποὺς ἀποδόμενοι πάλιν ἀργύριον λαμβάνουσι. Ἐν ὅσῃσι μεταβολῇσι εἰσὶ, ἐν ὅσῃ κακίῃ· οὐσίην μὴ ἔχοντες οὐσίην ποθέουσι, ἔχοντες κρύπτουσι, ἀφανίζουσι. Καταγελῶ ἐφ' οἷσι κακοπρηγεῦσι, ἐπιτείνω τὸν γέλωτα ἐφ' οἷς δυστυχέουσι, θεσμοὺς γὰρ ἀληθείης

parandam semper glebas scindentes et terram matrem hostilem facientes, eamque unam et eandem semper tum admirantur, tum calcant. Quantum vero rideri debet, quod cum labore partam latentem terram amant, apertam contumelia afficiunt. Canes emunt, quidam etiam equos, quidam vero multa circumscripta regione, eam sibi adscribunt, et cum multis dominari velint, sibi ipsi imperare nequeunt. Uxores ducere cupiunt, quas paulo post repudiant, amant, deinde odio prosequuntur, cum cupiditate liberos suscipiunt, deinde eos adultos abdicant. Quodnam hoc inane studium et rationis expers, nihilque ab insania discrepans? Bellum intestinum gerunt, quietem optabilem non ducentes, regibus vicissim insidias tendunt, homines necant, defossa terra argentum investigant, argento reperto terram emere cupiunt, terra empta fructum divendunt, fructibus divenditis rursus argentum capiunt. Quibus mutationibus et quantis vitiis obnoxii! Cum opes non habeant, eas expetunt, si habent, abscondunt, dissipant. Eorum res adversas derideo, verum infortunia intento risu excipio. Veritatis enim instituta violant, contentionis studio hostiles inter se rixas habent. Cum fratribus vero, pa-

Ald.; — *μέν* post *ἀνοίης* omm. codd. 8.; — *ὀρθῶς* om. J.; — *ἀνύοντα* pro *ἀλγέοντα* mss. 6.: — *ἀνηνίστους πόνους καὶ μόχθους* b.; — *ἀμετρίῃσιν ἐπιθυμίης* codd. 6., *ἀμετρίης ἐπιθυμίη* alii; — *τήκοντα* Littr. cum mss. 16., quorum unum D. al. m. *κτῶντα*, vulgo *κτίζοντα*; — *αἰεὶ δή* K.; — *ὅκως αὐτὸς ἐλάσσων μὴ γένηται* vulg., in quibus *αὐτοῦ* ex cod. *τ*. Littréus, *αὐτός* om. C., *ἔλαττον* C. b., *μή* omm. mss. 12; et vero negatio omnino omittenda, et vulgatum *αὐτός* servandum; nota est formula *ἐλάσσων χρημάτων γίγνεσθαι*! Tum *χάσμα τῆς γῆς* vulgo, veram lect. dedit Littr. e mss. 14.; *χάσματα ὑπὸ γῆς* Q.'; — *δεσμίων* Littr. cum mss. 14.; *διζήμενος* vulg.; — *ἐπιπιπτούσης* vulg., *πιπτούσης* mss. 5., *πεσούσης* Vatt. Foësii, *ἐπιπεσούσης* C. b., Littr.; — *τῆς γῆς* omm. D. K.; — *πολυχρονίως* (*πολυχρονίω* D. al. m., *πολυχρονίως* J., *πολλῷ χρόνῳ* Littr. cum codd. 6.) *ταύτην* (*πολυχρονιωτάτην* pro *π. ταύτην ἐχ. τήν* C.) vulg.; vides quid ipse receperim; — *καταμένουσιν* libri 6.; — *ἄργυρον* et *χρυσόν* nonnulla mss.; — *μαστεύοντες* omm. Ald., F. G., pr. m. in H., I. J.; — *ψῆγμα* cod. *ψ*., *ῥήγματα* C.; — *ἀνερευνῶντες* J.; — *ἐγείροντες* vulg., *ἀγειρ.* Littr. e multis mss., *ἐγείραντες* Ald.; — *τὰς γῆς Φλέβας* sec. m. in H. b.; *τῆς γῆς Φλέβας* vulg., *τῆς* omm. codd. 6.; ego *τάς* et *τῆς* recipio; — *ἐκτάμνοντες* solus b. sec. m.; — vulgo *βωλοποιέοντες* (s. *βωλοποιεῦντες*) *ἐκ γῆς*. Schneiderus *βωλοκοπεῦντες* emendavit, Littr. recte, uti opinor, *βωλοκοπεῦντες, ποιέοντες ἐκ* dedit; — *γῆς* omm. Ald., Parr. 7., *τοῦ* omm. alii sex; — pro *καὶ τὴν αὐτήν* ferunt *τὴν δὲ μίην* mss. 3., quam lectionem cum vulgata coniungo; — *καὶ θαυμάζοντες* (*θαυμάζουσι* H. alia m., aliique) *πατοῦσι* (*πατέουσι* sec. m. in H., b.) vulg., textum dedi quemadmodum Littr.; — *ἐπὶ μόχθου* vulg., *ἐπιμόχθου* codd. 4., Lind., Littr.; — *καὶ τὴν Φ. ὑβρίζουσι* mss. sex.

κύνας — τελείους.] *ὠνέονται* codd. 3.; — *δέ* plene mss. 2.; — *μάλα πολλήν*, al. m. *πάνυ π.* b.; — *πολλῆς* vulg., *πολλῶν* H. sec. m. aliique 7.; — *οἱ δὲ αὐτέων* vulg., sunt tamen libri, qui veram lect. habent; — *ἐκβεβλήκασι* codd. sex; — *ἵνα μισῶσι* cod. *ψ*.; — *ἐρῶσι* pro *γεννῶσι* K.; — *τεκνοῦσιν* mss. 6.; — *εἶτα ἐκβ.* codd. 3.; — *τελείως* mss. sex.

τίς — λαμβάνουσι.] *κενοσπουδίη καὶ ἀλογισμός* in marg. b.; — *διαφέρουσι* J.; — *ἔμφυλα* mss. 6.; — *αἱρετίζουσι* mss. 6.; — *αὐτ' ἐνεδρεύουσι* cod. o., *ἀντενεδρεύουσι* C.; — *βασιλῆας* mss. 4.; — *ἄργυρον* codd. 4.; — pro *ζητοῦσι* ferunt *αἰτοῦσι* D. K.; — *ἄργυρον* cod. *ω*.; — *θέλουσι* codd. 3.; — *πιπράσκουσι* vulg., per *η̄* C. b.; — *ἀποδιδόμενοι* libri 2.; *ἀποδεχόμενοι* Ald.; — *μεταλαμβάνουσι* mss. 6.

ἐν — ἀφανίζουσι.] alterum *ἐν* omm. codd. 4.; — *πολιτείας* infert post *κακίῃ* cod. *τ*.; — *πολιτείης* pro *οὐσίην* mss. 2.; — *ποθέοντες* Ald., codd. 3.; — *ἔχειν κρύπτουσι εὑρόντες* J.; — ante *ἀφανίζουσι* ferunt *ἤ* H. al. m., b.

καταγελῶ — μισεῦσι.] *κακοπραγέουσι* vulg., *κακοπρηγεῦσι* C. b.; — *Φιλονεικ.* om. K.; — *ἔχθρῃ* codd. *σ*. *ψ*., *ἔχθρην* vulg., *ἔχθρῃ* Littr.; — *ἔχοντες* C. pro *ἔχουσι*; — *μετὰ δὲ ἀδελφῶν* vulg., *δέ* omisit et Ionismum dedit Littr.

παραβεβήκασι, φιλονεικέοντες ἔχθρῃ πρὸς ἀλλήλους, δῆριν ἔχουσι μετὰ ἀδελφεῶν καὶ τοκήων καὶ πολιτέων καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων, ὧν οὐδεὶς θανὼν δεσπότης ἐστὶ, ἀλληλοκτονέουσι, ἀθεσμόβια φρονεῦντες φίλων καὶ πατρίδων ἀπορίην ὑπερορέουσι, πλουτίζουσι τὰ ἄναξια καὶ τὰ ἄψυχα, ὅλης τῆς οὐσίης ἀνδριάντα ὠνέονται, ὅτι δοκέει λαλεῖν τὸ ἄγαλμα, τοὺς δὲ ἀληθέως λαλέοντας μισεῦσι. Τῶν μὴ ἰδίων ἐφίενται· καὶ γὰρ ἤπειρον οἰκεῦντες θάλασσαν ποθέουσι καὶ πάλιν ἐν νήσοισι ἐόντες ἠπείρων γλίχονται, καὶ πάντα διαστρέφουσι ἐς ἰδίην ἐπιθυμίην. Καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρίην ἐπαινέεσθαι, νικῶνται δὲ καθ' ἡμέρην ὑπὸ τῆς ἀσελγείης, ὑπὸ τῆς φιλαργυρίης, ὑπὸ τῶν παθέων πάντων, ἃ νοσέουσι. Θερσῖται δ' εἰσὶ τοῦ βίου πάντες. Τί δὲ τὸν ἐμὸν, Ἱππόκρατες, ἐμέμψω γέλωτα; οὐ γὰρ αὐτός τις τῆς ἰδίης ἀνοίης, ἀλλὰ ἄλλος ἄλλου καταγελᾷ, οἱ μὲν τῶν μεθυόντων, ὅταν αὐτοὶ δοκέωσι νήφειν, οἱ δὲ τῶν ἐρώντων, χαλεπωτέρην νοῦσον νοσεῦντες αὐτοὶ, οἱ δὲ τῶν πλεόντων, ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχοληθέντων· οὐ ξυμφωνέουσι γὰρ οὔτε τῇσι τέχνῃσι, οὔτε τοῖσι ἔργοισι. Ἐγὼ δὲ, ταῦτα μὲν, ἔφην, κρήγυα, Δημόκριτε, οὐδ' ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλων ταλαιπωρίην θνητῶν· ἀλλ' αἱ πρήξιες νομοθετέουσι τὴν ἀναγκαίην, οἰκονομίης τε εἵνεκα καὶ ναυπηγίης καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τὸν ἄνθρωπον· οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννησε· ἐκ τούτων δὲ πάλιν φιλοδοξίη χυθεῖσα ἔσφηλε πολλῶν ὀρθογνώ-

rentibus et civibus mutuas caedes exercent, idque pro iis possessionibus, quarum nemo post mortem dominus esse potest. Iniustam vitam consectantes amicorum et patriae inopiam despiciunt, indigna et inanimata divitiarum loco habent, pro universis facultatibus statuam mercantur, quod simulacrum loqui videatur, eos vero, qui vere loquuntur, odio habent. Res alienas expetunt; in continente habitantes maritima expetunt, rursusque insulas tenentes continentem affectant, cunctaque in suam propriam cupiditatem pervertunt. Et in bello quidem virtutem laudari aequum censent, at in dies a libidinum indulgentia et avaritia vincuntur et affectibus omnibus, quibus laborant. Thersitis autem vitam omnes referunt. Qua vero in re risum meum Hippocrates reprehendisti? Neque enim quisquam suam, sed alter alterius amentiam deridet, hi quidem ebrios, cum ipsi sibi sobrii videantur, alii amantes, cum ipsi graviore morbo laborent, hi vero navigantes, alii agriculturae deditos. Neque enim artibus, neque operibus inter se consentiunt. Tum ego, haec quidem, inquam, vera sunt, Democrite, neque alia quaepiam oratio ad convincendam mortalium miseriam commodior esse possit; verum ipsae actiones hanc necessitatem veluti decreto quodam imponunt, ad rei domesticae dispensationem, navium fabricationem et reliquam rei publicae administrationem, in qua versari hominem oportet. Neque enim ad inertiam eum natura procreavit. Ex his vero rursus late sparsa ambitio multorum recte sentientem animum aberrare coëgit, qui ad omnia velut

e mss. nonnullis; — τοκέων mss. 5.; — φρονέοντες H. al. m., b.; πατέρων pr. m. in b.; — ὑπερορέουσι b., ὑπερορῶσι vulg.; — ἀνδριάντα vulg., ἀνδριάντας multi codd., Littr.; — λέγοντας pro λαλέοντας mss. 5.; — μισέουσι codd. 2.

τῶν — ἐπιθυμίην.] τῶν γὰρ μή vulg., γάρ omm. codd. 4., Littr.; — μὴ ἰδίων vulg., ἰδίων mss. 3., ἰδέων cod. C.; mihi ἰδίων veram lect. referre videtur; — οἰκέοντες mss. 3.; — κάρτα θάλασσαν ἐπιθ. H. al. m., b.; — ἤπειρον vulg., ἠπείρων mss. 7.

καὶ — νοσέουσι.] ἀνδρείην vulg., ἀνδρίην codd. 4.; — ἐπαινέσαι mss. 5.; — τῆς φιλαργυρίης J., Littr.; — τῆς om. vulg., dedit Littr.; — ἀπάντων mss. 3.; — ἃ ante νοσέουσι om. vulg., dedit Littr. e mss. 6.; — νοσεύει C., i. e. νοσεῦσι.

θερσῖται — πάντες.] δέ codd. 2.

τὸ δὲ — ἔργοισι.] γελ. ἐμέμψω J.; — αὐτός τις J., Littr., vulgo τις om., αὐτοί sine τις C., sec. m. in H., alii 5.; — ἀλλ' ἄλλος b.; — καταγελῆται vulg., καταγελῇ C., καταγελᾷ codd. 5., Littr.; — χαλεπωτέρην ἑτέρην b.; — νοσέοντες H. al. m., mss. 3.; — συμφωνεῦσι C. b.; — ταῖς τέχναις οὔτε τοῖς ἔργοις vulg., sed τέχναισιν οὔτε τοῖσι ἔργοισιν mss. 5.; itaque omnia Ionice scripsi.

ἐγὼ δὲ — προορῆσθαι.] οὐδὲ ἄλλος mss. 3.; — ἁρμοδ. omm. mss. aliquot; — ἀλλά mss. 4., Ald., αἱ omm. mss. 7. et Ald.; — οἰκοδομῆς pr. m. in b.; — ἕνεκεν codd. 3., εἵνεκεν duo; — τῆς ἄλλης πολιτ. cod. τ.; — πολιτηΐης pr. m. in b.; — ἐγέννα vulg., ἐγέννησε sec. m. in b., Littr.; —

μονα ψυχήν, σπουδαζόντων μὲν ἅπαντα ὡς ἐπὶ ἀδιαπτωσίῃ, μὴ κατευτονεύντων δὲ τὴν ἀδηλότητα προορῆσθαι. Ἦ που γάρ τις, ὦ Δημόκριτε, γαμέων ἢ χωρισμὸν ἢ θάνατον προσεδόκησε; τίς δ' ὁμοίως παιδοτροφέων ἀπώλειαν; ἀλλ' οὐδ' ἐν γεωργίῃ καὶ πλόῳ καὶ βασιλείῃ καὶ ἡγεμονίῃ πανθ' ὅσ' ὑπάρχει κατὰ τὸν αἰῶνα· οὐδεὶς γὰρ προϋπέλαβε πταῖσαι, ἀλλ' ἀγαθῇσι ἕκαστος τούτων ἐλπίσι φέρβεται, τῶν δὲ χερειόνων οὐδὲ μέμνηται· μή ποτ' οὖν ὁ σὸς γέλως τούτοισι ἐνάρμοστος. Ὁ δὲ Δημόκριτος, μάλα, ἔφη, νωθὴς τὸν νόον ὑπάρχεις καὶ μακρήν γε τῆς ἐμῆς γνώμης ἀπόδημος, Ἱππόκρατες, ἀταραξίης καὶ ταραχῆς μέτρα μὴ ἐπισκοπέων, δι' ἄγνοιαν. Ταῦτα γὰρ αὐτὰ διανοίῃ φρενήρεϊ διοικέοντες, αὐτοί τε ῥηϊδίως ἀπήλλασσον καὶ τὸν ἐμὸν ἐλώφεον γέλωτα. Νῦν δ' ὡς ἐπ' ἀρηρόσι τοῖσι ἐν τῷ βίῳ φρενοβλαβέες τετύφλωνται, ἀξυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς δυσδίδακτοι· νουθεσίη γὰρ αὐτάρκης ὑπῆρχε ἡ τῶν ξυμπάντων μεταβολή, ὀξείῃσι τροπῇσι ἐμπίπτουσα, αἰφνίδιον τροχηλασίην παντοίην ἐννοέουσα. Οἱ δ' ὡς ἐπ' ἀρηρυίῃ ἐκλελησμένοι παθέων κατὰ τὸ ξυνεχὲς ἐμπιπτόντων ἄλλοτε ἄλλως ποθεῦντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ ξυμφέροντα, ἐγκαλινδεῦνται πολλῇσι ξυμφορῇσι. Εἰ δέ τις ἐμερμήριζε κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρούρεε τὴν ζωήν, ἑωυτὸν ἐξεπιστάμενος καὶ ξύγκρισιν ἰδίην σαφέως κατανοήσας καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν ἀόριστον ἐκτείνων, τὴν δὲ πλουσίην

sine lapsu summo studio contendunt, non tamen obscuritatem praevidere possunt. Quis enim, o Democrite, uxorem ducens divortium aut mortem cogitat? aut liberos educans interitum? Sed neque in agricultura et navigatione, regno, imperio quae insunt, omnia per totam vitam persistunt. Nemo enim se aberraturum animo ante percipit, sed quisque horum bona spe pascitur, deteriora vero ne meminit quidem. Ne igitur tuus hic risus his minime conveniat est verendum. Tum Democritus, tardo, inquit, es admodum ingenio proculque a mea sententia peregrinaris, Hippocrates, neque tranquillitatis et perturbationis modum propter ignorantiam perspicis. Qui enim haec ipsa prudenti cogitatione disponunt, iis et ipsis facile res succedit et ipsi risum meum sublevant. Nunc vero in rebus huius vitae, tanquam in stabilibus mente capti coecutiunt, neque mente rationis experte inordinatum impetum facile discunt. Satis enim haec fuerit admonitio, rerum omnium commutatio, quae subditis conversionibus incidens repentinam et omnimodam rerum velut rotarum agitationem in mentis notione reponit. Illi vero tanquam haec firma sit affectionum continenter incidentium obliti, aliter alius quae tristitiam adferunt expetentes, quae sunt incommoda quaerentes in multis calamitatibus assidue versantur. Quodsi quis omnia quae facit pro viribus mente versaret, vitam ab omni casu immunem servaret, se ipse probe noscens, et suam ipsius contemperationem aperte intelligens, cupiditatis studium non in infinitum extendens, sed natu-

ἐπ' ἀδιαπτ. mss. 3.; — κατ' εὐτονούντων vulg., κατευτονεόντων b., Littr.; — προορίσασθαι mss. 5.

ἦ που — ἀνάρμοστος.] εἴ που vulg., sed ἦ Lind., Littr., codd. pauci; — ἢ ante χωρισμόν om. b., — post πλόῳ ferunt καὶ ναυτιλίῃ libri 4.; — βασιληΐῃ pr. m. in b.; — καὶ πανθ' ὅσ' ὑπάρχει ceteri, in quibus καί sententiam ita pessumdat, ut sanus sensus elici nequeat; illud ὅσα plene E. H. K.; — τούτων om. J.; — δέ γε χερειόνων codd. 5.; — οὐ μεμν. cum mss. 4. Littr., equidem vulgatam servo.

ὁ δὲ — ἄγνοιαν.] νωθὴς ἔφη mss. 5.; — καί ante μακρήν omm. mss. 2.; — post ἀπόδημος addunt εἶ sec. m. in H., b.; — γὰρ καὶ ταραχῆς I. H.; — μή omm. mss. 5.; — ἐπιβλέπων sec. m. in b.

ταῦτα — γέλωτα.] διοικεῦντες C. b.; — ἀπηλλάσσοντο Littr. cum sec. m. in H., b., ἀπηλλάττοντο mss. 5.

νῦν — ἐννοέουσα.] ἐπαρηρόσι Littr. cum τ. aliisque tribus; servo vulgatam; — τοῖσιν om. J., τούτοισι pro τοῖσι mss. 5.; — τὸν βίον J. pro ἐν τῷ βίῳ; — τετύφλωνται vulg., τετύφωνται Lind., Littr., mss. 7.; — ἀλλ' ἀσυλλογίστῳ Ald.; — ἐνν. παντ. J.; ἐννοεῦσα C. b.; ἑλίσσουσα alii nonnulli.

οἱ δ' — ξυμφορῇσι.] ἀρηρυίῃ καὶ βεβαίῃ vulg., sed καὶ βεβαίῃ non est nisi scholion ad ἀρηρυίῃ spectans; — συμπιπτόντων codd. nonnulli; — ἄλλοτ' C. b.; — ἄλλος vulg., ἄλλως Ald., codd. 11., Littr.; — ποθέοντες codd. 3.; — ἐναλινδεῦνται, ἐνκαλινδέονται, ἐγκαλινδέονται pauciorum mss. lectiones sunt.

εἰ — ὁδοιπορέων.] εἰ δ' ἐμερμήριζε pr. m. in H.; — ἔρδειν b.; — τήν ante ζωήν de meo; — τιθηνή mss. 5.; — τιθηνὸν δι' αὐταρκείης ὁδοιπορέων vulg., pro ὁδοιπ. Ald. et

φύσιν καὶ πάντων τιθηνὸν ἐσορέων καὶ δι' αὐταρκείης ὁδοιπορέων. Κάθαπερ δ' ἡ τῶν παχέων εὐεξίη κίνδυνος πρόδηλος, οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων σφαλερόν ἐστι· ἀρίσημοι δ' ἐν τῇσι κακοδαιμονίῃσι ξυνθεωρεῦνται. Ἄλλοι δὲ τὰ τῶν πέλας μὴ ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακοπρηγίης ἀπώλοντο, τὰ δῆλα καθάπερ ἄδηλα μὴ προθεωρεῦντες, ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες γενομένων καὶ μὴ γενομένων, ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν κατανοῆσαι. Ταῦθ' ὁ ἐμὸς γέλως, ἄφρονες ἄνθρωποι, πονηρίης δίκας ἐκτίνοντες, φιλαργυρίης, ἀπληστίης, ἔχθρης, ἐνέδρης, ἐπιβουλίης, βασκανίης, ἀργαλέον ἐξειπεῖν πολυμηχανίην κακῶν, ἀπειρίη γάρ τίς ἐστι κὰν τούτοισι, δολοπλακίῃσι ἀνθαμιλλεῦντες, σκολιόφρονες· ἀρετῆς δὲ παρ' αὐτοῖσι τρόπος ἐστὶ τὸ χέρειον, φιλοψευδίην γὰρ ἀσκέουσι, φιληδονίην κοσμέουσι, νόμοισι ἀπιθεῦντες· ὁ δὲ αὐτῶν κατακρίνει τὴν ἀπροαιρεσίην, μήτε ὁρήσιος μήτε ἀκοῆς μετεχόντων· μούνη δ' αἴσθησις ἀνθρώπου ἀτρεκείῃ διανοίης τηλαυγὴς, τό τε ἐὸν καὶ τὸ ἐσόμενον προορευμένη. Δυσαρεστεῦνται πᾶσι, καὶ πάλιν τοῖσι αὐτοῖσι ἐμπελάζονται, ἀρνησάμενοι πλόον πλέουσι, γεωργίην ἀπειπάμενοι αὖθις γεωργεῦσι, ἐκβάλλοντες γαμετὴν ἑτέρην εἰσάγονται, γεννήσαντες ἔθαψαν, θάψαντες ἐγέννησαν, πάλιν τρέφουσι, γῆρας ηὔξαντο, ἐς αὐτὸ δ' ἀφικόμενοι στενάζουσι, ἐν οὐδεμιῇ καταστάσι βέβαιον ἔχοντες τὴν γνώμην ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην,

ram divitem et omnium alumnam respiciens et sibi satis viam suam ire pergens. Quemadmodum autem optimus crassorum corporis habitus periculum denunciat, sic magnus rerum successus lubricus est. Rebus autem in adversis insignes conspiciuntur. Alii vero res alienas minime inquirentes pravis suis affectionibus pereunt, manifesta velut obscura non providentes, cum tamen longam vitam exemplum habeant, eorum quae fiunt et non fiunt, ex quibus quod futurum est cognoscere oportebat. Haec est mei risus materia, homines imprudentes improbitatis suae poenas dantes, avaritiae, inexplebilis cupiditatis, inimicitiarum, insidiarum, subsidiorum, consiliorum, invidentiae. Difficile est multorum malorum machinatricem solertem verbis exprimere cum eorum etiam sit infinitas quaedam, et in his cum dolosis commentis prava mente inter se decertent. Apud eos autem virtutis modus habetur quod est deterius. Mendacia enim amant et in his se exercent, voluptatis studium extollunt, legibus minime parentes. Hic autem meus risus, quae ab his nullo proposito consilio fiunt, condemnat, cum neque visionis, neque auditionis participes sint. At solus hominis sensus recta intelligentia eminus splendescens quod praesens et futurum est praevidet. Omnia detestantur ac rursus ad eadem se adiungunt, navigationem aversantes navigant, agricultura propulsata rursus agrum colunt, abdicata uxore aliam inducunt, susceptos liberos sepeliunt, et his sepultis alios pro-

mss. 7., in quorum uno vulgata reponitur, *ὀρέων*, quod recepit Littr.; — equidem vulgatam alio loco servans *ὀρέων* post *τιθηνόν* inserui, ita ut in *ἐσορέων* mutarem et *καί* adderem.

καθάπερ — ξυνθεωρεῦνται.] *δὲ τῶν παθέων* vulg., *δ' ἡ τῶν παχέων* est coniectura Coraïs a Littr. etiam recepta; — *ἐν εὐεξίῃ* mss. 4.; — *ἐπισφαλέστερον* iidem; — *δὲ ἐν* mss. 2., *ἐπί* pro *ἐν* mss. 7.; — *ξυνθεωρέονται* codd. 3.

ἄλλοι — κατανοῆσαι.] *τὰ τῶν παλαιῶν* vulg., *τὰ τῶν πέλας ὡς* D. F. G. (H. *ὡς* oblit. al. m.) I. J. K. Ald. (sine *ὡς* C. aliique sex); et vero *τὰ τῶν πέλας* sine dubio legendum, *παλαιῶν* ineptum est; — *μηδέν* pro *μή* codd. 5.; — *θεωρεῦντες* C. b. pro *ἱστορέοντες*, H. *θεωρέοντες*; — *τὰ δὲ δῆλα* mss. 5.; — *μή* omm. codd. 6.; — *θεωρεῦντες*. *θεωρέοντες* alii libri; — *μή* ante *γεν.* omm. C., quatuor alii; — *γιν.* vulg., *γεν.* mss. 4., Lind., Littr.

ταῦθ' — προορευμένη.] *ταῦτα* plene codd. 2.; — *ἐκτείνοντες* codd. 9.; — *ἐνεδρίης* vulg., alii codd. *ἐνεδρείης*. sed *ἐνέδρης* Littr. cum mss. 9.; — *ἀνθομιλεῦντες* vulg., *ἀνθαμιλλεῦντες* sec. m. in H., *ἀνθαμιλλέονται* codd. 6., unde vulgatam emendavit Littr.; — *φιλοψίην* Q.'; — *ἀσκεῦσι* C.; — *κόσμου* C. aliique 5.; — *ἀπιθέοντες* b.; — *μήτ' ἀκοῆς* b.; — *μετέχοντας* ceteri, *μετεχόντων* de meo; — *δὲ αἰσθ.* C.; — *τηλαυγοῦς* mss. 5.; — *προορώμενα* unus cod. *χ*.

δυσαρεστεῦνται — πάντων.] *ἀπωσάμενοι* vulg., *ἀπειπάμενοι* sec. m. in H. b., Littr.; — *γεωργοῦσιν* vulg., *γεωργεῦσιν* b., Littr.; — *γενν. ἔθαψαν* omm. mss. 5.; — *θάψαντες ἃ ἐγενν.* H. sec. m., alii 5.; — *εὔχονται* pr. m. in b.; — *εὔξαντο* codd. 4.; *ἤγξαντο* C.; — *εἶτα ἐς αὐτὸ ἀφικ.* mss. 5.; — *βεβαίην* codd. 7., *βεβαίαν* alii 4.; — *ἔχουσι* codd. 7.; — *βασιλέες καὶ οἱ λοιποὶ ἄρχοντες* unus cod. *τ*.; — *ὁ δέ* ante *ἰδιώτης* om. C.; — *βασιλήϊης* pr. m. in b.; — *προπολιτευόμενοι* codd. 7.; — *χειροτεχνέοντα* mss. 2; — *ἀπὸ κινδύνου* sec. m. in b., voluit *ἄπο κινδύνου*; — *δέ* ante

ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείης, ὁ πολιτευόμενος τὸν χειροτεχνεῦντα ὡς ἀκίνδυνον, ὁ δὲ χειροτέχνης ἐκεῖνον ὡς εὐτονεῦντα κατὰ πάντων. Τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐ θεωρεῦσι καθαρὴν καὶ λείην καὶ ἀπρόσπταιστον, εἰς ἣν οὐδεὶς τετόλμηκε ἐμβαίνειν· φέρονται δὲ ἐπὶ τὴν ἀπειθῆ καὶ σκολιὴν, τραχυβατέοντες, καταφερόμενοι καὶ προσκόπτοντες, οἱ δὲ πλεῖστοι ἐκπίπτοντες, ἀσθμαίνοντες ὡς διωκόμενοι, ἐρίζοντες, ὑστερέοντες, προηγεύμενοι. Καὶ οὓς μὲν αὐτῶν ἔρωτες ἀτάσθαλοι ὑποπεπρήκασι ἀλλοτρίης φῶρας εὐνῆς, ἀναιδείῃ πισύνους· οὓς δὲ τήκει φιλαργυρίη, νοῦσος ἀόριστος· οἱ δ' ἀλλήλοισι ἀντεπιτίθενται· οἱ δ' ὑπὸ φιλοδοξίης ἐς ἠέρα ἀνενεχθέντες βρίθεϊ κακίης ἐς βυθὸν ἀπωλείης καταφέρονται. Κατασκάπτουσι, εἶτα ἐποικοδομέουσι, χαρίζονται, εἶτα μετανοοῦσι, καὶ ἀφαιρεῦνται τὰ φιλίης δίκαια, κακοπρηγεῦντες ἐς ἔχθρην, τὰ ξυγγενείης πολεμοποιεῦντες, καὶ τούτων πάντων αἰτίη ἡ φιλαργυρίη. Τί νηπίων ἀθυρόντων διαφέρουσι, παρ' οἷσι ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν τερπνόν; Ἐν δὲ τοῖσι θυμοῖσι τί περισσὸν ζώοισι ἀλόγοισι παραλελοίπασι; πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσι οἱ θῆρες. Τίς γὰρ λέων ἐς γῆν κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; διψῇ μὲν ἄγριος σῦς, ὅσον ὕδατος ὠρέχθη· λύπος δὲ δαρδάψας τὸ προσ-

creant et rursus educant, senectutem exoptant cumque eo pervenerint gemunt, nulloque in statu firma mente persistunt. Principes ac reges privatum beatum praedicant, privatus regium imperium affectat. Qui rem publicam regit, artificem tanquam periculi expertem laudat, artifex vero illum velut in omnia potentiam exercentem. Rectam enim virtutis viam puram minimeque asperam atque inoffensam non cernunt, per quam nullus incedere sustinet. Per inaccessam autem et tortuosam feruntur et per aspera delati incedunt et offendunt, plerique etiam decidunt, velut si quis persequatur anhelantes, partim sequentes, partim praecedentes contendunt. Et eorum quosdam impudentia fretos nefandi amores alieni cubilis fures fieri succendunt, quosdam etiam inordinatus avaritiae morbus tabefacit, alii mutuas insidias struunt. Alii vero ambitionis studio in aëra subvecti sceleris gravitate in exitii profundum praecipites deferuntur, diruunt, deinde aedificant, beneficium conferendo gratiam demerentur, deinde poenitentia ducti amicitiae iura violant maleque afficiendo ad inimicitias deveniunt et cognationis iura bello appetunt, horumque omnium avaritia causa est. Qua in re ab infantibus ludibundis discrepant? quos, cum mens iudicio careat, quidquid sese forte obtulerit delectat? Quod ad cupiditates attinet, non multum a brutis animantibus differunt, nisi quod ferae in

χειροτ. omm. codd. 5.; — εὐτονέοντα mss. 2.; — κατὰ πάντων om. cod. unus.

τὴν — προηγεύμενοι.] τῆς ἐρημίης mss. 8.; — θεωρέουσι sec. m. in H., alii 2.; θεωρεῦσι C. Littr.; — ἐμβῆναι b., ἐμμένειν codd. 4.; — δ' ἐπί mss. 2.; — ἐναντίην pro ἀπειθῆ libri 5.; — τρηχυβατεῦντες codd. 4.; — καὶ καθαιρόμενοι cod. χ. pro καταφερ.; — οἱ δὲ πλ. ἐκπ. omm. mss. 2., ἀποπίπτοντες b.; — καί ante ἀσθμ. al. m. H.; — ὁρίζοντες mss. 5.; — ὑστερεῦντες codd. 2.; — προηγεόμενοι b.

καὶ οὓς — καταφέρονται.] οἷς mss. 4.; — ἀτασθάλους codd. 4., ἀτασθάλοις unus; — ὑποπεπτήχασι mss. 5.; — ἀλλοτρίης εὐνῆς φθορῇ (φῶρας εὐνῆς mss. 6.) (φῶρας sec. m. in H., φθορή C.), ἀναιδείης (ἀναιδείῃ codd. 8., ἀναιδίῃ C.) πισύνους vulg.; textum descripsi quemadmodum Littr.; — φιλαργυρίης vulg., φιλαργυρίη mss. 5., Littr.; — οἱ δ' K. χ., δέ codd. 2.; — οἱ δ' ὑπό K. Ald., δέ codd. 2.; — ἀναχθέντες codd. 4.; — βρίθουσι J.; — βρ. ὑπὸ κακίης b.

κατασκάπτουσι — φιλαργυρίη.] εἶτ' H. b.; εἶτα omm. codd. 12.; — οἰκοδομέουσι H. al. m., b.; ἐποικοδομέοντες mss. 5., qui εἶτα supra omm.; — ἢ ἀφαιρ. mss nonnulla, ἀφαιρέονται codd. 2.; — τά om. K.; — κακοπραγέοντες mss. 2.; κακοπρηγεῦντες codd. 5., κακοπραγεῦντες vulg.; — πολεμοῦσι mss. 5., κακοποιεῦντας in marg. πόλεμον ἐμποιέοντας b.; — ἁπάντων b.; — πάντων omm. mss. 5.; — ἡ ante φιλαργ. e codd. 5. recepit Littr.

τί — τερπνόν.] ἀθυρεόντων libri 7.; ἀθυρώντων quatuor; — ἄκρητος K.

ἐν — θῆρες.] μύθοις C.; — τὸ περισσόν om. b.

τίς — ὤνθρωπος.] λεόντων mss. 5.; λέων om. K.; — χρυσίον sec. m. in H., b.; — τὴν πλεονεξίην b.; — [διὰ] πλέον. Lind.; — ἐκορύξατο vulg., ἐκορύσσατο duo codd., ἐκορύσατο unus ψ., quem sequitur Littr.; equidem malui vulgatam servare, cuius formae exemplum exstat apud Athen. III. p. 127. a., ἐκορύσσατο ceterum imitator noster potius quam ἐκορύσατο scripsisse videtur; — διψᾷ mss. 2.; — διψῶν sec. m. in b; — κομεσθῇ pro vulgato ὀρεχθῇ mss. 5., ὠρέχθη Littr. cum edd. antt. et mss. nonnullis; — δέ ante καὶ νυξί om. b.; — ἁπτομένῃσι C.; — θοίνης omm. codd. 3.; — ἄνθρ. vulg., ὤνθρ. edd. antt., mss. 7., Littr., ὁ ἄνθρ. codd. 7.

πεσὸν τῆς ἀναγκαίης τροφῆς ἀναπέπαυται· ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπτομένῃσι οὐκ ἔχει θοίνης κόρον ὤνθρωπος. Καὶ χρόνων μὲν ἐνιαυσίων τάξις ὀχείης ἀλόγων τέρμα ἐστὶ, ὁ δὲ ἐς τὸ διηνεκὲς οἰστρομανίην ἔχει τῆς ἀσελγείης. Ἱππόκρατες, μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα, ὅτι ξυμφερόντως ἀποκέκλειται, μάλιστα δ' ἢν ῥιψοκίνδυνος ᾖ, καὶ φέρηται κατὰ κρημνῶν ἢ βυθῶν πελάγους, ἐπιτενῶ τὸν γέλωτα; μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα μεμφόμενον τῇ θαλάσσῃ ὅτι κατεβύθισε αὐτὴν πλήρεα; ἐγὼ μὲν οὐδ' ἀξίως δοκέω γελᾶν, ἐξευρεῖν δὲ κατ' αὐτῶν ἤθελόν τι λυπηρόν· ἀλλ' οὐδὲ ἰητρικὴν ὑπὲρ τούτων ἐχρῆν εἶναι, μήτε τεχνώμενον παιήονα φάρμακα· ὁ σὸς πρόγονος Ἀσκληπιὸς νουθεσίη σοι γενέσθω, σώζων ἀνθρώπους κεραυνοῖσι εὐχαρίστηται. Οὐχ ὁρῇς ὅτι κἀγὼ τῆς κακίης μοῖρα εἰμὶ, μανίης διζήμενος αἰτίην, ζῶα κατακτείνω καὶ ἀνατάμνω; ἐχρῆν δὲ ἐξ ἀνθρώπων τὴν αἰτίην ἐρευνῆσαι. Οὐχ ὁρῇς ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται; ἄπειρα κατ' αὐτῶν πάθεα ξυνήθροικε· ὅλος ὁ ἄνθρωπος ἐκ γενετῆς νοῦσός ἐστι, τρεφόμενος, ἄχρηστος, ἱκέτης βοηθείης· αὐξανόμενος ἀτάσθαλος, ἄφρων, ἐνδεὴς διὰ χειρὸς παιδαγωγίης· ἀκμάζων, θρασύς· παρακμάζων οἰκτρὸς, τοὺς ἰδίους πόνους ἀλογιστίῃ γεωργήσας· ἐκ μητρῴων γὰρ λύθρων ἐξέθορε τοιοῦτος. Διὰ τοῦτο οἱ μὲν θυμικοὶ καὶ ὀργῆς ἀμέτρου γέμοντες ἐν ξυμφορῇσι καὶ μάχῃσι, οἱ δ' ἐν φθορῇσι καὶ μοιχείῃσι διὰ παντὸς,

eo, quod satis est, se continent. Quinam enim leo aurum defossum in terram abdidit? Quinam taurus alienum usurpandi cupiditate ad praelium impetu quodam delatus est? Quae pardalis inexplebilem aviditatem admisit? Sitit quidem aper, sed quantum aquae appetit. Lupus vero dilaniato, quod sese obtulit, necessario alimento quiescit. At si dies iungantur noctibus, hominem non capit comessandi satietas. Et anniversariorum temporum ordo brutis quidem animantibus coitus finem adfert, hic vero insano libidinis stimulo continenter agitatur. Quomodo, Hippocrates, eiulantem ob amorem quod suo commodo privetur, non derideam? praecipueque si quis nullo habito periculorum delectu per praecipitia et alta maria feratur, intento risu non excipiam? Non ridebo eum, qui navem multis mercibus onustam demersit, deinde mare incusantem quod eam plenam submerserit? Equidem haec minime ridicula duco, verum in eos aliquid molesti excogitare cuperem. Sed neque pro his medicinam esse oportuit, neque aliquem, qui Paeonia medicamenta conficeret. Cuius rei te admonere debeat tuus ille progenitor Aesculapius, qui pro servatis hominibus gratam beneficii recordationem fulminis ictus reportavit. Non vides me quoque huius vitii participem esse, dum in insaniae causam inquirens animantia macto ac reseco, quam in hominibus perscrutari oportuit? Nonne vides mundum ipsum inhumanitate redundare et infinitos adversus hominem affectus cumulare? Totus homo ab ipso ortu morbus est. Dum

καὶ — ἀσελγείης.] καί omm. codd. 5.; — χρόνον μὲν ἐνιαύσιον J.; — ἐστι τέρμα mss. 5.; — οἱ δέ cod. ψ.; — δὲ ἐς τὸ διηνεκές solus J., ἐς omm. cett.; — ἔχει om. C.

Ἱππ. — εὐχαρίστηται.] ὅτι δι' ἔρωτα J.; — ἂν ῥιψοκινδυνῇ codd. 5.; — β. ἢ κρ. mss. 5.; — ἐπιτείνω codd. 8.: — εἶτα καὶ μεταμεμφόμενον mss. 5., μεμψάμενον b.; — κατεβύθησεν C.; — τήν pro αὐτήν mss. 6., non male; — μὲν οὐδαμῶς (addit ἀξίως sec. m. in H.) δοκέω vulg., μὲν οὐκ (μὲν οὖν οὐδ' b., Littr.) ἀξίως δοκέω codd. 6.; — γελῆν vulg., γελᾶν codd. 3.; — οὐδ' ἰητρικήν C.; — μὴ τεχνωμένην codd. nonnulli, ἰωμένην Ald., mss. 7.; — γινέσθω Littr. cum mss. 5., γενέσθω vulg., quod praestat; — ἀχαριστεῖται cod. χ., εὐχαριστεῖται codd. 5.

οὐχ ὁρῇς — ἐρευνῆσαι.] haec periodus infertur post πεπλήρωται in J.; — ὁρᾷς mss. 2.; — ὅτι τῆς κακίης κἀγὼ μοίρης b., ὅτι κἀγὼ τῆς αὐτῆς μοίρης mss. 5.; — καὶ ζῶα codd. 5.; — ζῶα — αἰτίην om. K.; — ἀνατέμνω vulg., per α C. I.; — δ' ἐξ b.; — ἀνθρώπων Ald., mss. 12., Littr., ἀνθρώπου vulg.

οὐχ — τοιοῦτος.] ὁρᾷς mss. 2.; — καὶ ἄπειρα sec. m. in H., aliique sex, καὶ ἀπείρους λύπας καὶ πάθεα cod. χ.; — κατ' αὐτοῦ libri duo; — συνήθροισεν mss. 5.; — ὁ ante ἄνθρ. sec. m. in H., τ. b., Littr., ὁ om. vulg.; — τῆς pro ἱκέτης libri nonnulli; — αὐξόμενος codd. 3.; — ἐνδεής vulg., διὰ χειρός pro eo permulti libri, Littr.; utrumque coniungere oportet; — θρασὺς ἀκμάζων vulg., inverso ordine H., Littr.; — παρακμ. omm. nonnulli libri; — οἰκτρός τε b.; — γεωργῆσαι b.; — μητρέων F. G.

διὰ — σφετέρων.] καί ante διά sec. m. cod. H. b.; — καὶ οἱ mss. 5.; — οἱ δὲ ἐν ξυμφ. C., οἱ δὲ ξυμφ. sine ἐν Parr. 6. Q.'; — ἐν ξ. καὶ μάχῃσι omm. codd. sex; — οἱ — μοιχείῃσι omm. 8. codd.; — οἱ δὲ ἐν φθ. libri duo; —

οἱ δ' ἐν μέθῃσι, οἱ δ' ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων, οἱ δ' ἐν ἀπωλείῃσι τῶν σφετέρων. Ὤφελον δύναμις ὑπῆρχε τὰς ἁπάντων οἰκήσιας ἀνακαλύψαντα μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα, εἶθ' οὕτως ὁρῆν τὰ πρησσόμενα ἔνδον· ἴδοιμεν ἂν οὓς μὲν ἐσθίοντας, οὓς δὲ ἐμέοντας, ἑτέρους δ' αἰκίῃσι στρεβλοῦντας, τοὺς δὲ φάρμακα κυκῶντας, τοὺς δὲ ξυννοέοντας ἐπιβουλίην, τοὺς δὲ ψηφίζοντας, ἄλλους χαίροντας, τοὺς δὲ κλαίοντας, τοὺς δὲ ἐπὶ κατηγορίην φίλων ξυγγράφοντας, τοὺς δὲ διὰ φιλοδοξίην ἔκφρονας. Καί τά γε ἔτι βαθύτερα, αἱ πρήξιες τῶν κατὰ ψυχὴν κευθομένων, καὶ τούτων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτεῦντες, ἀρνεόμενοι, πενόμενοι, περιουσιάζοντες, λιμῷ θλιβόμενοι, οἱ δὲ ἀσωτίῃ βεβαρημένοι, ῥυπῶντες, δέσμιοι, οἱ δὲ τρυφῇσι γαυριῶντες, τρέφοντες, ἄλλοι σφάζοντες, ἄλλοι θάπτοντες, ὑπερορέοντες ἃ ἔχουσι, πρὸς τὰς ἐλπιζομένας κτήσιας ὡρμημένοι, οἱ μὲν ἀναίσχυντοι, οἱ δὲ φειδωλοὶ, οἱ δὲ ἄπληστοι, οἱ μὲν φονεῦντες, οἱ δὲ τυπτόμενοι, οἱ δὲ ὑπερηφανεῦντες, οἱ δὲ ἐπτοημένοι κενοδοξίῃ· καὶ οἱ μὲν ἵπποισι παραστεῶτες, οἱ δὲ ἀνδράσι, οἱ δὲ κυσὶ, οἱ δὲ λίθοισι ἢ ξύλοισι, οἱ δὲ χαλκῷ, οἱ δὲ γραφῇσι· καὶ οἱ μὲν ἐν πρεσβείῃσι, οἱ δὲ ἐν στρατηγίῃσι, οἱ δὲ ἐν ἱερωσύνῃσι, οἱ δὲ στεφανηφορέοντες, οἱ δὲ ἔνοπλοι, οἱ δ' ἀποκτεινόμενοι. Φέρονται δὲ τούτων ἕκαστοι, οἱ μὲν ἐπὶ ναυμαχίην, οἱ δὲ ἐπὶ στρατίην, οἱ δὲ ἐπ' ἀγροικίην, ἕτεροι

educatur, inutilis, auxilium supplex implorat, dum increscit improbus et demens est, puer manu ut ducatur opus habet, in aetatis vigore constitutus, audax, aetate marcescens miserabilis, suos labores per imprudentiam excolens. Talis enim ex materno cruore sanie permixto promicuit. Proptereaque hi quidem indignabundi et immodica cura referti in calamitatibus et pugnis, alii in adulteriis et stupris perpetuo versantur, alii in ebrietatibus, alii in rerum alienarum cupiditatibus, alii in suis perdendis. Quodsi possemus nullo intus relicto velamento omnium habitationes detegere, deinde ita quae intus aguntur inspicere, hos quidem edere videremus, illos vero vomere, alios indignis verberibus torquere, alios venenum miscere, alios insidias struere, alios rationibus studere, hos gaudere, illos plorare, hos amicorum accusationem meditari, illos vero nimia ambitione desipere. Et certe quaedam sunt in animis altius reconditae actiones. Et in his partim quidem iuvenes, partim vero senes, petentes, denegantes, pauperes, rebus affluentes, fame oppressi. Hi luxu gravati, sordidi, vincti, illi vero deliciis gestientes, multos alentes. Alii iugulantes, alii sepelientes, ea, quae habent, pro nihilo habentes, speratas possessiones captantes, alii quidem impudentes, alii parci, alii inexplebiles, alii quidem interficientes, alii verberibus afflicti, alii superbe se iactantes, alii inani gloria attoniti. Et hi quidem equis addicti sunt, alii hominibus, alii navibus, alii lapidibus aut

οἱ δ' ἐν μέθῃσι omm. libri 5.; — *δὲ ἐν ἀπωλ.* K.; — *ἀπωλείῃ* libri 5.

ὤφελον — ἔκφρονας.] *ὄφελον* vulg., *ὤφελε* mss. 5.; — *ὁρῶν* codd. 2.; — *ὁρῆν — οὓς δέ* om. C.; — *εἴδωμεν* vulg., *εἶδον μέν* mss. 7., *εἴδομεν* alia 5., *ἴδομεν* b., dedi *ἴδοιμεν*; — pro *οὓς μέν* alii libri *τοὺς μέν*, quod deinceps saepius observatur; — *δὲ αἰκίῃσι* codd. duo; — *στρεβλέοντας* vulg., *στρεβλοῦντας* mss. duo, quod dedi, nisi malis *στρεβλόοντας*; — *τοὺς δὲ φ. κυκ.* omm. nonnulli codd., in quorum uno rest. al. m. post *ἐπιβουλίην*; — *κυκέοντας* H. σ. b.; — *ξυννοεῦντας* b.; — *ἐπιβουλίην* codd. 3.; — *τοὺς δὲ κλαίοντας* omm. mss. 8., in duobus rest. al. m.; — tum *οὓς δέ* b. tribus locis; — *κατηγορίῃ* C. τ.; — *ἑῶν φίλων* codd. 5.

eius exercitum crebra fulmina deciderunt, insula nostra raro fulmine appetita. Feruntur etiam heroum spectra mulieri esse visa, quibus omnibus perterrita atrocibus coeptis destitit tristi pactione facta, quae quia longior est a me dimittatur. Hoc vero loco maioribus etiam meis quae sint illis valde propria neque falsa reddam, Coos numquam adversus vos, neque Lacedaemonios neque alios Graecos sponte arma sumpsisse, quamvis multi, qui simul insulas et Asiam incolunt, bello cum barbaris nulla vi coacti coniuncti essent. Tunc enim urbi praeerant Cadmus et Hippolochus, qui re vera ex nostris sunt maioribus. Nam Cadmus, qui senatum etiam instituit, ex matris meae maioribus est. Hippolochus vero ex Asclepiadarum familia a Nebro, qui Crisaeos simul evertit, quartus est. Nos autem Asclepiadae ex virili stirpe sumus. Proinde praeclarum hoc maiorum nostrorum facinus amplecti vos decet. Nunc autem ad Cadmum redeo. Hic certe ornamenti Graeciae adeo studiosus fuit, ut cum regio Artemisiae obsidione soluta esset, relicta isthic uxore et familia, cum iis, qui eadem sentiebant, in Siciliam profectus sit, ubi Gelonem eiusque fratres ab amicitia cum barbaris contra Graecos contrahenda diverteret, multaque alia praeclara facinora perpetravit, quae verbis exaggerare tempestivum non est. Ac sane haec et eiusmodi multa sunt publica nostrorum in vos et reliquos Graecos officia, ut me dicendi facultas deficiat. Iam vero eo devenio ut Hippocratis patris mei beneficium vobis in mentem reducam, quod cum recenseo, verum me dicere sic comperietis. Cum pestis ex barbarorum regione, quae supra Illyrios et Paeones sita est, decurreret, et malum ad hanc regionem perve-

τῆς δέ om. J., *τε* pro *δέ* Ald., Parr. 6., Lind.; — *κατηθαλωμένων* J.; — *πατέρων* vulg., *πατρῷον* C. H. I., Littr.; — *νῖκος* vulg., rectius *νεῖκος* Littr.; — *πάντα ὅσα* cett.; — *ἦν* post *λοιπά* om G.; — *τῆς Ἀρτ.* om. J.; — *ἔπεσον* C.; — *καὶ λίην μακρὴν λέγεσθαι* proponit Littr. pro *καὶ λίην πικρὴν λέγεσθαι* vulgatae; mihi emendatio recipienda visa est.

ἀποδώσω — προελέσθαι.] *κυριώτατα* vulg., *κυριότατα* Ald., *κυριότητα* mss. 5., Littr.; — *ἡμέας* C.; — *μήτε ἐπί* I. K.; — *μήθ'* (*μήθ'* omm. edd. antt., mss. 5., *ἤ* pro *μήθ'* J.) *ἑτέρους ἄλλους* (*ἄλλους* om. J.) *ἑλλήνων* vulg.; textum dedi quemadmodum Littr.; — *ὅπλα λαβεῖν ἑκ.* J.; — *διοικεόντων* K.; — *συνεφαψαμένων* J.; — *πόλιος* C., *πόλεως* cett.; — *ἱππόμαχος* C.; — *ἀληθείᾳ* J.; — *ὃς καὶ τὴν β.* vulg., *καί* omm. J., Littr.; — *ἀπὸ τοῦ νέβρου* J.; — *δὲ Ἀσκλ.* J.

ἐπάνειμι — πρόσκαιρον.] *δέ* C.; — *κατὰ τῶν* pro *τὰ τῶν* K.; — *ταὐτά* pr. m. in J.; — *ὅκως* C., *ὅπως* vulg.; — *κωλύσῃ* Parr. 7.

Γέλωνα καὶ τοὺς ἀδελφοὺς κωλύσει φιλίην ξυνθέσθαι κατὰ Ἑλλήνων πρὸς τοὺς βαρβάρους· διεπρήξατο δὲ καὶ ἄλλα πολλὰ καλὰ ἔργα, ἃ μηκύνειν οὐ πρόσκαιρον. Αἱ μὲν δὴ δημόσιαι καὶ ἡμέων προγόνων ὑπουργίαι ἐς ὑμέας καὶ τοὺς ἄλλους Ἕλληνας, αὗται καὶ τοιαῦται πολλαί· καὶ γὰρ ἐκλείπει ἡ δύναμις τοῦ λόγου. Ἔρχομαι δ' ἤδη εὖ εἰδόσι εὐεργεσίην Ἱπποκράτους πατρὸς ἐμέο προέχεσθαι· λέγων δ' ἂν ἀληθεύοιμι οὕτως· λοιμοῦ ῥέοντος διὰ τῆς βαρβάρου, ἢ ὑπέρκειται Ἰλλυριῶν καὶ Παιόνων, ὁκότε δὴ ἐπὶ ταύτην τὴν χώρην ἧκε τὸ κακὸν, οἱ τούτων τῶν ἐθνέων βασιλῆες κατὰ δόξαν ἰητρικὴν, ἣ ἀληθὴς ἐοῦσα πανταχόθι ἴσχυε ἔρχεσθαι, κατὰ πατρὸς τοῦ ἐμέο πέμπουσι ἐπὶ Θεσσαλίης, — ἐκεῖ γὰρ δὴ ὁ ἐμὸς πατὴρ καὶ πρότερον καὶ νῦν οἴκησιν εἶχε, — καλέοντες αὐτὸν ἐς ἐπικουρίην, χρυσοῦ τε καὶ ἀργύρου καὶ ἄλλων κτεάνων οὐ μόνον ἔφασαν πέμψειν ἔχειν, ἀλλὰ καὶ ἀποίσεσθαι ὁκόσα ἂν αὐτὸς ἐθέλῃ ἐπαμύναντα. Ὁ δὲ ἐρώτησιν ποιησάμενος ὁκοῖαί τινες ἐν μέρεϊ κινήσιες γίγνονται κατά τε καύματα καὶ ἀνέμους καὶ ἀχλύας καὶ τἄλλα, ἃ πέφυκε τὰς ἕξιας κινεῖν παρὰ τὸ καθεστηκός· ὁκότε δὴ πάντων μαθήσιας ἀνείλετο, τοὺς μὲν χωρεῖν ἐκέλευσε ὀπίσω, ἀποφηνάμενος μὴ οἷός τε εἶναι ἐς χώρην τὴν ἐκείνων ἰέναι· ὅκως δὲ εἶχε τάχεος, αὐτὸς μὲν Θεσσαλοῖς ἡρεῖτο παραγγέλλειν ὁκοίοις χρὴ τρόποις κακοῦ τοῦ προσιόντος εὐλάβειαν ποιέεσθαι, καὶ ξυγγράφων θεραπείην ἐξετίθει περὶ τὰς πόλιας· ἐμὲ δ' ἐπὶ Μακεδονίης ἐξαπέστειλε, βασιλεῦσι γὰρ Ἡρακλειδέων, οἳ ἐκεῖ κατέχουσι, πατρικὴ ξενίη ὑπῆρχε ἡμῖν. Κἀγὼ μὲν ἤειν ἵνα με

nisset, istarum gentium Reges, pro rei medicae fama, quae re vera vires suas quocumque extenderat, ad patrem meum in Thessaliam mittunt, qui illic sane, ut prius, etiam nunc domum habet, ipsum ut auxilium ferret accersentes. Neque aurum solum et argentum reliquasque opes se missuros receperunt, verum etiam si succurreret, quaecumque vellet reportaturum. Ille vero est percontatus, quaenam apud eos peculiares agitationes contingerent et aestus, ventos et aëris perturbationes, reliquaque quae corporum habitus ex praesenti statu agitare queunt. Quae quidem omnia edoctus, eos redire iussit, responso dato se non posse ad illorum regionem proficisci. Quam citissime autem potuit ipsos quidem Thessalos admonere constituit, quibusnam modis ab ingruente malo sibi caverent et conscriptam medelam per urbem proposuit. Me autem in Macedoniam misit. Cum regibus enim Heraclidarum, qui illic regnum obtinent, nobis paterni officii familiaritas intercedit. Et ego quidem ex Thessalia, quo me pater ire iussit, discessi auxilium illis laturus. Mihi vero constitutum erat, ut vestram urbem adirem. Draconem autem fratrem mecum ex Pagasis profectum Hellespontum navigare iussit, non simili praeceptione instructum ac secundum quod ipse artem fecit. Neque enim loca omnia eadem ferunt auxilia, quod ex aëre ambiente similia non sint omnia. At Polybum, cui filiam suam, sororem meam, locaverat, et reliquos discipulos ad diversas urbes misit, ut ad fora et compita profecti quam plurimis subvenirent. Rebus autem in Thessalia confectis ad vicinas gentes, ut illis auxilio esset, se conferebat. Pylas vero profectus Doriensibus et reliquis simul

αἱ μὲν — λόγου.] ὑμέων Ald. G.: — καὶ ἐπὶ (τούς pro ἐπί Parr. 7.) ἄλλους vulg.; — πολλοί C. I. K., Littr., cett. omm.

ἔρχομαι — ἐπαμύναντα.] ἐν εἰδόσιν Ald., ἐν εἴδεσιν alii libri, οὐκ εἰδόσιν vulg.; recte vidit Littr. in ἐν εἰδόσι latere εὖ εἰδόσι, ego vero recipiendum duxi; — ἐμέο ἢ C.; — προσεύχεσθαι Ald., προέχεσθαι mss. 5., προσέχεσθαι vulg.; — προέρχεσθαι C. J.; — ὁκότε λοιμοῦ ceteri, sed ὁκότε redundat et abiiciendum erat; — δή mss. 5., Littr., δέ vulg.; — ἵκνετο κακόν C.; — ἡ ἀληθές C.; — πανθαχόθεν vulg., cum Littr. sequor C.; — ἔρχεσθαι καὶ κατά vulg., καί omm. C., Littr.; — καὶ πρ. καὶ νῦν om. G.; — ἐς ante ἐπικουρίην om. K.; οὐ μιν (οὐ μήν alii) pro οὐ μόνον pauci codd.; — ἕξειν pro ἔχειν partim corrupte in C., recte scriptum in mss. nonnullis; — ἰάσασθαι Ald. G., ἀποίσασθαι vulg., ἀποίσεσθαι Lind.; — ἄν e mss. 4. Littr., vulgo om., itaque vulgo ἐθέλει, sed ἐθέλῃ C. H., Littr.

ὁ δὲ — ἡμῖν.] γίνονται καὶ τά τε (κατά τε C. H. I. K.) καύματα (πνεύματα coniecit Foës. in adn.) vulg.; — τάς ante ἕξιας om. C.; — τὰς ἕξιας omm. mss. 5.; — μαθήσει Ald., Vatt. Foës., Parr. 5.; — αὖ pro αὐτός K.; — ἠρτύετο pro ἡρεῖτο Ald. mss. 5., Littr.; — οἳ ἐκεῖ κατέχουσι om. G.

κἀγὼ — ὑμετέρην.] θεσσαλίης per ῆ C. H.

ὁ πατὴρ ἐκέλευσε, ἀπὸ Θεσσαλίης, ἀρήξων τοῖς ἐκεῖ· ξυνετέτακτο δέ μοι ξυμβαλεῖν ἐς πόλιν τὴν ὑμετέρην. Ἀδελφεὸν δὲ τὸν ἐμὸν Δράκοντα ἐκ Παγασέων ὁρμηθέντα πλοῦν ποιέεσθαι ἐφ' Ἑλλήσποντον ἐκέλευε οὐ παραπλησίην δοὺς ὑποθήκην ᾗ αὐτὸς ἔπρησσε· οὐ γὰρ πάντες τόποι τὰ αὐτὰ φέρουσι βοηθήματα, διὰ τὸ μὴ πάντη τὰ περιέχοντα ἐξ ἀέρος ὁμοῖα εἶναι. Πόλυβον δὲ τὸν τὴν θυγατέρα ἔχοντα, ἐμὴν δὲ ἀδελφεήν, καὶ ἄλλους τῶν μαθητέων διέπεμπε ἐς ἑτέρας ἑτέρων πόλιας καὶ πρὸς ἀγορὰς καὶ ὁδοὺς πορευσομένους, ὅκως ὅτι πλείστοις ἐπαρήξαιεν. Ὡς δὲ δὴ τὰ κατὰ Θεσσαλίην ἠνύσατο, ἐπορεύετο τοῖς ἐχομένοις ἔθνεσι βοηθέων· ἐπὶ Πύλας δὲ ἐλθὼν, Δωριεῦσι καὶ τοῖς ἄλλοις ὁμοῦ Φωκέων ἐπήρκεσε· καὶ ὁκότε δὴ ἐς Δελφοὺς ἀφίκετο ὑπὲρ Ἑλλήνων ἱκεσίην ἔθετο τῷ θεῷ καὶ θύσας ἤνυε τὴν ἐπὶ Βοιωτῶν, τοῖς δ' ἐκεῖ ἐπαμύνας ἀναλόγως, ἐν τῇ ὑμετέρῃ ᾔει καὶ ἱκανὰ ἃ νῦν ἐγὼ ἐπαγορεύω τὰ ὑμῖν σωτήρια ἐκ θυμοῦ πάντως εἶπε. Δοκέω δ' ὑμέων ὅτι ἀληθεύω πολλοὺς γιγνώσκειν· οὐ γὰρ πάλαι, ἀλλ' ἔτος ἐστὶ τοῦτο ἔνατον, ἐξ οὗ διελήλυθα καὶ ἐπὶ Πελοπόννησον ἐστελλόμην, τοῖς ἐκείνην οἰκέουσι βοηθήσων. Πάντοθεν δ' ἡμῖν καὶ λόγῳ καὶ ἔργῳ ἀξίη τιμὴ ἀπήντα, ὥστε μὴ μεταμέλεσθαι ὅτι οὐκ ἠλλαξάμεθα χρηματισμοῦ τοῦ ἐξ Ἰλλυριῶν καὶ Παιόνων. Παρὰ δὲ τὰς ἄλλας πόλιας τὰ παρ' ὑμέων δοθέντα μεγάλα ἦν· ἥ τε γὰρ πολιτείη ἡ ὑμετέρη ὑπερῆγε τὰς ἑτέρων· αἱ γὰρ Ἀθῆναι ὑψηλότερόν τι τῶν ἄλλων πολίων ἐς δόξαν, καὶ ὁ ἐν τῷ ὑμετέρῳ θεήτρῳ χρύσεος στέφανος ἐπιτεθεὶς ζήλου πρὸς τὸ ἄκρον ἦγε. Ἀλλὰ

Phocensibus auxilium suppeditavit. Cumque Delphos pervenisset, pro Graecis Deo supplicavit et sacrificio peracto ad Boeotos se contulit iisque simili modo suppetias ferens ad vos profectus plurima, quae ad salutem satis essent, quaeque ego nunc adiicio, penitus ex animo dixit. Quae autem dico vera esse, multos ex vobis nosse arbitror. Neque enim ita pridem id accidit, sed nonus hic annus agitur, ex quo in Peloponnesum missus profectus sum, iis qui eam incolunt auxilium allaturus. Nobis autem undique et verbis et re dignus honor obveniebat, adeo ut minime nos poeniteat cum Illyriis aut Paeonibus de mercede non esse pactos. At quae a vobis sunt concessa ad reliquas urbes collata magna sunt. Vestra enim res publica reliquis praestat. Athenae enim ad gloriam nescio quid reliquis urbibus sublimius habent. Quin etiam corona illa aurea in theatro vestro imposita ad summum gloriae culmen ipsum perduxit. Sed et bonum illud cumulastis, cum patrem meque publice Cereris et Proserpinae mysteriis initiastis. Atque haec quidem tria sunt tum urbis tum maiorum nostrorum et patris mei in vos cum multis Graecis beneficia, quae quantum licuit velut funem evolutum vobis obtendere tentavi. Quartum vero beneficium oratione mea repetam, quod, velut proposui, in vos ego paterque meus collocavimus. Cum enim Alcibiadem in Siciliam cum multis copiis mitteretis, neque tamen tam multis quam admirandis, — nempe quod fieri potuit, factum est, — cumque in concione sermo de medico incidisset, quem exercitum sequi oporteret, in medium progressus pater meus, me quoad classis abesset, suis sumptibus instructum, citra

ἀδελφεὸν — εἶναι.] οὐ ante παραπλήσια de coniectura Littr.; — ἢ αὐτός C.; — παθήματα C. pro βοηθήματα; — πάντη C., Littr., πάντα vulg.

Πόλυβον — ἐπαρήξαιεν.] πολύβιον cett., de meo solitum nomen viro restitui; — διέπεμπ' ἐς C. H.; — ἐς ἑτέρας ἑτέρων καὶ πρὸς ἀγοράς vulg., sed πλότους C. πλοτάς H. pro πρὸς ἀγοράς; Littréus πρός ante ἀγοράς suppressit, sed quid in πλοτούς, πλοτάς lateat se non perspicere profitetur, equidem πόλιας s. πτόλιας in eo latere puto, quod loco suo intuli; — παρεσομένων Ald., Vatt., παρεσομένους G. H.; — ὅκως C. H., ὅπως vulg.; — ἐπαρήξαι cett., de meo ἐπαρήξαιεν.

ὡς — εἶπε.] ἄλλοις omm. Ald., Vatt. Foësii, C. H.; — ἐπήρκει C. H.; — δὲ ἐκεῖ C.; — ἦν pro ᾔει C. G. H.

δοκέω — βοηθήσων.] ὑμέων C., H. al. m., ὑμῶν vulg.; — καὶ τοῖς ἐκείνην cett.; — βοηθήσοντες C. G., βοηθήσοντα H.

παντόθεν — Παιόνων.] μεταμέλλεσθαι Ald., C. G. H., μεταμέλεσθαι Bas., μεταμελέεσθαι vulg.

παρὰ — ἦγε.] θεήτρῳ C. G. H., per α cett.; — χρυσός Ald. G.

ἀλλὰ — δημοσίᾳ.] μυστήρια καὶ ὄργια vulgo, sed μυστήρια καί omm. C. G. H., quos sequor; — apud Hesychium ὄργια etiam μυστήρια exponitur.

καὶ τοῦτο τὸ καλὸν ὑπερεβάλεσθε μνήσαντες τὰ Δήμητρος καὶ κόρης ὄργια καὶ τὸν πατέρα καὶ ἐμὲ δημοσίᾳ. Τρεῖς μὲν αὗταί μοι οἷον ἀνύοντι ἐξέλκειν τε καὶ σχοίνιον προέχεσθαι πόλιός τε καὶ προγόνων καὶ πατρὸς τοῦ ἐμέο χάριτες ἐς ὑμέας ξὺν πολλοῖσι Ἑλλήνων· τετάρτην δ' ἀναλήψομαι λέγειν ὑπουργίην, ἥν, ὡς ὑπεθέμην, εἰς ὑμᾶς ἐγὼ καὶ ὁ πατὴρ ὁ ἐμὸς κατεθέμεθα. Ὅτε γὰρ Ἀλκιβιάδην ἐξεπέμπετε ἐπὶ Σικελίης πολλῇ μὲν δυνάμι, οὐχ οὕτω δὲ πολλῇ ὡς θαυμαστῇ, — ἦν γὰρ ὅσ' ἔργα, — λόγου ἐν ἐκκλησίῃ ὑπὲρ ἰητροῦ προσπεσόντος, ὃν δέοι ἀκολουθεῖν τῷ στρατεύματι, προελθὼν ὁ πατὴρ ὑπέσχετο ἐμὲ ἐπὶ τὰ ὑμέτερα σώματα δώσειν, τοῖς ἰδίοις δαπανήμασι κατεσκευασμένον καὶ ἄτερ μισθῶν αἰτήσιος, ἕως ἂν ὁ στόλος ἀποδημῇ, ἐν ἐλάσσονι τιθέμενος τὸ λυσιτελὲς ἀξιόχρεως ἐὼν τῆς ὑμῖν χρείης ἐσομένης. Ἐγὼ γὰρ οὐχ ὅπως ἂν τὰ ὑπάρχοντα κατεδαπάνων, ὃ ἐποίεον ὑμῖν ὑπουργέων, ἀλλὰ καὶ ἐν ἄλλοισι μεγάλοισι ἔργοισι ἐτετάγμην. Καὶ τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσεσθαι· προείλετο γὰρ μᾶλλον ὁ πατὴρ ἐν ἐμοὶ τῷ υἱεῖ καὶ ἐν γῇ ὀθνείᾳ σαλεύειν καὶ κατὰ θάλασσαν καὶ κατὰ κινδύνους πολεμικούς, καὶ κατὰ ἀρρωστίας, αἳ τοῖς ἐν πλανώδεσι βίοις εἰθισμέναι εἰσὶ μᾶλλον προσκαθίζειν ἢ τοῖς ἐν τεταγμένῃ ζωῇ· ἠπίστατο γὰρ χάριτα χάριτι μετρεῖσθαι, καὶ μὴ οἷόν πέρ τι ὠνεύμενος ἐκ χειρὸς ἐς χεῖρας ξυναλλάξας ἅπαξ ἀπιέναι. Ὁ μὲν δὴ τοιούτων

ullam mercedem ad curanda vestra corpora daturum recepit, parvi suum commodum faciens, quod certo sciret id vobis usui fore. Ego enim non tantum dum vobis inservio facultates meas insumpsi, verum etiam aliis magnis operibus praefectus eram. Idque eorum quae dicturus sum est minimum. Maluit enim pater in me filio et in terra aliena fluctuare et maritima ac bellica morborumque pericula experiri, quae iis qui errabundam vitam degunt magis incumbere solent quam iis qui certam vitae rationem sequuntur. Noverat enim gratiam gratia remetiri et non veluti re aliqua empta et ex manu in manum simul tradita discedere. Et haec quidem praestitit. Ego autem cum illius sum filius ut vobis auxilium ferrem nihil diligentiae neque artis praetermisi, meque si quando occasio tulisset, vobiscum periculis obieci, neque ad haec ambo praestanda aut morbus aut labor aut maria et hostilis manus metus deterruit. Cuius rei testimonium non ab aliis quibusdam, sed a vobis ipsis petendum est. Quare si quis contradicere velit, confestim surgat, sed me mentiri non existimo. Haec autem per triennium praestiti; corona vero aurea donatus et longe honorificentius acceptus domum ad nuptias redii, ut et artis et generis nostri successores relinquerem. Et haec quidem a civitate, maioribus nostris et patre a meque in vos profecta sunt. Dictum etiam est quibus commodis affecti a vobis fuerimus. Multos autem ex vobis mirari arbitror, quorsum haec a me recenseantur.

τρεῖς — κατεθέμεθα.] Vulgo: *τρεῖς μὲν αὗταί μοι οἷον ἀνύοντι ἐξέλκειν τε τοὺς λόγους καὶ σχοινίων προέχεσθαι πόλιος τε καὶ προγόνων καὶ πατρὸς τοῦ ἐμέο χάριτας ξὺν πολλοῖς Ἑλλήνων·* — in quibus *σχοίνιον* et *χάριτες* desideravit Foës.; varr. lectt. vix quidquam notatu dignum habent: C. *καί* fert ante *τρεῖς*; tum *ἐμέου* habent edd. antt. G. H.; — ceteras sibi relinquo vocabulorum corruptelas. Petersen voluit: *τρεῖς μὲν αὗταί μοι εἴων ἂν ἐθέλοντι ἐξέλκειν τοὺς λόγους καὶ σχοίνιον ὡς προέχεσθαι πόλιος τε καὶ προγόνων καὶ πατρὸς ἐμέο χάριτας.* Littr. dedit: *τρεῖς μὲν αὗταί μοι οἷον ἀνύοντι ἐξέλκειν τε τοὺς λόγους καὶ σχοινίων προέχεσθαι [αἱ] πόλιος τε καὶ πατρὸς τοῦ ἐμέο χάριτες κ. τ. λ.* — Equidem sic censeo: Foësii utraque emendatio certa et recipienda est, sed *τοὺς λόγους* emblema est alienum; *ἐξέλκειν* idem valet, quod *εἰς Φῶς ἄγειν*, nosterque non *ἐξέλκει τοὺς λόγους*, sed *τὰς χάριτας*, quare puto aliquem, qui locum non intelligeret, *τοὺς λόγους* supplevisse; — quid sit *σχοίνιον προέχεσθαι* facile intellectu est, est *funiculum sibi praetentum tenere* defensionis gratia nempe; tandem *ξὺν πολλοῖς Ἑλλήνων* ineptum est: necessario sive *ἐς ὑμᾶς ξὺν πολλοῖς Ἑλλ.*, sive *ὑμῖν ξὺν π. Ἑ.* dandum est.

ὅτε — ἐσομένης.] *ἡ πόλις* supplevit Foës. in Latinis, dedit Littr. ante codicum et edd. lectionem *ἐξέπεμπε*, vulgo om.; et vero aut *ἡ πόλις* supplendum, aut *ἐξεπέμπετε* scribendum; — *ἐξέπεμψεν* H.; — *εἰ γὰρ ὡς ἔργα* vulgo, quod in *ἦν γὰρ ὅσ' ἔργα* vere mutavisse opinor Littréum; — *παρελθών* vulg., cum Littréo sequor H.; — *ἀποδημοῖ* H.; — *ἀξιόχρεων ἐόν* C. G. H., quos sequitur Littr., sed mihi vulgata vera scriptura esse videtur; — *ὑμῶν* vulg., *ὑμῖν* C., Littr.

ἐγὼ — ἐτετάγμην.] *κατεδαπάνουν* C. H.

καὶ τοῦτο — ἀπιέναι.] *ὀθνείας* (*ὀθνείαις* C.) *ἀλλεύειν* C. G. H.; — *χάριτι χάριτα* C. H.; — *ὠνευμένοις* vulg., *ὠνεύμενος* Corn., Foës., Littr.; — *ἐς* C., *εἰς* cett.

ὁ μὲν — ψεύδεσθαι.] *οὐθέν* C.; — *ἐλλείπων* vulg., *ἐλλείπω* Ald., C. G. H., Littr.; — *ἡμῖν* C. pro vulgato *ὑμῖν*; —

ὑπῆρξε· ἐγὼ δὲ, ἅτε παῖς ἐὼν ἐκείνου, οὐδὲν ἐλλείπω φιλοτιμίης καὶ τέχνης, βοηθέων καὶ κινδυνεύων ξὺν ὑμῖν ὁκότε που καιρὸς εἴη· καὶ ἐς ταῦτά με ἀμφότερα οὔτε νοῦσος, οὔτε κακοπάθεια, οὔτε φόβος ὁ ἐν θαλάσσῃ καὶ ὁ ἐν χερσὶ πολεμίων εἴργει· μαρτυρίη δὲ οὐκ ἐν ἄλλοις τισὶ, ἐν δ' ὑμῖν αὐτοῖς κεῖται· ὥστε εἴ τῳ ἀντιλεκτέον, ἀναστήτω μηδὲν ὀκνήσας, ἀλλ' οὐ δοκέω ψεύδεσθαι. Ταῦτα δὲ πρήξας ἐπὶ τρία ἔτεα, στεφανωθείς τε χρυσέῳ στεφάνῳ, καὶ ἔτι κάλλιον εὐφημεύμενος ἐς τὴν ἰδίην ἀπῆλθον ἐπὶ γάμον, ὡς διαδόχους καταστήσαιμι καὶ τέχνης καὶ γενεῆς ἡμετέρης. Ἃ μὲν δὴ παρὰ πόλιος, προγόνων, πατρός τε καὶ ἐμέο ὑμῖν ὑπάρχει, ταῦτ' ἐστί· εἴρηται δὲ καὶ ὧν ἡμεῖς παρ' ὑμέων ἐπαυράμεθα· δοκέω δὲ πολλοὺς ὑμέων θαυμάζειν, ὅτεων χάριν ταῦτα ἀναμεμέτρηται· ὡς οὖν καὶ ὑμέες εἰδῆτε καὶ ἐμοὶ γίγνηται ἃ ἐγὼ ἐπιθυμέω, καιρὸς λέγειν. Ὁ πατὴρ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐγὼ αἰτεόμεθα ὑμᾶς, — οὕτω γὰρ εἰπεῖν ἐλευθέρως καὶ φίλους παρὰ φίλων τυχεῖν ἐλευθέρων, — ἐκ πατρίδος τῆς ὑμετέρης ὅπλα πολέμια μὴ ἄρασθαι· εἰ δὲ δεῖ, ὥσπερ ἴσως δεῖ τοὺς ὑπὲρ τῆς αὐτῶν προεληλυθότας, δεόμεθα μὴ ἡμέας ἐόντας ἐν ἀξιώματι μεγάλῳ καὶ τοιούτων προϋπάρξαντας, ἐν δούλων μοίρῃ τιθήσεσθαι· ἔτι δὲ, καὶ γὰρ οὕτως ἁρμόσει λέγειν, ἱκετεύομεν μὴ ποιήσεσθαι τὰ ἡμέτερα ὑμῖν αὐτοῖς δουρίκτητα· πολὺ μειόνων ἂν ἐπάνω γενήσεσθε· ἀλλ' ὑπιδέσθαι καὶ τοῦτο, ὅτι ἑτέρως ἕτερα ἡ τύχη ταχύνει· καί κοτε μικρῶν μεγάλοι προσεδεήθησαν καὶ οἱ καρτεροὶ δι' ἀσθενέας σωτηρίης ἔτυχον. Δοκέω δὲ ξύνδηλον, ὡς μὴ ἐνδηλότερον εἴπω, ὅτι ἐφ' ἑνὶ ἀνδρὶ οὐ πόλις, ἀλλὰ πολλὰ ἔθνεα ἤδη ποτὲ ὤφθη

Ut igitur et vos sciatis et quae cupio mihi eveniant, dicendi tempus est. Pater meus et ego, viri Athenienses, a vobis petimus, hac enim oratione amici et liberi a vobis amicis et liberis impetrare debemus, ne contra patriam nostram arma hostilia feratis. Quodsi deceat, quemadmodum sane eos decet, qui suae salutis causa in medium prodierunt, etiam rogamus, ne nos quos talibus ac tantis honoribus antea dignos censuistis, servorum loco habeatis. Ad haec etiam, sic enim dicere conveniet, supplicamus ne res nostras vobis belli iure subditas possideatis, si nobis longe inferioribus superiores fueritis, sed illud consideretis, quod alia aliter fortuna cito praecipitat et quandoque magni parvorum opem implorarunt, potentioresque per debiles salutem consecuti. Manifestum vero arbitror, ut ne clarius quidem mihi demonstrandum sit, quod in rebus bellicis ab uno homine, nec civitas solum, verum etiam multae gentes iam aliquando utilitatem consequi visae fuerint, ubi ars valet. Neque nos despiciatis; neque enim despiciendi sumus, velut huius rei testimonium penes nos est. Ac statim quidem, a quibus nos oriundos gloriamur, Aesculapius et Hercules ad hominum utilitatem nati sunt, eosque ob virtutem, qua, cum isthic agerent, erant praediti, deorum loco omnes habent. Urbs autem mea et ego, qui apud vos dico, velut hominum sermones ferunt, ab his originem repetimus. Ex quo sane etiam pro Graecis utrosque hac in parte et in praeclarissimo quoque facinore stetisse planum erit. Neque enim res Troianae fabulis sed factis continentur, in quibus Cos cum insulis suis non una de multis, sed maxima in auxilio ferendo fuit. Sic vero etiam Aesculapii filii non arte solum, verum etiam

ὁ ἐν θαλ. C. G. H., Littr., ὁ om vulg.; — μαρτυρίη οὐκ sine δέ H.

ἃ μὲν — λέγειν.] πτόλιος H.; — ἀναμετρῆται C.; — ἴδητε H.

ὁ πατὴρ — ἔτυχον.] ὑμᾶς C.; — Littr.: καὶ φίλους [καὶ] παρὰ φίλων τυχεῖν ἐλευθέρων, de suo [καί] interponens, quod fieri sane non debet; — in his ἐλεύθερον C. H.; — τῆς ἡμετέρης vulg., ὑμετέρης C. H., Littr; — ἄρασθε H.; — ὑμέας C.; — καὶ δεόμεθα vulgo, malo καί omittere; — ἐόντας ἀξιωμάτων μεγάλων vulg., ἐόντας [ἐν] ἀξιώματι μεγάλῳ Littr., quem recte locum emendare opinor; — μέρει pro μοίρῃ C. H.; — τίθεσθαι C., τιθήσεσθε H.; — μὴ ποιήσησθε ἱκετεύομεν C., μή omm. Ald. G., ποιήσησθε H.; — ὑμέτερα C. H.; — δορύκτητα H.; — πολὺ μειόνων ἢν ἐπάνω γενήσεσθαι vulg., sed πολλοὶ μιόνων C., unde Littr. πολλοί recepit, tum γενήσεσθε ex C. H. scripsit; equidem πολύ servo, γενήσεσθε recipio, ἤν in ἄν muto; — ὑπείδεσθαι C., ὑπίδεσθε H.; — ἑτέρα C.; — ἀρχή pro τύχη H.; — κοτε C., ποτε vulg.; — προεδήθησαν C., προεδεήθησαν Bas., προεδέθησαν H.

ὠφεληθέντα ἐν πολεμικοῖς καὶ ἔνθα τέχνη ἰσχύει. Μηδὲ ἡμέας ἀποβάλησθε· καὶ γὰρ οὐδὲ ἀπόβλητοι ἐσμὲν, ὡς ἐν ἡμῖν μαρτυρίη κεῖται· ἀλλ' ἀρχὴν μὲν, ἔνθεν γένος εὐχόμεθ' εἶναι, Ἀσκληπιὸς καὶ Ἡρακλῆς ἐπ' ὠφελείῃ ἀνθρώπων ἐγένοντο καὶ τούτους δι' ἀρετὴν τὴν ἐνταῦθα ἐν θεῶν χώρῃ ἔχουσι πάντες· πόλις δὲ ἐμὴ καὶ ἐγὼ ὁ λέγων ἐς τούτους ἀνερχόμεθα, ὡς ἀνθρώπων λόγοι κατέχουσι· ὅθεν δὴ καὶ ὑπὲρ Ἑλλήνων φανεύμεθα ἀμφότεροι ταύτῃ προϊστάμενοι καὶ ἐπὶ παντὶ καλλίστῳ· οὐ γὰρ μῦθος τὰ Τρωϊκὰ ἀλλ' ἔργα, ἐν οἷσι ἡ Κῶς ξὺν τῇσι ἑωυτῆς νήσοισι οὐ πολλοστὴ, μεγίστη δ' ἐς ξυμμαχίην ἐστί· οὕτως δὲ καὶ οἱ Ἀσκληπιοῦ παῖδες οὐ τέχνῃ μόνον, ἀλλὰ καὶ ὅπλοισι ἐπήρκεσαν Ἕλλησι. Μαχάων γέ τοι ψυχὴν κατέθετο ἐν τῇ Τρῳάδι, ὅτε, ὡς οἱ ταῦτα γράφοντες λέγουσι, ἐξ ἵππου ἐς πόλιν τὴν Πριάμου εἰσῆλθε. Μὴ δὴ μήτε καθότι ἔμφυλοι, μήτε καθότι ἐξ ἐπαρηγόντων ἐπαρήγοντες γεγόναμεν Ἕλλησι, ἀδικήσητε ἡμέας. Οὐ μηκυνέω δὲ οὐδὲ τὰ Κρισαῖα αὖθις οὔτε τὰ Περσικὰ λέγων, ὁκόσα καὶ ἀκηκόατε καὶ ἐν χερσὶ μᾶλλον τῶν ἀρτίως εἰρημένων ἐστί· ἐν θυμῷ δὲ λάβετε καὶ οὕτως, εὐεργέτας μὴ ὅσιον ἀδικεῖν. Ἡμέας δὲ εὐεργέτας ὡς τὰ ἔργα φησὶ, τίνες φανεῖσθε, εἰ πατέρων γεγῶτες οἵων οἱ μυθολόγοι εἶπον, τὸ ἀδικεῖν ἀντὶ τοῦ χρηστοὶ εἶναι αἱρεῖσθε; οὐ γὰρ ἐθέλω πικρότερον λέγειν· κεῖνοι γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, Ἡρακλείδαις μὲν ἔτινον χάριτας, ἑτέροις δὲ πολλοῖς εὐεργετηθέντες ἐπήρκεσαν· ὑπόλειποι δ' ἂν με ἡ ἡμέρη μακρὰ λέγοντα, εἰ διεξίοιμι ὁκόσοις ὁκόσα ἀπήντηκε ἀγαθὰ

armis Graecis auxilium suppeditarunt. Machaon certe animum in Troade reliquit, velut de his scribentes tradunt, cum ex equo Priami urbem intraret. Ne nos sane vel ex eo quod contribules sumus, vel ex eo quod inter auxiliares Graecis auxilium tulimus, inique opprimatis. Non producam longius, neque Crisaeorum res, neque Persarum repetens, quandoquidem eas audivistis, magisque sunt in manibus quam nuper commemorata. Quin etiam sic in animo reponite, impium esse de se bene meritos contumelia afficere. Nos autem de vobis bene meritos cum facta testentur, quales vos esse constabit, si ex maioribus orti, quales fabularum scriptores ferunt, iniuria lacessere quam benefici esse malueritis? Neque enim quicquam atrocius dicere volo. Illi enim, viri Athenienses, Heraclidis quidem gratias retulerunt, aliis autem multis, a quibus beneficia acceperant, auxilio subvenerunt. Dies me sane deficiat, si longa enarratione enumerem quanta bona iis obvenerint, qui nulla in re de vobis sunt bene meriti. In vosmet ipsos intueamini meque vel tacente cognoscite qualia perpetretis. Mala res est potentia, viri Athenienses, neque enim novit quae sua sunt intra modum in aliud tempus asservare, verum et urbibus quibusdam et gentibus exitio fuit. In alios autem tanquam in speculum intuentes videte quae ipsi faciatis et quam vera ego proferam. Et nova lex est illi, qui sibi rerum prosperum successum persuadet, neque etiam difficilia respicit. Non hoc est vestrum. Plerumque enim sic etiam fortunam estis experti. Nulla vos laesimus iniuria; quodsi laesimus, non armis, sed ver-

μηδὲ — εἰσῆλθε.] μήδ' ἡμέας C.; — ἐν ὑμῖν vulg., ἐν ἡμῖν Littr., collato loco simili ex Abderitarum ad Hipp. epistola; — ἀλλ' ἀρχὴν μὲν οἱ θεοί vulg., Littr. pro οἱ θεοί de suo οὗτοι, quia infra ἐν θεῶν χώρῃ ἔχουσι; sed quamquam οἱ θεοί ibi recte dicat Littr. ineptum esse, non credo ex οὗτοι esse ortum, sed emblema alienum esse, quare eiicio; — εὔχομαι C.; nota formulam Homericam ἔνθεν γένος εὐχόμεθ' εἶναι; — ἀρετὴν τήν C., ἀρετῆς τήν G., ἀρετῆς τῆς vulg.; — τοιούτους vulg., τούτους Littr. de suo; — ἐν οἷς vulgo, sed ἐν οιειν C. G., i. e. ἐν οἷσιν. — σὺν τοῖς ἑωυτοῖσιν νήσοισιν vulg., σὺν τῇσιν ἑωυτῇσι νήσοισι C. Petersen ἑωυτῆς coniecit, quod exhibet Littr.; procul dubio in codd. scriptura latet id, quod cum Littréo et Petersen exhibeo, fortasse etiam auctor epistolae re ipsa ita scripsit; non infitior tamen me potius ταύτῃ exspectavisse. Ante Ἀσκληπιοῦ articulum de meo adposui. Dein ψυχήν omm. Ald. G. De narratione postrema cf. Pausanias III. 26. 7.

οὐ — ἀδικεῖν.] μιανέω vulg., μηκυνέω C., dedit Littr., qui monet Foësium coniecisse; δέ om. C.; — ὁκότε καί cett., ὁκόσα de meo.

ἡμέας — ἐγγεγονόσι.] φαίνει pro φησί voluit Petersen, quod non recepit Littr., neque equidem recipio; — pro εἰ ex C. dedit οἱ Littr., perperam; — γεγῶτες C.; — ἂν ante τὸ ἀδικεῖν C., Littr., et iidem αἱρῆσθε, sed hae lectt. codicis C. vulgatâ sunt deteriores; — μέν post Ἡρακλ. om. G.; — ὑπολίποι C.; — ἡ om. idem.

οὐδὲν ἐν χρείῃ ὑμῖν ἐγγεγονόσι. Περιβλέψατε δὲ ἑωυτοὺς καὶ μὴ ἐμεῦ εἰπόντος γνῶτε ὁκοῖα πρήσσετε· κακὸν ἐξουσίη, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ γὰρ ἐπίσταται τὰ ἑωυτῆς μέτρῳ ταμιεύεσθαι, ἀλλὰ δή τινας καὶ πόλιας καὶ ἔθνεα ἐλυμήνατο. Ἐς ἑτέρους δὲ οἷον ἐς κάτοπτρον βλέψαντες ἴδετε αὐτοὶ ἃ ποιέετε, καὶ ὡς ἐγὼ ἀληθέα λέγω. Καὶ νέος δὲ νόμος, ὅστις εὐτυχίῃ πεποιθὼς μὴ καὶ ἐς τὰ δυσπετέα βλέπει· οὐχ ὑμέτερον· πολλὰ γὰρ καὶ ὧδε δαίμονος πεπείρησθε. Οὐδὲν ὑμέας ἀδικέομεν· εἰ δὲ καὶ ἀδικέομεν, μὴ ὅπλοις, ἀλλὰ λόγῳ κριθῶμεν. Παραινέομαι δὲ ὑμέας καὶ τοῦτο, μὴ ποιῆσαι χάριν ἑτέροις ὀφλῆσαι ἐπικουρήσασι ἡμῖν· ἐπικουρήσουσι γάρ, ἢν ὀρθῶς ποιέωσι, οἵ τε ἐντὸς Θεσσαλίης, Ἄργεος, Λακεδαίμονος, καὶ Μακεδονίης βασιλεῖς καὶ εἴ κου ἕτεροι Ἡρακλεῖδαι ἢ Ἡρακλειδέων ξυγγενέες οἰκέουσι. Κρέσσον ἄτερ βίης τὰ δίκαια ποιέειν ἢ βιασθέντας· οὐκ εἶπον δ' ἐπ' ἀνάστασιν· τοῦτο δὲ φανερὸν ποιέω, ὅτι πολλοῖσι μελόμεθα ἢ μελησόμεθα, εἰ μὴ πανταχόθεν οἴχεται τὸ χρηστοὺς ἀνθρώπους ἔτι εἶναι. Ἐγὼ μὲν οὖν, μικρὴ γάρ μοι δύναμις λόγου, ἅτε πρὸς ἑτέρων ἐπιμέλειαν ἡρμοσμένῳ, ἐνταῦθα καταπαύσω. Ἀξιῶ δὲ πρὸς ξένους ἡμετέρους καὶ τοὺς ἡμῖν ξυμβούλους εἰθισμένους εἶναι, καὶ θεῶν καὶ ἡρώων ἕνεκα καὶ χαρίτων, αἳ ἀνθρώποις παρ' ἀνθρώπων γίγνονται, ἐχθρὰ μὲν εἴργειν τὰ ὑμέων ἐς ἡμέας, εἰς δὲ φίλα προτρέπεσθαι· εἰ γὰρ μὴ ἐν τῇ ὑμετέρῃ πόλι τούτων ἐπιτευξόμεθα, οὐκ οἶδ' ὅκου ἐλθόντες ὧν ἱμείρομεν ἐγκυρήσομεν.

bis iudicium experiamur. Illud etiam a vobis peto, ne efficiatis ut aliis, qui nobis auxilium ferent, hoc beneficium debeamus. Auxilium enim ferent, si quidem recte faciant, qui intra Thessaliam, Argo, Lacedaemona et Macedoniam sunt reges et sicubi alii Heraclidae aut Heraclidis cognatione coniuncti. Praestat citra vim quam vi coactos iura exercere. Nihil dico de his, qui nos ad defectionem sollicitant, verum hoc vobis aperio, nos multis curae esse, aut certe fore, nisi hominum benevolentia omnino de medio sublata est. Ego igitur cum mihi sit exilis dicendi facultas et me ad aliarum rerum studium adiunxerim, hic finem dicendi faciam. Peto autem a vobis per hospites nostros et eos, qui nobis consulere consueverunt, deorum et Heroum gratia et beneficiorum, quae homines inter se conserunt, ut depositis inimicitiis, quae adversus nos geritis, vos ad amicitiam convertatis. Quae si in hac civitate vestra nobis non successerint, haud scio undenam quae cupimus consequamur.

περιβλέψατε — ἐλυμήνατο.] *καὶ μηδέ* vulg., sed mihi aut *καὶ μή*. aut *μὴ δέ* sine *καί* legendum videtur.

ἐς — λέγω.] *ὡς* de coniectura dedi; — *λέγω* om. C.

καὶ — πεπείρησθε.] Ceteri *βλέπειν*, de meo *βλέπει*. Petersen voluit: *ὅστις εὐτυχίῃ πεποιθὼς κελεύει μὴ καὶ ἐς τὰ δυσπετέα βλέπειν*. Credidi simpliciorem emendationem sufficere et cum orationis alacritate melius congruere.

οὐδὲν — κριθῶμεν.] *ὑμᾶς* C.

παραιτέομαι — οἰκέουσι.] *ὀφειλῆσαι* Ald. C. G.; — *ὑμῖν* C.; — *καί* ante *Μακεδ.* et ante *εἴ που* coniiciente Petersen addidit Littr., vulgo om.; — *ἤπου* G., *ἤκου* C., *εἴπου* Ald.

κρέσσον — εἶναι.] *κρεῖσσον* vulg., sequor Ald. G.; — *ἐπανάστασιν* vulg., *ἐπ' ἀνάστασιν* est coniectura Foësii; — *ποιέων* C.

ἀξιῶ — ἐγκυρήσομεν.] *ἡμετέρους* vulg., *ὑμετέρους* C., Littr.; — *ὑμῖν* C., Littr., *ἡμῖν* vulg.; — *εἵνεκα* C.; — *ἔχθρας* (*ἔχθρα* G.) *μὲν εἴργειν τὰς* (*τά* G.) *ἡμῶν* (*ἀλλήλων* pro *ἡμῶν* Ald. C. G.) *ἐς* (*ἐς* omm. Ald. C. G.) *ἡμέας* (*ὑμέας* Ald.) vulg.; — Littréus dedit: *ἐχθρὰ μὲν εἴργειν τὰ ἀλλήλων ὑμέας*; — quid ipse velim e textu descripto liquet. Tandem *ἐγκυρήσομεν* vulg., *εὐμοιρήσομεν* C., Littr.; puto vulgatam esse antiquiorem lectionem, alteram correctionem ab eo qui *ἐγκυρήσομεν* de bonis dici non posse putaret, quod mihi non certum.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΓΕΝΟΣ ΚΑΙ ΒΙΟΣ

ΚΑΤΑ ΣΩΡΑΝΟΝ.

Ἱπποκράτης [1] γένει μὲν ἦν Κῷος, υἱὸς Ἡρακλείδου καὶ [2] Φαιναρέτης, εἰς Ἡρακλέα καὶ Ἀσκληπιὸν τὸ γένος ἀναφέρων, ἀφ' οὗ μὲν εἰκοστὸς, ἀφ' οὗ δὲ [3] ἐννεακαιδέκατος. Μνημονεύει δὲ τῆς γενεαλογίας αὐτοῦ Ἐρατοσθένης καὶ Φερεκύδης καὶ Ἀπολλόδωρος καὶ Ἄρειος ὁ Ταρσεύς. Μαθήτης δὲ γέγονεν Ἡρακλείδου τοῦ ἰδίου πατρὸς, εἶτα [4] Ἡροδίκου, κατὰ δέ τινας καὶ Γοργίου τοῦ Λεοντίνου ῥήτορος, φιλοσόφου δὲ Δημοκρίτου τοῦ Ἀβδηρίτου. Κατὰ δὲ τοὺς Πελοποννησιακοὺς ἤκμασε χρόνους γεννηθεὶς, ὡς φησὶν Ἱστόμαχος ἐν τῷ πρώτῳ περὶ τῆς Ἱπποκράτους αἱρέσεως κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδοηκοστῆς Ὀλυμπιάδος, ὡς δὲ Σωρανὸς ὁ Κῷος ἐρευνήσας τὰ ἐν Κῷ γραμματοφυλακεῖα προστίθησι μοναρχοῦντος [5] Ἀβριάδα, μηνὸς Ἀγριανοῦ [6] ἕκτῃ καὶ εἰκοστῇ, παρ' ὃ καὶ ἐναγίζειν μέχρι νῦν Ἱπποκράτει φησὶ τοὺς Κῴους. Συνασκηθεὶς δὲ ἐν τῇ ἰατρικῇ καὶ τοῖς ἐγκυκλίοις μαθήμασι τῶν γονέων αὐτοῦ τελευτησάντων μετέστη τῆς ἰδίας πατρίδος, ὡς μὲν κακοήθως Ἀνδρέας φησὶν ἐν

HIPPOCRATIS

GENUS ET VITA

EX SORANO.

Hippocrates genere quidem Cous fuit, Heraclidae et Phanaretes filius, ab Hercule et Aesculapio ortum ducens, ab uno quidem vigesimus, ab altero vero decimus nonus. Eius autem generis seriem commemoravit Eratosthenes, et Pherecydes, et Apollodorus, et Arius Tarsensis. Heraclidae vero parentis sui discipulus exstitit, deinde Herodici et ex quorumdam opinione etiam Gorgiae Leontini oratoris et Democriti philosophi Abderitani. Peloponnesiacis temporibus viguit, natus, ut tradit Histomachus in primo de Hippocratis secta, primo octogesimae Olympiadis anno; et vero Soranus Cous literarum monumenta in Co perscrutatus addit, regnante Abriada, mensis Agriani sexto et vigesimo die, quo etiam in hunc usque diem Coos Hippocrati parentare ait. Arte autem medica et vulgaribus disciplinis excultus, vita functis parentibus patria excessit, quod tabularium in Cnido accendisset, ut eum quidem contumeliose criminatur Andreas in suo de artis medicae origine libro. Alii vero id eo proposito fecisse dicunt, ut quae in pluribus locis con-

[1] τὸ γένος. — [2] φαινερέτης. — [3] ἐννέα καὶ δεκαταῖος. — [4] ἡροδίκου. — [5] ἀγριάδου. — [6] ἑβδόμη.

μαθήτης — Ἀβδηρίτου.] τοῦ ante Ἀβδηρίτου de meo dedi, articulus perierat post syllabam finalem nominis Δημοκρίτου.

κατὰ — Κῴους.] Nomen Ἱστόμαχος vitii suspicionem habet apud nonnullos, quorum alius aliud substituit; equidem nihil certi de hac re in promptu habeo; — ἐναγίζειν ἐν αὐτῇ μέχρι νῦν vulg., sed ἐν αὐτῇ om. Voss.; illud ἐν αὐτῇ respicit ad ἕκτῃ καὶ εἰκοστῇ, sed ab auctore saltem exspectas, si illud indicare velit, ταύτῃ τῇ ἡμέρᾳ, non ἐν αὐτῇ; mihi ἐν αὐτῇ emblema alienum esse videtur.

συνασκηθεὶς — ποικιλώτερον.] Ferunt omnes τῆς ἰδίας πατρίδος, quemadmodum paulo ante τοῦ ἰδίου πατρός; primum utroque loco ἰδίας et ἰδίου eiicere volebam, quod paene licere mihi credebam; quia infra ἐρρύσατο δὲ τὴν ἑαυτοῦ πατρίδα, ubi Voss. τὴν ἰδίαν pro τὴν ἑαυτοῦ. Simili modo in fine vitae ἑαυτοῦ in τοὺς ἑαυτοῦ παῖδας delere volebam, ab librariis invectum esse credens. Sed ad ἑαυτοῦ quod attinet, in epist. 17. legimus τὰς κεφαλὰς ἑωυτῶν ἔπαιον, ubi item pron. redundat, et in dogmate legimus τοὺς ἑαυτοῦ μαθήτας, adeo ut in pronominis usu nihil moveam, licet in orat. ad aram legamus ἐμεωυτὸν καὶ παῖδας. Sed nunc ostendam exemplis adlatis quam frequens sit in epistolis et in vita usus nominis ἴδιος; unde constabit, omnia illa ab

τῷ περὶ τῆς [1]ἰατρικῆς γενεαλογίας διὰ τὸ [2]ἐμπρῆσαι τὸ ἐν Κνίδῳ γραμματοφυλακεῖον· ἄλλοι δὲ [3]φασὶν ὅτι προθέσει τοῦ τὰ κατὰ τόπους ἀποτελούμενα θεάσασθαι καὶ συγγυμνασθῆναι ποικιλώτερον. Ὡς δὲ Σωρανὸς ὁ Κῷος ἱστορεῖ, ὄνειρος αὐτῷ παρέστη κελεύων τὴν Θεσσαλῶν γῆν κατοικεῖν. Τὴν δὲ σύμπασαν Ἑλλάδα θεραπεύων ἐθαυμάσθη, ὥστε καὶ ὑπὸ [4]Περδίκκα τοῦ Μακεδόνων βασιλέως φθισικοῦ νομισθέντος παρακληθέντα [5]δημοσίᾳ πρὸς αὐτὸν ἐλθεῖν μετ' Εὐρυφῶντος, ὃς καθ' ἡλικίαν πρεσβύτερος ἦν αὐτοῦ, καὶ σημειώσασθαι ψυχῆς εἶναι τὸ πάθος. Ἤρα γὰρ μετὰ τὸν [6]τοῦ πατρὸς Ἀλεξάνδρου θάνατον [7]Φίλας τῆς παλλακίδος αὐτοῦ, πρὸς ἣν δηλώσαντα τὸ γεγονός, ἐπειδὴ παρεφύλαξε ταύτης βλεπομένης παντελῶς ἐκεῖνον τρέπεσθαι, λῦσαι μὲν τὴν [8]νόσον, ἀνακτήσασθαι δὲ τὸν βασιλέα. Παρεκλήθη δὲ ὑπὸ τῶν Ἀβδηριτῶν [9]πρὸς αὐτοὺς ἀπελθεῖν καὶ Δημόκριτον μὲν ὡς ἐν μανίῃ θεραπεῦσαι, ῥύσασθαι δὲ τὴν πόλιν ὅλην. Ἀλλὰ καὶ εἰς τὴν Ἰλλυριῶν καὶ Παιόνων βαρβάρων γῆν λοιμοῦ κατασκήψαντος καὶ δεομένων τῶν ἐκεῖ βασιλέων πρὸς αὐτοὺς ἐλθεῖν, παρὰ τῶν πρεσβέων τίνα ἦν ἐκεῖ τὰ πολλὰ τῶν πνευμάτων μαθών, ἐκείνους μὲν ἀπράκτους ἀπέπεμψε, συλλογισάμενος δὲ τὴν νόσον ἐπὶ τὴν Ἀττικὴν ἥξειν, προειπὼν τὸ γενησόμενον καὶ τῶν πόλεων καὶ τῶν μαθητῶν ἐπεμελήθη. Τοσοῦτον δὲ φιλέλλην [10]ὑπῆρξε, ὥστε τῆς δόξης αὐτοῦ μέχρι Περσῶν διαπτύστου γενομένης καὶ διὰ

ficiebantur spectaret et in ea varietate se magis exerceret: ut vero Soranus Cous narrat, per somnum admonitus ut Thessaliam incoleret. Per totam autem Graeciam medicinam faciens admirationi fuit, adeo ut ad Perdiccam Macedonum Regem, qui tabe laborare existimabatur, publice vocatus cum Euryphonte, qui eum aetate excedebat, pervenerit et animi morbum esse iudicarit. Cum enim post Alexandri patris mortem Philam eius pellicem amore deperiret ad eamque re delata postquam ex eius conspectu illum prorsus immutari animadvertit, propulsato quidem morbo, regem sanitati restituit. Ab Abderitanis etiam vocatus est, ut eo se conferret et Democritum quidem insania laborantem curaret, totamque urbem servaret. Quin etiam cum in Illyrios, Paeones et barbarorum regionem pestis ingrueret, earum gentium regibus rogantibus uti se ad eos conferret, a legatis edoctus quinam illic venti ut plurimum perflarent, illos re infecta dimisit. Cum vero recta coniectura iudicasset morbum in Atticam perventurum, id quod futurum erat praevidens, tum urbium, tum discipulorum curam suscepit, in tantumque Graecos dilexit, ut cum eius nominis gloria ad Persas fama pervenisset, eaque de causa Artaxerxes per Hystanidem Hellesponti praefectum cum magnis muneribus ab eo peteret, uti ad sese veniret, id ob gravitatem, pecuniae contemptum et propinquorum amorem recusarit, velut per epistolam ad eum scriptam ostenditur. Patriam etiam a bello,

[1] ἰατρικῆς. — [2] ἐκπρῆσαι ἐν κνίδῳ. — [3] φασὶ προθέσει τοῦ θεασ. τὰ κατὰ τόπους ἀποτελ. καὶ συγγ. — [4] περδίκκου. — [5] δημοσίως. — [6] τοῦ om. [7] φίλλας. — [8] νόσον. — [9] ὡς. — [10] ὑπῆρχε.

uno auctore esse literis mandata: in fine ep. 12. ἐκ παλαιοῦ ἴδιον ἔχων ξένον; — epist. 17. οὗ καὶ τυγχάνω ἐκ πατέρων ἴδιος ξεῖνος; — ibid. οἱ δὲ χώρην πολλὴν περιορίζοντες ἰδίην περιγράφουσι; — ibid. πάντα διαστρέφουσι ἐς ἰδίην ἐπιθυμίην: — ibid. οὐ γὰρ αὐτός τις τῆς ἰδίης ἀνοίης, ἀλλὰ ἄλλος ἄλλου καταγελᾷ; — ibid. εἰ δέ τις ἐμερμήριζε κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν; — ibid. καὶ ξύγκρισιν ἰδίην σαφέως κατανοήσας; — ibid. ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο; — et τοὺς ἰδίους πόνους ἀλογιστίῃ γεωργήσας; — in orat. ad aram in fine τῆς ἰδίης φιλοτιμίης μηδὲν ἐλλείποντες; — in Thessali oratione ἡ δὲ τρίτη (εὐεργεσίη) τοῦ πατρὸς ἰδίη; — ibid. ἐς τὴν ἰδίην ἀπῆλθον. — Hi loci sunt, ubi ἴδιος usurpatur et unde constat vitam secundum Soranum et epistolas ab eadem esse manu. Postremo citatus locus advertit: ἐς τὴν ἰδίην est ἐς τὴν ἰδίην χώρην, ἐς τὴν ἰδίην πατρίδα, unde quaeras, num in verbis, ad quam haec adnotamus, i. e. in τῆς ἰδίας πατρίδος, illud πατρίδος glossa sit? Equidem non certo constare dixerim; non video qui τοῦ ἰδίου πατρός scribat, non potuisse scribere τῆς ἰδίας πατρίδος.

παρεκλήθη — ὅλην.] Vulgo ῥύσασθαι δὲ λοιμοῦ τὴν πόλιν ὅλην, sed λοιμοῦ om. Voss., quem sequor; nam vitae auctor epistolas composuit et in epistolis Hipp. non dicitur peste liberavisse Abderitanam civitatem, sed Abderitani feruntur sic existimavisse, salvam fore suam civitatem totam, si unus Democritus resipuisset. Sine dubio λοιμοῦ emblema alienum est.

τοσοῦτον — δηλοῦται.] Ὑστάνιδος dedi ex Voss., vulgo Ἱστάνιδος, sed in epistolis nomen per ῡ scribitur.

τοῦτο [1] καὶ τοῦ Ἀρταξέρξου διὰ Ὑστάνιδος τοῦ Ἑλλησποντίων ὑπάρχου [2] ἐπὶ μεγάλαις δωρεαῖς δεομένου πρὸς αὐτὸν ἐλθεῖν, διὰ τὸ σεμνὸν καὶ ἀφιλάργυρον καὶ φιλοικεῖον ἀρνήσασθαι, ὡς καὶ τοῦτο διὰ τῆς πρὸς αὐτὸν ἐπιστολῆς δηλοῦται. Ἐρρύσατο δὲ τὴν [3] ἑαυτοῦ πατρίδα πολεμεῖσθαι μέλλουσαν ὑπὸ Ἀθηναίων, Θεσσαλῶν δεηθεὶς ἐπιβοηθῆσαι. Διὸ καὶ λαμπρῶν ἔτυχε τιμῶν παρὰ Κῴοις, ἀλλὰ καὶ Θεσσαλοῖς καὶ Ἀργείοις καὶ Ἀθηναίοις, οἵτινες καὶ δεύτερον αὐτὸν [4] ἀφ' Ἡρακλέους δημοσίᾳ τοῖς Ἐλευσινίοις ἐμύησαν καὶ πολίτην ἔγραψαν καὶ τὴν ἐν Πρυτανείῳ [5] σίτησιν ἔδοσαν εἰς ἐκγόνους. Ἀφθόνως δὲ τοὺς ἐπιτηδείους ἐδίδασκε τὴν τέχνην μετὰ τοῦ προσήκοντος ὅρκου. Ἐτελεύτα δὲ παρὰ Λαρισσαίοις, ὅτε καὶ Δημόκριτος φέρεται [6] τελευτήσας, καὶ οἱ μὲν ἐννενήκοντα ἐτῶν, οἱ δὲ ὀγδοήκοντα καὶ πέντε φασὶν, [7] ἄλλοι ἕκατον καὶ τεσσάρων, τινὲς ἕκατον καὶ ἐννέα. Τέθαπται δὲ μεταξὺ [8] Γύρτωνος καὶ Λαρίσσης καὶ δείκνυται ἄχρι δεῦρο τὸ μνῆμα, ἐν ᾧ μέχρι πολλοῦ σμῆνος ἦν μελισσῶν ἐργαζόμενον μέλι, ἀφ' [9] οὗ τὰ ἀφθῶντα παιδάρια [10] χρίουσαι παρὰ τῷ τάφῳ ῥαδίως ἀπήλλαττον αἱ τίτθαι. Ἐν δὲ ταῖς πολλαῖς [11] εἰκόσιν ἐσκεπασμένος τὴν κεφαλὴν γράφεται, ὡς μέν τινες λέγουσι πίλῳ παράσημον εὐγενείας, καθάπερ Ὀδυσσεὺς, ἄλλοι δὲ τῷ ἱματίῳ· καὶ τούτων οἱ μὲν δι' εὐπρέπειαν, ἐπεὶ φαλακρὸς ἦν, οἱ δὲ διὰ τὸ ἀσθενὲς τῆς κεφαλῆς, οἱ δὲ δι' ἔμφασιν τοῦ δεῖν τὸ τοῦ ἡγεμονικοῦ χωρίον [12] φρουρεῖν, οἱ δὲ τοῦ φιλαποδήμου τεκμήριον, οἱ δὲ τῆς ἐν τοῖς συγγράμμασιν ἀσαφείας, οἱ δὲ πρὸς παράστασιν τοῦ δεῖν [13] κἀν τῷ ὑγιαίνειν [14] φυλάσσεσθαι τὰ βλάπτοντα, τινὲς δὲ ὅτι χειρίζων πρὸς τὸ τῶν χειρῶν ἀπαραπόδιστον συμπεριλαμβάνων [15] τὸ τοῦ ἱματίου περικεχυμένον

quod ei inferre parabant Athenienses, liberavit, Thessalis in auxilium vocatis, ideoque splendidos honores apud Coos consecutus est. Quin etiam a Thessalis, Argivis et Atheniensibus honorifice acceptus est, qui eum ab Hercule secundum publice sacris Eleusiniis initiarunt, civitate donarunt, victumque ei publicum in Prytaneo eiusque posteris dederunt. Candide et liberaliter studiosos artem docuit, debito dato iure iurando. Obiit apud Larissaeos, quo tempore Democritus mortuus esse fertur, ut quidam tradunt aetatis anno nonagesimo, ut alii vero octuagesimo quinto, alii centesimo quarto, quidam etiam centesimo nono. Inter Gyrtonem et Larissam sepultus est et in hunc usque diem monumentum ostenditur in quo multo tempore apium examen fuit, quod mel conficiebat, quo nutrices infantes aphthis laborantes apud tumulum illinebant et facile liberabant. In multis autem eius imaginibus capite velato pingitur, pileo, ut quidem dicunt, velut Ulysses, quod est nobilitatis insigne, alii vero pallio et ex his alii quidem id fieri propter decorum volunt, quod calvus esset, alii vero propter capitis imbecillitatem, alii autem expressa sane significatione, quod principis animae sedem probe munitam esse oporteat, alii peregrinationis amorem indicare illud dicunt, alii scriptorum obscuritatem, alii vero, ut demonstretur etiam sanitatis tempore quae nocent vitari oportere. Quidam vero quod, ne manuum administratio impediretur, comprehensam circumfluentem vestimenti laciniam in caput reiiciebat. De ipsius autem scriptis magna est dissensio, cum alii alia sentiant. Unde cum variae causae iudicio tenebras offundant, de his non est facile certum quid statuere. Primum quidem agnominatio. Secundum dicendi stilum servare posse. Tertium quod unus et idem quandoque robustius, alias re-

[1] *καὶ τοῦ* om — [2] *δεομ. ἐπὶ μεγ. δωρ. πρὸς α. ἐλθεῖν.* — [3] *ἰδίαν.* — [4] *ὑφ'.* — [5] *σίτισιν.* — [6] *τελευτῆσαι.* — [7] *ἄλλοι ἑκατὸν καὶ ἐννέα* omissis intermediis. — [8] *γυρτῶνος.* — [9] *ὧν τὰ ἀφθοῦντα.* — [10] *αἱ τίτθαι* ante *χρίουσαι* infertur. — [11] *εἰκόσιν αὐτοῦ.* — [12] *τηρεῖν.* — [13] *κἀὐτῷ.* — [14] *φυλάττεσθαι.* — [15] *τὸ ἱμάτιον περικεχ.*

τέθαπται — τίτθαι.] *Γυρίωνος* vulg., confer lectt. Voss.; iam Foës. Latine vulgatam emendavit; — *μελισσῶν* Voss. praebuit; vulgo om.

ἐν δὲ ταῖς — κεφαλῇ.] *ἐσκεπασμένος τὴν κεφαλὴν αὐ-*

ἐπετίθει τῇ κεφαλῇ. Περὶ δὲ τῶν συγγραμμάτων αὐτοῦ πολλὴ γέγονε διαφωνία ἄλλων ἄλλα δοξασάντων· ὅθεν οὐκ εὐμαρές [1]τι περὶ αὐτῶν ἀποφήνασθαι, διὰ τὸ πολλὰς αἰτίας ἐπισκοτεῖν τῇ κρίσει, — πρῶτον [2]τὴν ἐπωνυμίαν, — δεύτερον τὸ δύνασθαι τὸν χαρακτῆρα τῆς φράσεως [3]τηρῆσαι, — τρίτην διὰ τὸ ἕνα καὶ τὸν αὐτὸν ποτὲ μὲν ῥωμαλεώτερον, [4]ἄλλοτε ἀσθενέστερον διὰ τὴν ἡλικίαν συγγράφειν, καὶ ἄλλας δὲ μετὰ τούτων [5]αἰτίας ἔστιν εἰπεῖν. Ἀφιλάργυρος [6]δὲ τὸν τρόπον καὶ σεμνὸς καὶ φιλέλλην ὑπῆρχεν, [7]ὅτι καὶ τοὺς ὁμοεθνεῖς [8]ἐθεράπευσε συμπάσῃ σπουδῇ ὡς καὶ λοιμῶν ὅλας ῥύσασθαι πόλεις, καθάπερ εἴρηται. [9]Ὅθεν καὶ λαμπρῶν ἔτυχε [10]τιμῶν οὐ παρὰ Κῴοις μόνον, [11]ἀλλὰ καὶ Ἀργείοις καὶ Ἀθηναίοις. Παῖδας δὲ [12]κατέλιπεν ἀποθανὼν [13]δύο, Θεσσαλὸν καὶ Δράκοντα, καὶ μαθητὰς παμπληθεῖς· ἐπιφανεστάτους δὲ τοὺς ἑαυτοῦ παῖδας [14]λέγεται καταλιπεῖν.

missius per aetatem scribat, aliasque praeter haec causas recensere liceat. Pecunias neglexit, morum gravitate excelluit, Graecos maxime dilexit, quare etiam gentiles suos omni studio coluit, adeo ut totas civitates, quemadmodum dictum est, pestilentia liberaverit. Ex quo et praeclaros honores non apud Coos tantum, sed et Argivos et Athenienses adeptus est. Mortuus duos reliquit filios, Thessalum et Draconem, et discipulorum magnum numerum, clarissimos autem filios suos reliquisse dicitur.

[1] τό. — [2] μὲν τὴν ἐ. — [3] πηρεῖσθαι. τρίτον. — [4] ποτὲ δὲ ἀσθ. — [5] ἔστιν αἰτίας εἰπεῖν. — [6] δὲ τὸν τρόπου σεμνός. — [7] ὅθεν. — [8] ἐθεράπευε σὺν πάσῃ σπουδῇ. — [9] διὸ καί. — [10] τῶν τεμῶν. — [11] ἀλλὰ μὴν καί. — [12] κατέλιπεν ἀποθανών. — [13] δύο om. — [14] γενέσθαι καταλιπών.

τοῦ γράφεται vulgo, sed αὐτοῦ om. Voss., quem sequor; — dein vulgo ἐν πίλῳ, sed otiosum ἐν expuli.

ἀφιλάργυρος — εἴρηται.] ἀφιλάργυρος δὲ καὶ τρόποις σεμνός vulg.; ἀφιλάργυρος δὲ τὸν τρόπον σεμνός Voss., in cuius lectionem καί introduxi.

παῖδας — καταλιπεῖν.] θανών vulg., sequor Voss.

ADDENDA ET CORRIGENDA.

---

p. 171. vs. 11. legitur *ἡ τοῦ ξύλου ὑπόστασις*. Manifesto corrigendum *ἡ τοῦ ξύλου ὑπότασις*, quod recte Latine expressum est.

p. 192. vs. 25. *ἀποπληξίῃ τῷ πάθεϊ τοὔνομα* suspicor esse adnotationem marginalem, quae eiicienda sit e contextu.

p. 268. vs. 2. *χαλκίτιδος ἥμισυ κεκαυμένου* error est typographicus; codd. *κεκαυμένον* ferunt, quod item vitiosum et ex *κεκαυμένης* ortum; librarius *χαλκοῦ* pro *χαλκίτιδος* antecedere opinatus est.

Legas denique:

In textu Graeco: p. 127. vs. 23. *ταλαιπωρίῃσι*; — pag. 129. vs. 9. *ὁδοιπορέωσι*: — pag. 148. vs. 4. *ἐστι*; — pag. 303. vs. 15. *διάκρισιν*; — pag. 472. vs. 32. *ὑπεναντιουμένη*.

In adnotatione: pag. 29. columna secunda vs. antepenult. *ἰητρεῖον*; — pag. 230. col. sec. vs. 1. *ἀποσχίδες*; — pag. 240. col. sec. vs. 4. *τούτου* Corn.; — pag. 253. col. sec. vs. 5. *τῶν ἀ. ἑλκ.*; — p. 521. col. sec., vs. 20. *στρέφα*.

In Latinis: pag. 8. vs. 19. accommodata; — p. 249. vs. 22. itemque in iis; — p. 468. vs. 3. pane eâque prius.

VOLUMINE TERTIO CONTINENTUR: